BABRII

FABULAE AESOPEAE.

EDIDIT

F. G. SCHNEIDEWIN.

LIPSIAE

SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.

MDCCCLIII.

V. CHR. FR. ROSTIO

E. F. WUESTEMANNO

AMICIS GOTHANIS

F. G. S.

PRAEFATIO.

Babrii fabulae cum essent ex codice Athoo primum editae Parisiis exeunte anno huius saeculi quadragesimo quarto a Joh. Francisco Boissonadio, venerabili sene, statim acerrimas eruditorum excitaverunt concertationes: ita nitida simplicitas cultissimi fabulatoris omnes ceperat. Quorum alii naevos qui resedissent conabantur eluere, alii de poeta ipso deque libris eius eorumque fatis disputare. Studia illa, quae nunc ita deferbuerunt, ut perraro Babrium attingi videas, recentem librum, ut sunt varia ingenia hominum, incertarum opinionum vasta mole ita obruerunt, ut vehementer verendum esset, ne iudicia minus doctorum hominum in diversas partes distracta misere fluctuarent, nisi quis ex primoribus philologorum sese interponeret atque aliorum commentis adiutus has fabulas ad artem elimaret. Repertus est — nam Turicenses editionem festinaverant —, quo non poterat melior, Carolus Lachmannus, vir incomparabilis, cuius mihi quoque sancta memoria est. Is has fabulas a se et amicis emendatas edidit Berolini mense Martio a. MDCCCXLV, ediditque ita, ut quemvis conveniat, si sapiat, talem ducem sequi, qui Babrium denuo edere volet.

Ergo ego quoque secutus sum Lachmannum, sed ut liberum mihi servaverim arbitrium, qui ne in vivi quidem amici verba iuraverim unquam. Et confitebatur Lachmannus ipse, se non absolvisse emendationem poetae: nec ego absolvi, sed studui et cavere ab erroribus non paucis, quos

placitis quibusdam suis ductus commisit vir summus, et ad pristinum nitorem paullo propius reducere verba. Etenim Lachmannus in quibusdam severior fuit, veluti cum anapaestum in ceteris sedibus praeter primum pedem non ferendum ratus ubique expulit. Deinde eam legem non perspexerat, quae est Th. Fixii et H. L. Ahrentis sagacitate animadversa, ut penultima versus syllaba accentum habeat: quae regula violatur nonnisi pronominibus ἡμεῖς et ὑμεῖς. Locos Lachmannianae recensionis refractarios studui in ordinem redigere in censura illius libri, quae extat Nunciis erud. Gottingensibus anni quadragesimi quinti nr. 136 p. 1361 sqq. Postremo non curavit Lachmannus, quod alii perspexerunt, Babrium in extremo versu anxie refugere syllabas non natura longas, maxime eas, quae in brevem cadunt vocalem. Quanquam haec quidem regula non potuit ubique observari.

Praeterea ut nec ante Lachmannum defuerant nec eodem paene tempore deerant qui in his fabulis expoliendis cum laude elaborarent, quorum unius Frid. Duebneri animadversionibus criticis Parisiis a. MDCCCXLIV editis, quae bonae frugis plenissimae sunt, uti editor Berolinensis potuit: ita ne post illum quidem defuerunt, qui Babrio opem ferrent. Mihi ergo sedulo excutienda erant quae protulerunt H. L. Ahrens, Theod. Bergkius, Theotbaldus Fixius, Alph. Heckerus, C. Fr. Hermannus, Guil. Ad. B. Hertzbergius, Aug. Nauckius, Piccolos, O. Schneiderus aliique, ratione illi quidem usi in emendando: per rabiem quid effici posset non sivit inexpertum G. Burgessius, cuius θυρσομανεῖς bacchationes exhibent Acta Philol. Parisina (Revue de philologie etc.). Sed sobrius post Lachmannum editor contigit Babrio vir doctus G. C. Lewis (Londini a. quadragesimo sexto), de cuius eleganti editione rettuli in Nunc. erud. nostris a. XLVII, nr. 182 p. 1817 sqq.

Infra notavi ubicunque a Lachmanno discessi dixique unde petita esset diversa scriptura, ex codicene iniuria a Lachmanno spreto (*A*) an ex ingenio doctorum hominum. Ubi auctor verioris, quae mihi videtur, scripturae affertur nullus, scito ex emendationibus meis esse, quarum partem iam Lachmannus commemoravit, alias cum in illis quas modo dixi censuris proposui, tum in ea quae est in Nunc. erud. nostris anni XLV, nr. 1 sqq., ubi de Babrio eiusque fabellis Aesopeis quid sentirem explicatius edisserui: aliae denique nunc demum accesserunt. In tanto autem fervore hominum criticorum non est mirandum, cum plerique quid ab aliis esset occupatum aut non curarent aut ne possent quidem curare, multas emendationes non semel, sed bis ter quater factas esse. In talibus eum fere nominare satis habui auctorem, qui primus publici iuris fecisset. In afferendis coniecturis, quae in verborum ordinem non admittendae videbantur, delectum egi earum, quae aliquo nomine memorabiles essent: multas de industria silui temerarias hariolationes.

Prooemium. Post v. 2 Mullachius de Prooemio Empedoclis p. 15 supplet fere: *τῆς δευτέρης δ' ἐπῆλθεν ἀργυροῦν φῦλον.* 3 *αὐτῶν τῆς ἐγενήθη A.* Fortasse *αὐτῶν αὐτ' ἐγένετο.* 5 *μεμπτή A, πέμπτη B, πέμπτης L* Lachmannus signis lacunae ante v. 3 positis seclusit vv. 3. 4. 5, versu 6 autem scripsit *ἐπὶ τῆς δ' ἐπίσης* (*pariter*), ubi *A* syllaba extrita *δε σῆς*, unde Duebnerus *δὲ χρυσῆς*. Lachmanno favent verba *καὶ τὰ λοιπὰ τῶν ζῴων*, quae optime nectuntur cum vv. 1. 2. Quanquam *τὰ λοιπὰ* possunt intelligi praeter hominem animalia. 11 delet Bergkius. 16 *τῆς ἐλευθέρας AL*, quod nemodum explicavit. Cfr. prooem. 2, 6. 17 *θείης ἐμῆι A, ἂν θέλῃς ἐνὶ L* 18 *νῷ τὸ A, νῶντι L, λῷστε* Duebnerus. 19 *θηλᾶσαι A, θηλύνας L*, cfr. A. Heckerum Philol. V, 496. Orta codicis scriptura ex glossa ad v. *θήσω* ascripta: Hesych. *θῆσαι. θρέψαι, θηλάσαι.* Sed v. Hesiodi O. et D. 597.

Fab. 1, 4 *τοῦτον AL, μοῦνος* praebuit Corais fab. 279 *λέων δὲ μόνος προεκαλεῖτο αὐτὸν εἰς μάχην*, coll. p. 397 *λέων δὲ μόνος πρὸς μάχην ἐπεκαλεῖτο αὐτόν.* 5 *σπεύσῃς* Fixius, *σπεῦδε AL* 8 *ποιητόν AL.* Coll. v. 16 scripsi *πτοητόν*, cfr. fab. Cor. *ἴδε τὸν ἐμὸν ἄγγελον οἷός ἐστι καὶ τότε κἀγὼ ἐπέρχομαί σοι* et altero loco: *καὶ αὖθις δὴ τὴν ἐμὴν ἰσχὺν δοκιμάσεις.*

2, 2 *ἐζήτει A, ἐπεζήτει B, ποτ' ἐζήτει L* 3 *τήνδ' ἔκλεψεν ἀγροίκων A, τήνδ' ἔκλεψεν ἄγροικος L.* Correxit Duebnerus.

3, 1 *χρῄζων AL.* Scripsi *κλῄζων*, h. e. *κλείων*, im begriff einzuschliessen. Id paraphrastae videntur prave interpretati reddidisse *ἀνεκαλεῖτο*, vel *ἐνεκαλεῖτο*, cfr. Cor. fab. 151 p. 91 et 346. Alterum versum, in quo *ἐπισυνάγειν L*, non habuerunt paraphrastae. 5 *πλήξας.* Expectes *ῥήξας, τύψας.*

4, 8 *κίνδυνον AL*: *κινδύνους* obtulit affabulatio perverse collocata Corais f. 145 p. 87, ubi fabulae quintae affixa est: *ὅτι εὔκολος ἡ σωτηρία τοῖς μὴ μεγάλως εὐτυχοῦσι· τὸν δὲ μέγαν ὄντα τῇ δόξῃ σπανίως ἴδοις ἐκφεύγοντα τοὺς κινδύνους.*

5, 8 *ἀετὸς AL* 8 *θηλείας L*

6, 2 *σῴζων* Baiterus coll. 76, 9, *ζῴων AL.* Delebat versum Duebnerus. 6 *ἢ πόσου με πωλήσεις A.* Illud Suidas s. v.

ῶνος. 8 ἔκυσ' ἐμὴ μήτηρ scripsi: ἔκυσε μήτηρ *A*, ἐκκύει μήτηρ *L* 17 ἣν Levisius, ἄν γ' *AL*

7, 7 μηδ' ἐπ. *AL*

9, 1. 2 verba uncis inclusa interpolatori tribuit A. Nauckius Mus. Rhen. VII, 153. 3 ἄξειν ego, ἥξειν *AL* 4 ἠτέριζεν *A*, ἠρέθιζεν Bergkius. 8 τοιαῦτ' Sauppius, τοσαῦτ' *AL* 11 οὐ καμόντα ego, οὐδ' ἀλύοντα *AB*, ου βαλόντα *L* 12 καμών Ahrens, βαλών *AL* 13 τὸ *A*, τοῦ *L*, τότε Ahrens.

10, 4 ἐπὶ κνήμης Fixius, cfr. Sapph. fr. 74, 2. 12 χολοῦμαι *L*, ut anapaestus removeretur, sed v. A. Nauckium Mus. Rhen. VI, 630. 13. 14 uncis saepsi.

11, 2 καινῇ Nauckius. Paraphrastae p. 99 et 352 Cor. ἐπὶ πολὺ τιμωρήσασθαι. Illud est *inaudita*. 5 τοῦ λαβόντος Orellius, τοῦ βαλόντος *A*, τοὐμβαλόντος *L*, τοῦ *βλαβόντος Ahrens.

12, 1 μακρὰν ἔξεπ. *A*, μακρὸν ἐξ. Knochius, μάκρ' ἀνεξεπωτήθη *L* 15 νυκτὸς ἔννυχος στείβη *A*. Fort. νυκτὸς ἐν μυχοῖς στίβη. 16 τέρπει *L* 17 μήνυσον *AL*, μηνύσαις Hertzbergius, ego μηνύσῃς, ut Soph. Phil. 300 φέρε μάθῃς. 27 οἷς ἂν εὐθενῶν ὀφθῇ *L*, εὐθενῶν ὀφθῇ *A*, οἷς ποτ' εὐθ. ὤφθη ego.

13, 2 σπόροιο malim, v. 5. Fixius σπορητῶν vel σποράων.

14, 1 Ἄρκτος *AL*, Ἄρκος Suidas. 4 δ' ἔτ' ὄντος *L*

15, 4 fort. ἄλλῃ. *L* minus recte distinxit.

17, 4 ὀξύφων' ᾄσας Nauckius.

18, 3 τὴν σισύραν ἂν ἐκδύσαι *L*, τὴν σισύραν ἐκδύσει *A*. Correxit Toupius. 4 οἷον Nauckius. 13 εὐθὺς Duebnerus, αὗος ego conieceram. Sed αὐτός int. *sponte*.

19, 2. 3 κερδώ | ἰδοῦσα πλήρεις *AL*. Correxit Ahrens. 6. 7 ὡς δ' οὐκ ἐφικνεῖτ', ἀλλ' ἔκαμνε πηδῶσα, Οὐδὲν κρεμαστῆς σχοῦσα πλεῖον αἰώρας *L* ex Suida. In epimythio ψόγους ψευδεῖς C. F. Hermannus.

20, 3 αὐτὸς ἀργὸς Fixius. Cum fab. Cor. p. 220 ad verbum concinit Photius p. 586, 13, qui proverbium habet: τὴν χεῖρα προσφέροντα τὸν θεὸν καλεῖν.

21, 5 πολλὰ γὰρ ἦν *A*, πολὺ γὰρ ἦν Fixius, πόλλ' ἅτ' ἦν ego olim. 11 φυγεῖν Fixius, φεύγειν *AL*. Sed *L* utrumque versum cancellis saepsit.

22, 7 γραίη *B*, γραῖα *AL*. Ita et v. 11. 12 ἔθηχ' ἑκα-

τέρη A. Nauckius Mus. Rhen. VII, 155, *ἔθηκαν ἑκάστη A*, *ἔθηχ' ἑκάστην L ἀποσπώσα* vel *ἀποσπῶσαι* Levisius.

23, 5 *λοιπὸν L*, ut 26, 6; *λευκὴν* et *προσάξειν* Nauckius. At *λοιβὴν* i. q. *θυσίαν*. 11 *ἐμφορουμένης* Ahrens, *ἐκφορουμένης A*, *ἐκφοβουμένους L*

24, 3 *λιμνίους* Ahrens, *λιμνάδας L Fixius* coll. 115, 1. 4 *οἷς A*, *ὁ δ'* Suidas s. v. *παιάν*, *εἷς δ'* Levisius ex Corais fab. p. 407 et 227: *εἷς δὲ ἐξ αὐτῶν* vel *εἷς δὲ τούτων*. Scilicet ibi *εἷς τῶν βατράχων* loquitur, h. l. *φρῦνος*. 5 *τοῦτ' ἔργον ἡμῖν* Hermannus, *ὥρα 'στιν ἡμῖν* ego olim, sed cfr. Bernhardy Synt. p. 166. 10 Fort. *οὔ τι χαιρήσειν*.

26, 5 *ἐπέσχον, σφ.* Sauppius, *ἐπέσχον σφενδονῶντα AL*, *ἐπ. σφενδονῶντι* Fixius. Cfr. 50, 11.

27, 2 *στενυγρίῃ* coniecit *L* Post v. 6 addit Vatic. fab. 355 p. 265 Cor. *κρεῶν ἀνέῳγας ἄγγος, ὥστε τεθνήξῃ*.

28, 2 *αὐτὸν A*, *αὐτῶν L*, *αὐτόσε* Vatic. 378 p. 273. An *αὖτις*? 4 *πρωΐης ὥρης* Duebnerus, *γὰρ πρὸ τῆς ὥρης* (*ὥρας A*) *AL* 6 *παταχθεὶς* Heckerus Philol. V, 497. 7 *ἢ τοσοῦτον* Heckerus, *εἰ τοιοῦτον AL* 10 *ποσσότητα* Ahrens et Halmius Aesop. p. VII, *πιότητα* Coraes, *ποσότητα A*, *ποιότητα L*

29, 2 *ζευχθεὶς ὑπὸ μύλην ἑσπέρην πᾶσαν τάλας A*, *ζευχθεὶς δ' ὑπὸ μ. ἤλεσ' ἑσπέρην πᾶσαν L.* At imperfectum desideratur, cfr. 131, 5. Excidit, opinor, versus hac fere sententia: *per totum diem labore conficiebatur, donec sub vesperum ingemisceret.* Ex amisso versu remansisse *ἑσπέρην* videtur, cuius loco certe *ἡμέρην* opus erat. Quapropter Ahrentis coniecturam *πᾶσαν ἑσπέρην „Οἴμοι Τάλας στεν. εἶπεν* repudiamus. 5 *λίην A*, *λίαν L*, *σὺ μέγ'* Hermannus, *δῆτ'* O. Schneiderus, *δὴν* Sauppius, ego *λήν· λίαν* Hesychius. 5 includit Levisius, 5. 6 Lachmannus.

30, 9 *ταλαντεύεις* Bergkius. 7 *εἶτεν* et 9 *εἶδεν λέγοντα* (*A εἶδε λ.*) Halmius fab. 265. Falso. 10 *ἢ γὰρ L*

31, 12 *τότε* Ahrens. 13 *ἀκραίοις* Duebnerus coll. 95, 40., *ἀχρεῖα AL* 15 *μάχην* Ahrens. 20 *ἑάλωσαν A*, *ἑάλων L.* Debebat *ἑάλον*, ut *ἔγνον*. 24 *ηὐτέλεια* Fixius.

32, 4 *τις οὐκ ἔχων A*, *τίς οὐχ ἑκὼν L* 9 *καλῶς AL*

33, 16 *συνθήκης* Meinekius, *συνθήκη* Fixius. 25 om. in textu *L*

34. „Post v. 2 excidit versus, in cuius fine fuit πλήρεις" *L*

35, 3. 4 Nauckius Philol. VI, 408 transponit *ἀγρίης ὑπ' εὐνοίης — ἀθλίως ἀποπνίγει.* Placet vulgata.

36, 2. 3 invertit *L* 2 *ἔδωκε AB*, *ἐνῆκε L* 7 *τις ὢν* ego et Fixius, *τε ὢν A*, *τ' ἐὼν* Duebnerus et *L*. Sed nusquam Babrius *ἐών* habet.

38, 2 *ἐνεῖραν* Fixius, *ἐνῆραν A*, *ἐναφῆκαν L* ex Suida s. v.

39. Post v. 2 quaedam excidisse videntur, cfr. Corais f. 117 p. 110. 362 *εἷς δέ τις τῶν δελφίνων ὑποτυχὼν (ὑπολαβὼν) ἔφη πρὸς αὐτήν· Ἀλλ' ἡμῖν αἱρετώτερόν ἐστιν ὑπ' ἀλλήλων διαφθαρῆναι ἢ σοῦ διαλλάκτου τυχεῖν.* 3 *πολιτείᾳ* Fixius.

42, 8 *ποίαν ἡλόων μ' ἐγίνωσκον L*, pro quo *γινώσκω* dedi, quod ars Babrii flagitat.

43, 6 *τὰ γαῦρ' ἐποπτεύει L* ex Suida s. v. *νέμεσις*.

45, 8 *δ' ἐνδίους* Hertzbergius et Heckerus Philol. V, 493, *δὲ ἰδίας A*, *δέ γ' ἰδίας L* 9 *ἠθρίαζε* Meinekius, *ἠθρίασε AL*

τεθνώσας] Fortasse *τεθνεώσας*, v. Lobeck. ad Buttmanni gr. gr. 2, 199. 12 *γελαστὸς* ego, *γελάσας A*, *γελοῖος L*

46, 2 *βαθυσχίνῳ* O. Schneiderus coll. Leonid. Tar. 107, 2, *βαθυσχοίνῳ AL* 3 *ἑτοίμην AL*, *ἑτοῖμον* Fixius. 7 *ὁ δὲ πενίῃ θνήσκει pr. A*, *ὁ δέ γε πρὸς πείνης θν. corr. A*, *ἤει πρὸς ὕλας· ὁ δὲ πένης κατεσκλήκει L.* Ego Fixium sequor, qui finem versus septimi a glossatore obscuratum ratus coniicit fuisse *τοῦ νοσοῦντος ἀμνήμων.*

47, 1 *ὑπέργηρως AL.* At v. Goettling. doctr. accent. p. 288.

48, 6 *μοι τοῦτο μὴ 'πιλ.* Fixius.

50, 8 *ἢ τῆδ'* O. Schneiderus, *μὴ τῆδ' AL* 16 *μιμνήσκου L.* Versus fortasse spurius. 18 post v. 15 posuit *L* *κεὶ* C. F. Hermannus, *καὶ AL*, *τὸν γὰρ Ὅρκον* Heckerus. 19 *με σώσας — ἀποκτείνας* Ahrens, *μ' ἔσωσας — ἀπέκτεινας AL*

51, 10 *πάρεστι* Fixius, *πάλιν ἔστι AL*

52, 8 *ὡσείπερ αὐτὸς κάμνων A*, *αὐτὸς ὡς ὑπερκάμνων* Ahrens, *ὥσπερ αὐτὸς εἰ κάμνοι* Duebnerus, *αὐτὸς ὡσπερεὶ κάμνων* Hermannus.

53, 8 *πάλιν ἐμοὶ* Ahrens, *μοι πάλιν AL*

54, 2 *ἀρνὸς ἧπαρ* Ahrens.

56, 9 *αὐτοῦ AL*

57, 4 *ἀνθρώπων A*, *ἀνδρῶν L*, *δώρων* Fixius, vel *τοῦ*

φόρτου. 6 τῷ τῶν Ἀράβων *A*, τῶν Ἀραβίων *L* 12 ἐπειρήθης Heckerus.

59, 3 ζῴων Fixius, ζῷον *AL* 7 fortasse πέφυκε πάντας ἐχθραίνειν. 10 ὡς ἀμβλέπων O. Schneiderus. 14 θεμέθλοις Fixius.

61, 4 ἁλιπλώτων Fixius, ἁλιζώων Sauppius.

62, 1 ἀργῆς *AL*. Correxit Fixius Revue de Phil. II, 191.

63, 7 οὐδ' ἄν εἴς τις Meinekius et O. Schneiderus, οὐδ' ἄν τις *A*, οὐδὲν ἄν τις Boissonadius et *L*

64, 8 τῶν πελέκεων *A*, τῶν πελέκεων γε *L*, τῶν πελέκεων τε Fixius. 9 τῶν πριόνων τε Fixius ex fab. Cor. p. 111, καὶ τῶν πελύκων *AL*, qui versum pro spurio habet.

65, 1 γέρανος εὐφυεῖ ταῷ τεφρῇ *L*

66, 2 πλάσαι θ' ἅπασι δ. ζῴοις et 3 ἔκ τε *L* 6 ἰδίων δ' ὄπισθεν ἥτις ἦν πολὺ μείζων *A*, ἰδίων δ' ὄπισθεν ἥτις ἦν πλέη μείζω *L*. Emendavit Levisius.

67, 2 ἦν ego, ἐν *AL*, ὧν Nauckius.

69, 1 δασύπουν ἀναστήσας *A*, λασιόπουν ἀναστ. *L*, δασύπον (δασύποδ' Duebnerus) ἐξαναστήσας Fixius, δασυπόδην ἀναστήσας Ahrens, τὸν δασύποδ' ἀναστήσας Levisius. 2 ἐδίζητ' *L*

70, 3 ἣν Ἄρης κατειλήφει *A*, ἣν χαρεὶς κατ. *L*, ἣν ἄρ' ὕστατ' εἰλήφει Nauckius. 5 δ' ἔτ' αὐτῇ *L* 6 ἔθνη που priore praeter morem Babrii correpta improbans Nauckius coniicit μήτ' οὖν ποτ' ἔθνη. At vv. 6. 7. 8 videntur adulterini. πόλιν τιν' Hermannus. 7 ὕβρις γ' idem.

71, 8 πάντως Duebnerus, πάντων ὧν ego, δὲ πάντες, ὧν *AL*

72, 1 Οὐρανίδῃσι Heckerus. Recte alii οὐρανοῖο (*A* οὐρανίου); cfr. Aeschrionis Samii illud Ἶρις καλὸν οὐρανοῦ τόξον. 6 καθάριον Sauppius. 14 κρεῖσσον *L* 17 τῶν πτερῶν Heckerus p. 489. 19 κίχλη *L*, sed v. Meinek. Exercitatt. Athen. II, 4. 20 σπίζων Bergkius coll. Arati v. 1024 σπίνος ἠῷ σπίζων, παίζων *AL*, ναίων C. F. Hermannus. 21 δὲ φηλὸς ego, ἔφηβος *A*, ἔφεδρος *L* 28 sq. σεαυτοῦ κόσμον οἴκοθεν κόσμει· Κόσμοις ξένοις γὰρ ἐμπρέπων στερηθήσῃ Hermannus.

73, 1 ἀρχὴν *L*, ἄλλοτ' Duebnerus, ἄλλην *A* ὀξέην εἶχε *A*, ὀξέην ἔχει *L*, εἶχεν ὀξέην Fixius. κλαγγήν *AL*, γῆρυν Ahrens, κλάγγα ego, ut Ibycus κλαγγί dixit. 4 πρώην Nauckius.

74, 9 ἀφ' ὧν] ἐν οἷς Heckerus p. 497.

75, 2 δέδιθι producta altera ut apud Nicandrum Alex. 443 δείδιθι. 4 ὁ δ' ἀτεχνὴς A, ὧδ' ἀτεχνὴς L, ὁ δ' ἄτεχνος οὖν Fixius, ὁ δ' αὖτ' ἄτεχνος ego olim, ὧδ' ἀτενὴς Nauckius Arist. Byz. p. 295, cui cum Cobeto ἀτέχνης graecum esse neganti Meinekius Vindic. Strabon. p. 138 opponit κλυτοτέχνης Homeri, poterat addere πολυτέχνης Solonis. Fortasse tamen Babrii est μόνος δ' ἄτεχνος quod exprimit paraphrasta p. 121 Cor. Levisio locus interpolatus est vocesque ei videntur excidisse in hunc fere intellectum: παρὰ τὸν ἄρρωστον. 6 ἐξαρῶ σε et ἐνεδρεύσω L 7 τὤκρον Ahrens, τό γ' ἄκρον Fixius, τὸ μακρὸν AL 16 βραβεύειν L, ῥύεσθαι Fixius. Ceterum Ausonius epigr. 75 hanc fabulam elegiacis versibus reddidit, cfr. Philol. I, 420.

76, 6 τόθ' ὁ κλεινὸς L 9 δύσκηνος L, δυστήνοις A, δυστήνως ego. 12 τ' ἐκέλευε A, τ' ἐφώνει L ex Corae p. 236 καὶ ἡ σάλπιγξ ἐφώνει, τ' ἔκλαγξε Fixius.

77, 2 τούτου δ' ἀλ. Nauckius.

78, 4 ne prior v. τέκνον corripiatur Nauckius καὶ τίς σε, τέκνον, φησί coniicit. Fortasse τέκος.

79, 2 διῄει frustra Heckerus p. 497. 8 ἀναλοῦται Georgides gnomologus, ἀνήλωται AL

80, 4 μὴ καταγέλαστον, μή τι πυρρίχην παίζειν L ex Suida.

81, 1 Κερδοῖ πίθηκος εἶπεν et v. 3 κερδὼ πιθήκῳ φησίν Ahrens ductu paraphrasium Cor. p. 241, et Nauckius Philol. VI, 408: Κερδὼ πιθήκῳ et κερδοῖ πίθηκος εἶπεν AL

82, 5 δυναστεύων Ahrens, βασιλεύων θηρίων A 8 sic Suidas: κακὴν δὲ μελέτην ἐπ' ἐμὲ τῆς ὁδοῦ τρίβει A

83. Excidisse quaedam apparere videtur ex Cor. p. 123 κριθὴν τὴν τοῦ ἵππου ὁ ἱπποκόμος κλέπτων καὶ πωλῶν τὸν ἵππον ἔτριβε καὶ ἐκτένιζε πάσας ἡμέρας. 6 sqq. L habet sub textu tanquam pedestrem orationem. Sequor Levisium. Initio v. 8 fortasse excidit ὦ Βράγχε.

84, 3 κλίνω Dositheus, σαίνω A, κάσαίνω Ahrens coll. Hesychio s. v., ξαίνω Piccolos.

85, 5 τὴν μ. δ' ἐνεδρεύσει Fixius, τὴν μ. ἐνεδρεύσει A, προάξει τὴν μάχην, ἐνεδρεύσειν. L 8 τῶν πολεμίων μὲν Fixius. 10 εἰσίν, οἱ δ' Fixius. 13 χρῶμά γ' idem.

86, 9 deleto Fixius v. 10 καὶ γαστέρα emendat.

87, 3 μεταστα θεὶς Duebnerus et *L*, ψεύσων *L*. At μεταστραφεὶς est *versa sententia*, anders sinnes geworden. 6 οὔτως *L*

88, 17 εἶπεν, κορ. φησι νηπίοις Fixius, servato v. 16 πᾶσι, quod est in cod. Vaticano: nam *A* v. 16 ignorat.

89, 5 ἐγὼ οὐ περύσινός, ἐπ' ἔτος *A*, ἐγὼ οὐ περυσινός εἰμ', ἐπ' ἔτος *L*, ego ὅς γ' inserui. 6 fort. ἐγώ.

91, 4 τὸν ταῦρον ἐμβὰς τοῖς ego et Bergkius, ἐμβάντα τοῖς *A*, ἐμβαίνοντα *L*. Bergkius praeterea τὸν ταῦρον ἄντα.

94, 3 ἔφασκε Fixius, ἔλεξε ego. 7 τῆς ἰατρείης ego, τῶν ἰατρείων *A*, τῶν ἰατρειῶν *L*

95, 12 ἔσκυσσε Ahrens, ἔσκυσε *A*, ἔκυσσε *L* 26 οὖν Sauppius, ἂν *A* 29 πάλαι *L* 35 cum paraphrastis delet Fixius. 61 μ' ὅποι Hermannus, με κἂν Ahrens, με καὶ *A*, omnino delet versum Duebnerus ignoratum ab paraphrastis. 62 τι χαιρ. Cobetus Orat. p. 154. 63 delent Duebnerus et Hermannus. γρύξαι τι *A*. An καί τι γρῦ σὺ τολμ.? 64 ἄλλους — τοὺς ἀπειρήτους cum paraphrasi Cobetus. 65 αἱρέτιζε Cobetus, qui hyperbaton neglexisse videtur. 69 βουλεύσων Nauckius.

96, 1 τριγχὸν Suidas, θριγκὸν *AL*

97, 8 ἀλλ' ἢ *AL*, ἀλλ' ego.

98, 9 περιβαλεῖν *L*, sed v. Nauck. Philol. VI, 386. 16 λίθῳ τις] λίθοισιν Piccolos, perperam.

100, 3 ἢ add. Hermannus, οὖν Buttmannus, εἰ Weisius. 4 μὴ μεθῇς σὺ Hermannus, ὠκύπτερόν σε μὴ μ. cum paraphrasi Levisius.

101, 6 νῦν τυφωθεῖσα *L*. At idem βραχυλόγως inest in vulgata. 7. 8 γίγνῃ et φαίνῃ transponit Nauckius Philol. VI, 409 coll. fab. Fur. 360 (Cor. p. 267), ubi bis φαίνῃ. Id ego paene malim.

104, 7 ἠπιεικείης *L*. Sed cfr. de forma ἐπείκετα Nauckium Philol. I, 356 et mea ad Hyperidis oratt. p. 7, 13.

106, 4 ἐπειράθη Levisius coll. 57, 12. 7 ἡμέρων Bergkius. 9 φῆλον δὲ κερδῷ Bergkius. 10 συνεξήκει Fixius, συνεξήτει *AL* 17. 19. 18 transponit Baiterus ἀποσχοῦσαν cum *A* retento pro ἀποσχοῦσα. 29 ὡς λέων] ἵλεως Sauppius. Sed

cfr. Dio Chrys. 43, 5 ὁ δὲ δῆμος ὡς δῆμος ἠγνόει καὶ ἀνεπείθετο. Propertius 4, 8, 55 *Fulminat illa oculis et quantum femina saevit*, et rell. 30 ταῦτα] φησί Fixius.

107, 7 θέμις σῶν ego, ἀμέσσων *A*, ἄμεινον *L* 8 τοῦδε vel τῶνδε Fixius. 9 ζώειν Hertzbergius et Fixius. 11 σφαλοῖς Meinekius, σφαλεὶς *AL* 17 μηδέ πως Fixius, μηδὲ τῶν *A*, μηδ' ἐτῶν *L*

Prooemium alterum. 5 λίβυς τινός *A*, Λιβύστῖνος *L*, Λιβυστίνοις ego. 6 λόγους Κυβίσσης ego, λόγου λιβύσσης *A*, λόγους Λίβυσσιν *L* 7 δίδωμι καθαρῷ *A*, δίδωμι φαλάρῳ Duebnerus, ᾄδω κεκρυφάλῳ *L* 10 σοφωτέρας *AL*, ψοφωτέρας ego, a ψόφος ut κύντερος a κύων aut a ψοφός. Callimachus: μηδ' ἀπ' ἐμοῦ διφᾶτε μέγα ψοφέουσαν ἀοιδήν. Alius κἀσοφωτέρας, O. Schneiderus κοὐ σοφωτέρας μ., γρίφοις δ' ὁμ. 12 ἢ γεγωνίσκειν Nauckius Philol. IV, 197, ἤ με γινώσκειν *A*, ἠμὲ γινώσκειν *L* 14 θήγω *AL*

109, 4 ἔπελθε Fixius, πρόελθε Heckerus l. c. 497. An ὀρθὴν ἄγ' ἐλθέ?

110, 3 οὐραίην Fixius et Meinekius, οὐραίης *AL* 4 βαρδύνεις Ahrens, δηθύνεις Nauckius Philol. IV, 198, βραδύνεις *A*, δ' ἁβρύνῃ *L*

111, 4 τὸν ὄνον] ὦνον Piccolos. 12 καὶ πάλιν ὅλους τήξας *A*, κάτα π. ὅ. τ. Ahrens, καθ' ὅλους πάλιν τήξας O. Schneiderus, καὶ πάλιν δόλους τεύξας *L*. An καὶ πάλιν δ' ἅλας τήξας? Interim sequor Levisium. 13 κερδήνας Heckerus, κερδήσας *AL* 14 κάπηλον ἐπινοεῖ τέχνην Ahrens, nam *A* τέχνην ἐπινοεῖ καί. Mihi πλείους obscurum. An πλῆθος — σπόγγων .. πολυτρήτων? 16 μεμειώκει *L*

114, 2. 3 λάμπει Κρεῖσσον ἐν Ahrens. 6 sq. φαῖνε λύχνε καὶ σίγα. τῶν ἀστέρων τὸ φέγγος οὔποτ' ἐκλείπει fab. Cor. p. 157. In scriptura *AL* βαιὸν ἦν λύχνου πνεῦμα· τῶν δ' ἀστέρων τὸ φέγγος οὐκ ἀποθνήσκει contra morem Babrii λύχνου priorem brevem habet. Quare alterum posui.

115, 4 ταῦτα] Expectes κλύων, cuius priorem producit Phoenix Colophonius, ut Aeolensium erat κλυίω. 5 χέλυμνα *A*, χέλυννα *L*. At cfr. quae dixi Philol. I, 379.

116, 12 εὕδειν *A*, ἐλθεῖν *L*

118, 11 φεύγει *A*

119, 1 τεχνητός *L*

120, 8 ὁ et σῴζων Duebnerus et Hermannus. χλωρὸν Roeperus Philol. VII, 4, χωλὸν *AL*. Illud commendat Avianus fab. 6, 11

'haec dabil aegrotis' inquit 'medicamina membris,
pallida caeruleus cui notat ora color?'

122, 10 θερμός *L* 13 τ' delendum videtur.

123, 1 ᾠὰ χρυσᾶ *AL* 4 ἀθρόων μένων λῆψιν *L*, ἀθρόον μέλλων λήψειν *A*, μέλλων αὐτίκ' ἀθρόον λέξειν Piccolos.

124 apud Coraen p. 269. 19 οἶσθα C. Schneiderus, οἶδας *F*, οἶδα *L* 20 τι δειπνῆσαι *L*

125 apud Coraen p. 268. 4 τὰ νῶτ' ἐληλέγχει ego, τὸ νῶτον ἤλεγχεν *FL*, τὸ νῶτον ἤλοία Nauckius.

126, 3 πανούργοισιν *L*, πανουργοῖσιν Nauckius coll. Lobeck. ad Aiac. p. 261. 6 ἔλεγον Tzetzes, ἐλέγοντο Bentleius, ἔλεγον πολλὰ Levisius.

127, 1 ἐρήμειαν *L*, ἐρημίαν *F*, ἐρημαίαν Nauckius. 2 ἀλήθειαν μόνην *F*, οἴην εὗρε τὴν Ἀληθίην Levisius. 7 πάντας βροτοὺς *F*. An εἰς βροτοὺς ἅπαντας ἤλυθεν ψεῦδος? 8 ἐμοῦ βούλῃ ego, βεβούλησαι *L*, βεβούλησαι κλύειν *F*

128 ex Suida s. v. κωμῆται, coll. Cor. fab. 257 p. 168. 2 ὄνος εἶ θεὸν φέρων, ἀλλ' οὐ θεοῖς ὑπάρχεις ὁμότιμος *C*, unde *L* κοὐ θεοῖς ἴσος. Levisius praeterea exculpsit versum (fr. VIII)

σκιρτῶν ἔμελλε τὸν θεὸν καταρρῖψαι.

Et facili opera fabellam restituas totam. Veluti post hunc versum sequebatur fere hic:

τοῦτον δ' ὁ δεσπότης ἔφη ξύλῳ παίων.

Secundus fuerit:

πολλοὶ δ' ὁδῖται προσεκύνουν συναντῶντες.

Cfr. Halmii fab. 324 et 324b.

129 servavit Vatic. p. 412 Cor., minus integram Bodl. p. 238.

130 Cor. p. 405, cfr. Xenophontis Memm. 2, 7, 13. 1 *Οἰῶν L*, *Οἶς F*. An Ὄϊς? Levisius, quoniam accusativum in -ηα non usurpet Babrius, coll. 77, 3 suspicatur:

Νομέα ποτ' οἶς λόγῳ προσεῖπε τοιούτῳ.

In reliquis quoque scriptura vacillat. 4 περισσεύσει *FL*, περισσεύει Coraes. 9 εὐμαρεῖ vel εὐπόρῳ Levisius. 10 *Ταῦθ' ὡς ἤκουσεν ἡ κύων ἔφη ταῦτα F*, *Ἤκουσε τούτων ἡ*

κύων ἔφη τ' οὐ L. Correxi, sed possit etiam *ταῦθ' ὡς ἐπέσχεν ἡ κύων.*

131 apud Coraen p. 371 ex *F.* 1 *Ὄνον εἶχέ τις καὶ κυνίδιον Μελιταῖον L* ex paraphr. p. 137., *Ὄνον τις ἔτρεφε καὶ κυνίδιον πάνυ ὡραῖον F.* Sequor C. Schneiderum. 2 *ἔχαιρεν εὐρύθμως παῖζον L*, quod transposui cum Nauckio propter mensuram voc. *εὐρύθμως*, v. Philol. VI, 407. 5 *Ὁ δέ γ' ὄνος τὴν μὲν νύκτα ἀλήθων F*, *Ὁ δέ γ' ὄνος αὖ τὴν ἑσπέρην μὲν ἤληθεν L*, quod immutavi. 8 *καὶ ἦν ἐν αὐλῇ* et *φάτναις F*, *καὶ νῦν ἐν αὐλῇ παρὰ φάτναισι δεσμώτης L.* At *φάτναισι* vix potest amphibrachys esse. 11 *ἐν ἁβρότητι πάσῃ F*, *ἐν ἁβρ. τῇ πάσῃ L*, *ἁβρότητι σὺν πάσῃ* Nauckius Philol. VI, 406, probabiliter Levisius *ἁβρότητι παντοίῃ.*

132 ex Suida s. v. *κωλώτης*, *ὁ ἀσκαλαβώτης.* Cfr. Aristot. H. A. 9, 1.

133 *L* refinxit ex Bodleiano p. 96 Cor., ubi est: *στικτή ποτε πάρδαλις ἐκαυχᾶτο φορεῖν ἁπάντων ζῴων ποικιλωτέραν δέρριν. πρὸς ἣν ἀλώπηξ εἶπεν· "ἐγώ σου τῆς δορᾶς κρείττονα καὶ ποικιλωτέραν γνώμην ἔχω."* Paullo auctius Eustathius Opuscc. p. 353, 45: *Εἰσάγεται ἐν τοῖς Αἰσώπου μύθοις ἡ πάρδαλις ἐπισκώπτουσα τὴν ἀλώπεκα, ὡς ἡ μὲν ποικίλη τε εἴη καὶ ταῖς φολίδεσσι κατάστικτος, ἡ δὲ αὐχμηρὰ τὴν δορὰν καὶ τὴν χρόαν παντάπασιν ἀκαλλής. ἀλλ' ἥ γε ἀλώπηξ "Σὺ μὲν τοῖς φαινομένοις νικᾷς" ἔφησε "κάλλεσιν· ἐγὼ δὲ τοῖς κρυφίοις τε καὶ λανθάνουσιν."*

134 apud Cor. p. 42 est 1 *Ποιμὴν νεογνὸν λύκου σκύμνον εὑρών*, unde *L Σκύμνον λύκου νεογνὸν εὗρέ τις ποιμήν.* Id mutavi: Nauckius Ar. Byz. p. 113 *Ποιμὴν νεογνὸν εὗρέ τις λύκου σκύμνον.* De fabula cfr. Ahrens Philol. VII, 439.

135 Cor. p. 174, fab. 349 et 349ᵇ Halm.

136 Cor. p. 157 ex cod. Bodleiano, fab. 287ᶜ Halm. 3 *φέρουσα τῷ Διὶ μέλι μήπω καπνισθὲν B*, unde *L* posuit *μή πω καπνισθὲν* .... Sed Babrius non erat correpturus priorem v. *καπνισθέν.* Ergo omisi.

137 Dositheus Mag. p. 37 Boecking. 3 *ἱκέτευε* Fixius. 10 *προσέχειν* Georgides Gnomol. p. 48, *προσέχειν νοῦν L* cum Boissonadio, *προσίσχειν* ego.

138 Cor. p. 163 et 385. 2 Suidas s. v. *τιττυβίζετε*, *ἐπὶ χελιδόνος.*

139 Suidas s. v. ἀτελεόν. Cfr. Cor. p. 230. 407. 1 πάντ' ἐγεννᾶτε Bodl., πάντα τίκτητε Suidas, πάντα τίκτοιτε *L*

140 Cor. p. 164. κυριευθῆναι *C*, κυριεύσεσθαι *L*

141 Cor. p. 6 (Halm. 45ᵇ). Quod *L* posuit κρημνόν peccat in regulam Babrianam. In paraphrasi est Τράγος ἐν θέρει σφοδρῶς διψήσας κατῆλθεν εἰς βαθύκρημνον ὕδωρ πιεῖν. Quae sunt ibi: Ἀλώπηξ δὲ τοῦτον ἰδοῦσα ἔφη apud Babrium forsitan fuerint:

Κερδὼ δὲ τοῦτον εἰσιδοῦσ' ἔφη τοῖα.

142 Tzetzes Chill. 9, 168.

143 Suidas in γέρανος et ταὼς εὐπήληξ. 1. 2 ἢ ταὼς ἵν' εὐπήληξ et βόσκοιτο *L* λείμακος Levisius, χείματος Suidas et *L*. Fabula ignota: nam Lachmanni suspicio de fab. Cor. p. 36. 312 parum probabilis.

144 Cor. p. 227.

145 Cor. p. 183.

146 Suidas in ἠίων· ἀχύρων. ἤια λύειν libri, ἤι' ἀλλύειν Toupius.

147 Lachmanni resecui, cum eos versus apud Apoll. Soph. lex. Hom. p. 10, 13 Callimachi esse docuerim.

Fabula Cor. 283, Halm. 410 Φαλακρὸς ἱππεύς. Φαλακρός τις ξένας τρίχας τῇ ἑαυτοῦ περιθεὶς κεφαλῇ ἵππευεν. Ἄνεμος δὲ φυσήσας ἀφεῖλε ταύτας· γέλως δὲ πλατὺς τοὺς παρεστῶτας εἶχε. Κἀκεῖνος εἶπε τοῦ δρόμου παύσας· "τὰς οὐκ ἐμὰς τρίχας τί ξένον φεύγειν με, αἳ καὶ τὸν ἔχοντα ταύτας, μεθ' οὗ καὶ ἐγεννήθησαν, κατέλιπον;" Hinc Levisius hos tres versus exculpsit fr. XIII p. 145:

Γέλως πλατὺς δ' ἄρ' εἶχε τοὺς παρεστῶτας.
Κἀκεῖνος αὐτοῖς εἶπε, τοῦ δρόμου παύσας·
„τὰς οὐκ ἐμὰς τρίχας τί με ξένον φεύγειν;"

Rectius, credo, ita instaurabimus:

Ταύτας δ' ἀφεῖλεν ἄνεμος ἄκρα φυσήσας.
γέλως δὲ πάντας εἶχε τοὺς παρεστῶτας.
κἀκεῖνος αὐτοῖς εἶπε τοῦ δρόμου παύσας·
„τί δὴ ξένον τὰς οὐκ ἐμὰς τρίχας φεύγειν" . . .

Ultima scitius Avianus fab. 10.

Apud Cor. 170 p. 105:

Ἔθαλπέ τις γεωργὸς ἐν κόλποις ὄφιν
ὥρᾳ κρύους. ἐπεὶ δὲ θέρμης ᾔσθετο,

ἔπληξε τὸν θάλψαντα κἄκτεινεν τάχος.
στένων δ' ὁ πληχθεὶς τόνδε τὸν στίχον ἔφη·
Δίκαια πάσχω, τὸν πονηρὸν οἰκτείρας.
οὕτω κακοὶ ποιοῦσι τοὺς εὐεργέτας.

Babrii versum agnovit Levisius fr. XIV.

Fab. 183 p. 114 Cor. ἔχις καὶ ἀλώπηξ haec est: *Καί τις ἄμπελος πλησίον εἶχε τοῦ ποταμοῦ τὸν φραγμόν. τοῦ δὲ ποταμοῦ ἐξ ὄμβρων φυσηθέντος ἦρε τὸν φραγμὸν καὶ καθελὼν ἀπῄει. Τῇ δὲ παλιούρῳ δράκων τις συνεπλάκη, ὃς ἐφέρετο τοῦ ποταμοῦ ἐν μέσῳ. Καί τις κατιδὼν ἔφη γελάσας μέγα· Ἡ μὲν ναῦς κακή, ἀξία δὲ τοῦ ναύτου. Ὁ μῦθος δηλοῖ, ὅτι δικαίως οἱ κακοὶ σὺν κακοῖς ἀπόλλυνται.* Hinc elicuit Levisius fr. XV:

ἡ ναῦς κακὴ μέν, ἀξία δὲ τοῦ ναύτου.
κακοὶ δικαίως σὺν κακοῖς ἀπόλλυνται.

At alter legem Babrianam migrat, alter fuerit:

κακὴ μὲν ἡ ναῦς, ἀξίη δὲ τοῦ ναύτου.

Vestigia choliamborum satis manifesta etiam aliis in fabulis facile agnoscas, veluti, ut exemplo utamur, in fab. 281 Halmii, 235 p. 154 Cor., coll. p. 380, ubi in numeros innumeros redacta est: *Λύκος καὶ ὄνος. Λύκος τῶν λοιπῶν λύκων στρατηγήσας πᾶσιν ἔταξε νόμον αὐτοῖς προτείνας, ἵν' ὅ τι τις αὐτῶν δηποτοῦν κυνηγήσῃ, εἰς μέσον ἀγάγῃ καὶ μοιράσῃ τοῖς πᾶσιν. Ταῦτ' οὖν ὄνος ἀκηκοὼς τὴν χαίτην ἔσεισε καὶ γελῶν ἔφη τάδε· "καλῶς εἴρηκας, ὦ πρώταρχε τῶν λύκων· ἀλλὰ πῶς σὺ χθὲς ἣν ἐκράτησας ἄγραν κοίτῃ παρέθου τῇ ἰδίᾳ λαθραίως εἰς τροφήν σοι; κόμισον ταύτην μερισθῆναι τοῖς πᾶσιν." Ὁ δὲ θαμβηθεὶς κατέλυσε τοὺς νόμους.* Tentemus ergo:

Λύκος μέγας τις τῶν λύκων στρατηγήσας
ἔταξε . . . . νόμον πᾶσιν,
ἵν' ὅ τι τις αὐτῶν δηποτοῦν κυνηγήσῃ
ἐς μέσσον ἀγάγῃ τοῖς τε πᾶσι μοιράσῃ.
ταῦτ' οὖν ἀκούσας ὄνος ἔσεισε τὴν χαίτην
. . . . καὶ γελῶν ἔφη ταῦτα.
"καλῶς ἔλεξας, ὦ λύκων δυναστεύων·
πῶς οὖν, κράτισθ', ἣν χθιζὸς ἐκράτεις ἄγρην
. . . . λαθραῖον εἰς θοίνην;
Κόμισον σὺ ταύτην, ἵνα μερισθῇ τοῖς πᾶσιν."

Alia sperari possunt ex codice Bodleiano n. 2906 a Tyrwhitto non satis exhausto, nuper a J. Zuendelio denuo consulto, v. Mus. Rhen. 1847, V p. 639 sq. Is vir doctus fab. 96b Halm. initium ita refingit:

Ὄφις γεωργοῦ πρὸς θύραισι φωλεύων
ἀνεῖλεν αὐτοῦ παῖδα νήπιον τύψας.

Scribebam Gottingae mense Maio MDCCCLIII.

ΒΑΒΡΙΟΥ

ΜΥΘΙΑΜΒΟΙ ΑΙΣΩΠΕΙΟΙ.

Γενεὴ δικαίων ἦν τὸ πρῶτον ἀνθρώπων,
ὦ Βράγχε τέκνον, ἣν καλοῦσι χρυσείην.
* * * * * * * * * *
τρίτη δ' ἀπ' αὐτῶν τις ἐγενήθη χαλκείη,
μεθ' ἣν γενέσθαι φασὶ θείαν ἡρώων.
πέμπτη σιδηρᾶ ῥίζα καὶ γένος χεῖρον.
ἐπὶ τῆς δὲ χρυσῆς καὶ τὰ λοιπὰ τῶν ζῴων
φωνὴν ἔναρθρον εἶχε καὶ λόγους ᾔδει·
ἀγοραὶ δὲ τούτων ἦσαν ἐν μέσαις ὕλαις.
ἐλάλει δὲ πέτρα καὶ τὰ φύλλα τῆς πεύκης,
ἐλάλει δὲ πόντος, Βράγχε, νηὶ καὶ ναύτῃ,
στρουθοὶ δὲ συνετὰ πρὸς γεωργὸν ὡμίλουν.
ἐφύετ' ἐκ γῆς πάντα μηδὲν αἰτούσης,
θνητῶν δ' ὑπῆρχε καὶ θεῶν ἑταιρείη.
μάθοις δ' ἂν οὕτω ταῦτ' ἔχοντα καὶ γνοίης
ἐκ τοῦ σοφοῦ γέροντος ἡμῶν Αἰσώπου
μύθους φράσαντος τῆς παλαιτέρας μούσης.
ὧν νῦν ἕκαστον ἵνα θέῃς ἐνὶ μνήμῃ
μελισταγές σοι, λῷστε, κηρίον θήσω,
πικρῶν ἰάμβων σκληρὰ κῶλα συνθλάσσας.

1 Ἄνθρωπος ἦλθεν εἰς ὄρος κυνηγήσων,
τόξου βολῆς ἔμπειρος· ἦν δὲ τῶν ζῴων

φυγή τε πάντων καὶ φόβου δρόμος πλήρης.
λέων δὲ μοῦνος προὐκαλεῖτο θαρσήσας
αὐτῷ μάχεσθαι. „μεῖνον" εἶπε, „μὴ σπεύσῃς"
ἄνθρωπος αὐτῷ, „μηδ' ἐπελπίσῃς νίκῃ·
τῷ δ' ἀγγέλῳ μου πρῶτον ἐντυχὼν γνώσῃ
τί σοι πτοητόν ἐστιν." εἶτα τοξεύει
μικρὸν διαστάς. χὠ μὲν οἰστὸς ἐκρύφθη
λέοντος ὑγραῖς χολάσιν· ὁ δὲ λέων δείσας
ὥρμησε φεύγειν ἐς νάπας ἐρημαίας.
τούτου δ' ἀλώπηξ οὐκ ἄπωθεν εἱστήκει.
ταύτης δὲ θαρσεῖν καὶ μένειν κελευούσης,
„οὔ με πλανήσεις" φησίν, „οὐδ' ἐνεδρεύσεις·
ὅπου γὰρ οὕτω πικρὸν ἄγγελον πέμπει,
πῶς αὐτὸς ἤδη φοβερός ἐστι γιγνώσκω."

Ὅτι δεῖ ἐκ τῶν προσφερομένων γινώσκειν τὴν ἑκάστου διάθεσιν. καὶ ὅτι ἡ σοφία τῆς δυνάμεως διαφέρει.

2 Ἀνὴρ γεωργὸς ἀμπελῶνα ταφρεύων
καὶ τὴν δίκελλαν ἀπολέσας ἐπεζήτει,
μὴ τῶν παρόντων τις ὑπέκλεψεν ἀγροίκων.
ἠρνεῖθ' ἕκαστος. οὐκ ἔχων δ' ὃ ποιήσει,
εἰς τὴν πόλιν κατῆγε πάντας ὁρκώσων·
τῶν γὰρ θεῶν δοκοῦσι τοὺς μὲν εὐήθεις
ἀγροὺς κατοικεῖν, τοὺς δ' ἐσωτέρω τείχους
εἶναί τ' ἀληθεῖς καὶ τὰ πάντ' ἐποπτεύειν.
ὡς δ' εἰσιόντες τὰς πύλας ἐπὶ κρήνης
τοὺς πόδας ἔνιζον κἀπέθεντο τὰς πήρας,
κῆρυξ ἐφώνει χιλίας ἀριθμήσειν
μήνυτρα σύλων ὧν ὁ θεὸς ἐσυλήθη.
ὁ δὲ τοῦτ' ἀκούσας εἶπεν „ὡς μάτην ἥκω·
κλέπτας γὰρ ἄλλους πῶς θεός γ' ἂν εἰδείη,

ὃς τοὺς ἑαυτοῦ φῶρας οὐχὶ γιγνώσκει,
ζητεῖ δὲ μισθοῦ μή τις οἶδεν ἀνθρώπων;“

Ὅτι χρὴ ἀπιστεῖν τοῖς ὑπισχνουμένοις, ὧν οὐκ εἰσὶ δεσπιστά (δεσπόται?).

3 Αἶγάς ποτ’ εἰς ἔπαυλιν αἰπόλος κλῄζων
[ἐπὶ σηκὸν ἄγειν θ’, ὡς αἱ μὲν ἦλθον, αἱ δ’ οὔπω,]
μιᾶς ἀπειθοῦς ἐν φάραγγι τρωγούσης
κόμην γλυκεῖαν αἰγίλου τε καὶ σχίνου
τὸ κέρας κατῆξε μακρόθεν λίθῳ πλήξας.
τὴν δ’ ἱκέτευε „μή, χίμαιρα συνδούλη,
πρὸς τοῦ σε Πανός, ὃς νάπας ἐποπτεύει,
τῷ δεσπότῃ, χίμαιρα, μή με μηνύσῃς·
ἄκων γὰρ ηὐστόχησα τὸν λίθον ῥίψας.“
ἡ δ’ εἶπε „καὶ πῶς ἔργον ἐκφανὲς κρύψω;
τὸ κέρας κέκραγε, κἂν ἐγὼ σιωπήσω.“

Ὅτι τὰ δημοσίᾳ ἁμαρτηθέντα κατ’ οὐδένα τρόπον χρὴ κρύπτειν.

4 Ἁλιεὺς σαγήνην, ἣν νεωστὶ βεβλήκει,
ἀνείλετ’· ὄψου δ’ ἔτυχε ποικίλου πλήρης.
τῶν δ’ ἰχθύων ὁ λεπτὸς εἰς βυθὸν φεύγων
ὑπεξέδυνε δικτύου πολυτρήτου,
ὁ μέγας δ’ ἀγρευθεὶς εἰς τὸ πλοῖον ἡπλώθη.
σωτηρία πώς ἐστι καὶ κακῶν ἔξω
τὸ μικρὸν εἶναι· τὸν μέγαν δὲ τῇ δόξῃ
σπανίως ἴδοις ἂν ἐκφυγόντα κινδύνους.

5 Ἀλεκτορίσκων ἦν μάχη Ταναγραίων,
οἷς θυμὸν εἶναί φασιν οἷον ἀνθρώποις.
τούτων ὁ λειφθείς (τραυμάτων γὰρ ἦν πλήρης)
ἔκυπτ’ ἐς οἴκου γωνίην ὑπ’ αἰσχύνης·
ὁ δ’ ἄλλος εὐθὺς εἰς τὸ δῶμα πηδήσας

ἐπικροτῶν τε τοῖς πτεροῖς ἐκεκράγει.
καὶ τὸν μὲν αἰετός τις ἐκ στέγους ἄρας
ἀπῆλθ᾽· ὁ δ᾽ ἄλλος ἀμφέβαινε θηλείαις,
ἀμείνονα σχὼν τἀπίχειρα τῆς ἥττης.
[ἄνθρωπε, καὶ σὺ μή ποτ᾽ ἴσθι καυχήμων,
ἄλλου σε πλεῖον τῆς τύχης ἐπαιρούσης.
πολλοὺς ἔσωσε καὶ τὸ μὴ καλῶς πράττειν.]

6 Ἁλιεὺς θαλάσσης πᾶσαν ἠόνα ξύων
λεπτῷ τε καλάμῳ τὸν γλυκὺν βίον σῴζων
μικρόν ποτ᾽ ἰχθὺν ὁρμιῆς ἀφ᾽ ἱππείης
ἤγρευσεν, οὐ τῶν εἰς τάγηνον ὡραίων.
ὁ δ᾽ αὐτὸν οὕτως ἱκέτευεν ἀσπαίρων·
„τί σοι τὸ κέρδος; ἢ τίν᾽ ὦνον εὑρήσεις;
οὐκ εἰμὶ γὰρ τέλειος, ἀλλά με πρῴην
πρὸς τῇδε πέτρῃ φυκὶς ἔκυσ᾽ ἐμὴ μήτηρ.
νῦν οὖν ἄφες με, μὴ μάτην ἀποκτείνῃς.
ἐπὴν δὲ πλησθεὶς φυκίων θαλασσαίων
μέγας γένωμαι, πλουσίοις πρέπων δείπνοις,
τότ᾽ ἐνθάδ᾽ ἐλθὼν ὕστερόν με συλλήψῃ."
τοιαῦτα μύζων ἱκέτευε κἀσπαίρων,
ἀλλ᾽ οὐκ ἔμελλε τὸν γέροντα θωπεύσειν·
ἔφη δὲ πείρων αὐτὸν ὀξέῃ σχοίνῳ
„ὁ μὴ τὰ μικρά, πλὴν βέβαια, τηρήσας
μάταιός ἐστιν, ἢν ἄδηλα θηρεύῃ."

7 Ἄνθρωπος ἵππον εἶχε. τοῦτον εἰώθει
κενὸν παρέλκειν, ἐπετίθει δὲ τὸν φόρτον
ὄνῳ γέροντι. πολλὰ τοιγαροῦν κάμνων
ἐκεῖνος ἐλθὼν πρὸς τὸν ἵππον ὡμίλει
„ἄν μοι θελήσῃς συλλαβεῖν τι τοῦ φόρτου,
τάχ᾽ ἂν γενοίμην σῶος· εἰ δὲ μή, θνήσκω."

ὁ δ᾽ „οὐ προάξεις;“ εἶπε „μή μ᾽ ἐνοχλήσῃς.“
εἶρπεν σιωπῶν, τῷ κόπῳ δ᾽ ἀπαυδήσας
πεσὼν ἔκειτο νεκρός, ὡς προειρήκει.
τὸν ἵππον οὖν παρ᾽ αὐτὸν εὐθέως στήσας
ὁ δεσπότης καὶ πάντα τὸν γόμον λύων
ἐπ᾽ αὐτὸν ἐτίθει τὴν σάγην τε τοῦ κτήνους,
καὶ τὴν ὀνείην προσεπέθηκεν ἐκδείρας.
ὁ δ᾽ ἵππος „οἴμοι τῆς κακῆς“ ἔφη „γνώμης·
οὗ γὰρ μετασχεῖν μικρὸν οὐκ ἐβουλήθην,
τοῦτ᾽ αὐτό μοι πᾶν ἐπιτέθεικεν ἡ χρεία.“

8 Ἄραψ κάμηλον ἀχθίσας ἐπηρώτα
πότερ᾽ ἀναβαίνειν μᾶλλον ἢ κάτω βαίνειν
αἱροῖτο. χὠ κάμηλος οὐκ ἄτερ μούσης
εἶφ᾽ „ἡ γαρ ὀρθὴ τῶν ὁδῶν ἀπεκλείσθη.“

Ὁ λόγος εὔθετος πρὸς ἄνδρας διεστραμμένους τῆς εὐθείας ὁδοῦ ἐκκλίνοντας.

9 Ἁλιεύς τις [αὐλοὺς εἶχε καὶ σοφῶς ηὔλει,
καὶ δή ποτ᾽] ὄψον ἐλπίσας ἀμοχθήτως
πολὺ πρὸς αὐλῶν ἡδυφωνίην ἄξειν,
τὸ δίκτυον θεὶς ἐτερέτιζεν εὐμούσως.
ἐπεὶ δὲ φυσῶν ἔκαμε καὶ μάτην ηὔλει,
βαλὼν σαγήνην ἔλαβεν ἰχθύας πλείστους.
ἐπὶ γῆς δ᾽ ἰδὼν σπαίροντας ἄλλον ἀλλοίως,
τοιαῦτ᾽ ἐκερτόμησε, τὸν βόλον πλύνων.
„ἄναυλα νῦν ὀρχεῖσθε. κρεῖσσον ἦν ὑμᾶς
πάλαι χορεύειν, ἡνίκ᾽ εἰς χοροὺς ηὔλουν.“
οὐκ ἔστιν ἀπόνως οὐ καμόντα κερδαίνειν·
ὅταν βαλὼν δὲ τοῦθ᾽ ἕλῃς ὅπερ βούλει,
τὸ κερτομεῖν σοι καιρός ἐστι καὶ παίζειν.

Ὁ μῦθος λέλεκται πρὸς τοὺς ματαίως παρὰ τὸ δέον τι ἐργαζομένους.

10 Αἰσχρᾶς τις ἤρα καὶ κακορρύπου δούλης
ἰδίας ἑαυτοῦ, καὶ παρεῖχεν αἰτούσῃ
ἅπανθ' ἑτοίμως. ἡ δὲ χρυσίου πλήρης,
σύρουσα λεπτὴν πορφύραν ἐπὶ κνήμας,
πᾶσαν μάχην συνῆπτεν οἰκοδεσποίνῃ.
τὴν δ' Ἀφροδίτην ὥσπερ αἰτίην τούτων
λύχνοις ἐτίμα, καὶ καθ' ἡμέραν πᾶσαν
ἔθυεν ηὔχεθ' ἱκέτευεν ἠρώτα,
ἕως ποτ' αὐτῶν ἡ θεὸς καθευδόντων
ἦλθεν καθ' ὕπνους, καὶ φανεῖσα τῇ δούλῃ
„μή μοι χάριν σχῇς ὡς καλήν σε ποιούσῃ.
τούτῳ κεχόλωμαι“ φησίν „ᾧ καλὴ φαίνῃ.“
[ἅπας ὁ τοῖς αἰσχροῖσιν ὡς καλοῖς χαίρων
θεοβλαβής τίς ἐστι καὶ φρένας πηρός.]

11 Ἀλώπεκ' ἐχθρὰν ἀμπέλων τε καὶ κήπων
ξένῃ θελήσας περιβαλεῖν τις αἰκίῃ,
τὴν κέρκον ἅψας καὶ λίνον τι προσδήσας
ἀφῆκε φεύγειν. τὴν δ' ἐπίσκοπος δαίμων
ἐς τὰς ἀρούρας τοῦ λαβόντος ὡδήγει
τὸ πῦρ φλέγουσαν. ἦν δὲ ληίων ὥρη
καὶ καλλίπαις ἄμητος ἐλπίδων πλήρης.
ὁ δ' ἠκολούθει τὸν πολὺν κόπον κλαίων,
οὐδ' εἶδεν αὐτοῦ τὴν ἅλωνα Δημήτηρ.
χρὴ πρᾷον εἶναι μηδ' ἄμετρα θυμοῦσθαι.
ἔστιν τις ὀργῆς νέμεσις, ἣν φυλαττοίμην,
αὐτοῖς βλάβην φέρουσα τοῖς δυσοργήτοις.

Θυμῷ χρῆσθαι κατὰ τῶν πέλας ἀμέτρῳ καλὸν οὐκ ἔνι.

12 Ἀγροῦ χελιδὼν μακρὸν ἐξεπωτήθη,
εὗρεν δ' ἐρήμοις ἐγκαθημένην ὕλαις
ἀηδόν' ὀξύφωνον· ἡ δ' ἀπεθρήνει

τὸν Ἴτυν ἄωρον ἐκπεσόντα τῆς ὥρης.
ἐκ τοῦ μέλους δ' ἔγνωσαν αἵ δύ' ἀλλήλας,
καὶ δὴ προσέπτησάν τε καὶ προσωμίλουν.
χἠ μὲν χελιδὼν εἶπε „φιλτάτη, ζώεις;
πρῶτον βλέπω σε σήμερον μετὰ Θρᾴκην.
ἀεί τις ἡμᾶς πικρὸς ἔσχισεν δαίμων·
καὶ παρθένοι γὰρ χωρὶς ἦμεν ἀλλήλων.
ἀλλ' ἔλθ' ἐς ἀγρὸν καὶ πρὸς οἶκον ἀνθρώπων·
σύσκηνος ἡμῖν καὶ φίλη κατοικήσεις.
[ὕπαιθρον ὕλην λεῖπε, καὶ παρ' ἀνθρώποις
ὁμώροφόν μοι δῶμα καὶ στέγην οἴκει.]
τί σε δροσίζει πηκτὸς ἔννυχος στίβη,
καὶ καῦμα θάλπει, πάντα δ' ἀγρότιν τήκει;
ἄγε δὴ σεαυτήν, σοφὰ λαλοῦσα, μηνύσῃς
ὅπου γεωργοῖς κοὐχὶ θηρίοις ᾄσεις."
τὴν δ' αὖτ' ἀηδὼν ὀξύφωνος ἠμείφθη·
„ἔα με πέτραις ἐμμένειν ἀοικήτοις,
καὶ μή μ' ὀρεινῆς ὀργάδος σὺ χωρίσσῃς.
μετὰ τὰς Ἀθήνας ἄνδρα καὶ πόλιν φεύγω·
οἶκος δέ μοι πᾶς κἀπίμιξις ἀνθρώπων
λύπην παλαιῶν συμφορῶν ἀναξαίνει."
παραμυθία τίς ἐστι τῆς κακῆς μοίρης
λόγος σοφὸς καὶ μοῦσα καὶ φυγὴ πλήθους·
λύπη δ', ὅταν τις οἷς ποτ' εὐθενῶν ὤφθη,
τούτοις ταπεινὸς αὖθις ὢν συνοικήσῃ.

Ὅτι συμφέρει τῷ ἠδικημένῳ πόρρω γενέσθαι τῶν εἰς ἀνάμνησιν αὐτὸν φερόντων κακῶν.

13 Αὔλαξι λεπτὰς παγίδας ἀγρότης πήξας
γεράνους σποραίων πολεμίας συνειλήφει.
τοῦτον πελαργὸς ἱκέτευε χωλεύων
(ὁμοῦ γὰρ αὐταῖς καὶ πελαργὸς ἡλώκει)

„οὐκ εἰμὶ γέρανος, οὐ σπόρον καταφθείρω.
πελαργός εἰμι (χἠ χρόη με σημαίνει),
πτηνῶν πελαργὸς εὐσεβέστατον ζῴων.
τὸν ἐμὸν τιθηνῶ πατέρα καὶ νοσηλεύω.“
κἀκεῖνος „ὦ πελαργέ, τίνι βίῳ χαίρεις,
οὐκ οἶδα“ φησίν· „ἀλλὰ τοῦτο γινώσκω,
ἔλαβόν σε σὺν ταῖς τἄργα τἀμὰ πορθούσαις.
ἀπολῇ μετ᾽ αὐτῶν τοιγαροῦν, μεθ᾽ ὧν ἥλως.“
[κακοῖς ὁμιλῶν ὡς ἐκεῖνοι μισήσῃ,
κἂν μηδὲν αὐτὸς τοὺς πέλας καταβλάψῃς.]

Ὁ λόγος διδάσκει φεύγειν ἡμᾶς τὰς τῶν πονηρῶν ἀνθρώπων κοινωνίας, ἵνα μὴ τῇ αὐτῶν κακίᾳ συναπολώμεθα.

14 Ἄρκος φιλεῖν ἄνθρωπον ἐκτόπως ηὔχει·
νεκρὸν γὰρ αὐτοῦ σῶμ᾽ ἔφασκε μὴ σύρειν.
πρὸς ἣν ἀλώπηξ εἶπε „μᾶλλον ᾑρούμην
εἰ νεκρὸν εἷλκες, τοῦ δὲ ζῶντος οὐχ ἥπτου.“
ὁ ζῶντα βλάπτων μὴ νεκρόν με θρηνείτω.

15 Ἀνὴρ Ἀθηναῖός τις ἀνδρὶ Θηβαίῳ
κοινῶς ὁδεύων, ὥσπερ εἰκός, ὡμίλει.
ῥέων δ᾽ ὁ μῦθος ἦλθε μέχρις ἡρώων· —
μακρὴ μὲν ἄλλως ῥῆσις οὐδ᾽ ἀναγκαίη —
τέλος δ᾽ ὁ μὲν Θηβαῖος υἱὸν Ἀλκμήνης
μέγιστον ἀνδρῶν, νῦν δὲ καὶ θεῶν ὕμνει·
ὁ δ᾽ ἐξ Ἀθηνῶν ἔλεγεν ὡς πολὺ κρείσσων
Θησεὺς γένοιτο, καὶ τύχης ὁ μὲν θείης
ὄντως λέλογχεν, Ἡρακλῆς δὲ δουλείης.
λέγων δ᾽ ἐνίκα· στωμύλος γὰρ ἦν ῥήτωρ.
ὁ δ᾽ ἄλλος ὡς Βοιωτὸς οὐκ ἔχων ἴσην
λόγοις ἅμιλλαν, εἶπεν ἀγρίῃ μούσῃ

„πέπαυσο· νικᾷς. τοιγαροῦν χολωθείη
Θησεὺς μὲν ἡμῖν, Ἡρακλῆς δ' Ἀθηναίοις.“

Ὅτι οὐ δεῖ τοὺς μεγιστᾶνας κινεῖν εἰς ὀργὴν κατὰ τῶν ὑπεξουσίων εἰς ματαιολογίας καὶ ἔριδας.

16 Ἄγροικος ἠπείλησε νηπίῳ τίτθη
κλαίοντι „παῦσαι, μή σε τῷ λύκῳ ῥίψω.“
ὁ λύκος δ' ἀκούσας τήν τε γραῦν ἀληθεύειν
νομίσας ἔμεινεν ὡς ἕτοιμα δειπνήσων,
ἕως ὁ παῖς μὲν ἑσπέρης ἐκοιμήθη,
αὐτὸς δὲ πεινῶν καὶ λύκος χανὼν ὄντως
ἀπῆλθε νωθραῖς ἐλπίσιν παρεδρεύσας.
λύκαινα δ' αὐτὸν ἡ σύνοικος ἠρώτα
„πῶς οὐδὲν ἄρας ἦλθες, ὥσπερ εἰώθεις;“
ὁ δ' εἶπε „πῶς γάρ, ὃς γυναικὶ πιστεύω;“

Διδάσκει ἡμᾶς ὁ μῦθος ὅτι οὐ χρὴ πᾶσι πιστεύειν, γυναικὶ δὲ μάλιστα μεγάλα καὶ πάμπολλα ἐπαγγελλομένῃ. πρὸς τὸν κεναῖς ἀπάταις (ἐλπίσιν Menas) ἐξαπατηθέντα.

17 Αἴλουρος ὄρνεις οἰκίης ἐνεδρεύων,
ὡς θύλακός τις πασσάλων ἀπηρτήθη.
τὸν δ' εἶδ' ἀλέκτωρ πινυτὸς ἀγκυλογλώχιν,
καὶ ταῦτ' ἐκερτόμησεν ὀξὺ φωνήσας·
„πολλοὺς μὲν οἶδα θυλάκους ἰδὼν ἤδη·
οὐδεὶς δ' ὀδόντας ζῶντος εἶχεν αἰλούρου.“

Πρὸς τοὺς ἀπὸ πείρας γνωρισθέντας κακούργους, καὶ μηκέτι ταῖς τούτων ὑποκρίσεσί τινα ἐξαπατᾶσθαι.

18 Βορέῃ λέγουσιν ἡλίῳ τε τοιαύτην
ἔριν γενέσθαι, πότερος ἀνδρὸς ἀγροίκου
ὁδοιποροῦντος τὴν σίσυρναν ἐκδύσει.
βορέης δ' ἐφύσα πρῶτος οἷος ἐκ Θρᾴκης,

βίᾳ νομίζων τὸν φοροῦντα συλήσειν·
ὁ δ' οὐ μεθῆκε, μᾶλλον ἀλλὰ ῥιγώσας
καὶ πάντα κύκλῳ χερσὶ κράσπεδα σφίγξας
καθῆστο, πέτρης νῶτον ἐξοχῇ κλίνας.
ὁ δ' ἥλιος τὸ πρῶτον ἡδὺς ἐκκύψας
ἀνῆκεν αὐτὸν τοῦ δυσηνέμου ψύχους,
ἔπειτα δ' αὖ προσῆγε τὴν ἕλην πλείω·
καὶ καῦμα τὸν γεωργὸν εἶχεν ἐξαίφνης,
αὐτὸς δὲ ῥίψας τὴν σισύραν ἐγυμνώθη.
  βορέης μὲν οὕτω συγκριθεὶς ἐνικήθη·
λέγει δ' ὁ μῦθος „πραότητα, παῖ, ζήλου.
ἀνύσεις τι πειθοῖ μᾶλλον ἢ βίᾳ ῥέζων.“

Μῦθος παραινῶν ὅτι οὐ χρὴ φιλόνεικον εἶναι, ἀλλὰ πραΰτητι καὶ πειθοῖ ἀνύειν τὰ ἀνήκοντα.

19 Βότρυς μελαίνης ἀμπέλου παρ' αἰώρῃ
ἀπεκρέμαντο. τοὺς δὲ ποικίλη πλήρεις
ἰδοῦσα κερδὼ πολλάκις μὲν ὡρμήθη
πηδῶσα ποσσὶ πορφυρῆς θιγεῖν ὥρης·
ἦν γὰρ πέπειρος κεἰς τρύγητον ἀκμαία.
κάμνουσα δ' ἄλλως (οὐ γὰρ ἴσχυε ψαύειν),
παρῆλθεν οὕτω βουκολοῦσα τὴν λύπην·
„ὄμφαξ ὁ βότρυς, οὐ πέπειρος, ὡς ᾤμην.“

Ὁ μῦθος ἐλέγχει τοὺς εἰς ἀνέκβατα κοπιῶντας πράγματα καὶ τούτων ἀστοχοῦντας τρόπους ψευδεῖς προβαλλομένους.

20 Βοηλάτης ἄμαξαν ἦγεν ἐκ κώμης.
τῆς δ' ἐμπεσούσης εἰς φάραγγα κοιλώδη,
δέον βοηθεῖν αὐτόν, ἀργὸς εἱστήκει,
τῷ δ' Ἡρακλεῖ προσηύχεθ', ὃν μόνον πάντων
θεῶν ἀληθῶς προσεκύνει τε κἀτίμα.
θεὸς δ' ἐπιστὰς εἶπε „τῶν τροχῶν ἅπτου

καὶ τοὺς βόας κέντριζε. τοῖς θεοῖς δ' εὔχου,
ὅταν τι ποιῇς καὐτός, ἢ μάτην εὔξῃ."

21 Βόες μαγείρους ἀπολέσαι ποτ' ἐζήτουν,
ἔχοντας αὐτοῖς πολεμίαν ἐπιστήμην,
καὶ δὴ συνηθροίζοντο πρὸς μάχην ἤδη
κέρατ' ἀποξύνοντες. εἷς δέ τις λίην
γέρων ἐν αὐτοῖς, πολλὰ γῆν ἀροτρεύσας,
„οὗτοι μὲν ἡμᾶς" εἶπε „χερσὶν ἐμπείροις
σφάζουσι καὶ κτείνουσι χωρὶς αἰκίης·
ἢν δ' εἰς ἀτέχνους ἐμπέσωμεν ἀνθρώπους,
διπλοῦς τότ' ἔσται θάνατος. οὐ γὰρ ἐλλείψει
τὸν βοῦν ὁ θύσων, κἂν μάγειρος ἐλλείψῃ."
ὁ τὴν παροῦσαν πημονὴν φυγεῖν σπεύδων
ὁρᾶν ὀφείλει μή τι χεῖρον ἐξεύρῃ.

Ὁ μῦθος τοῦτο δηλοῖ, ὅτι ἄμεινον δουλεύειν σοφοῖς καὶ ἐπιεικέσιν ἢ δεσπόζεσθαι ὑπὸ σκαιῶν τε καὶ ἀπαιδεύτων.

22 Βίου τις ἤδη τὴν μέσην ἔχων ὥρην
(νέος μὲν οὐκ ἦν, οὐδέπω δὲ πρεσβύτης)
λευκαῖς μελαίνας μιγάδας ἐκλόνει χαίτας,
εἶτ' εἰς ἔρωτας ἐσχόλαζε καὶ κώμους.
ἤρα γυναικῶν δύο, νέας τε καὶ γραίας.
νέον μὲν αὐτὸν ἡ νεᾶνις ἐζήτει
βλέπειν ἐραστήν, συγγέροντα δ' ἡ γραίη.
τῶν οὖν τριχῶν ἑκάστοθ' ἡ μὲν ἀκμαία
ἔτιλλεν ἃς ηὕρισκε λευκανθιζούσας,
ἔτιλλε δ' ἡ γραῦς εἰ μέλαιναν ηὑρήκει,
ἕως φαλακρὸν ἡ νέα τε χἠ γραίη
ἔθηχ', ἑκατέρη τῶν τριχῶν ἀποσπῶσα·
[ἀεὶ γὰρ ἓν γε τιλλόμενος ἐγυμνοῦτο.
φάσκει δ' ὁ μῦθος τοῦτο πᾶσιν ἀνθρώποις·

ἐλεεινὸς ὅστις εἰς γυναῖκας ἐμπίπτει·
ἀεὶ γὰρ ἕν γε δακνόμενος ἀναλοῦται.]

23 Βοηλάτης ἄνθρωπος εἰς μακρὰν ὕλην
ταῦρον κεράστην ἀπολέσας ἀνεζήτει.
ἔθηκε δ' εὐχὴν ταῖς ὀρεινόμοις νύμφαις,
Ἑρμῇ νομαίῳ, Πανί, τοῖς πέριξ, ἄρνα
λοιβὴν παρασχεῖν, εἰ λάβοι γε τὸν κλέπτην.
ὄχθον δ' ὑπερβὰς τὸν καλὸν βλέπει ταῦρον
λέοντι θοίνην· δυστυχὴς δ' ἐπαρᾶται
καὶ βοῦν προσάξειν, εἰ φύγοι γε τὸν κλέπτην.
[ἐντεῦθεν ἡμᾶς τοῦτ' ἔοικε γινώσκειν,
ἄβουλον εὐχὴν τοῖς θεοῖσι μὴ πέμπειν,
ἐκ τῆς πρὸς ὥραν ἐκφοβουμένους λύπης.]

24 Γάμοι μὲν ἦσαν Ἡλίου θέρους ὥρῃ,
τὰ ζῷα δ' ἱλαροὺς ἦγε τῷ θεῷ κώμους.
καὶ βάτραχοι δὲ λιμναίους χοροὺς ἦγον·
οὓς εἶπε παύσας φρῦνος „οὐχὶ παιάνων
τοῦτ' ἐστὶν ἡμῖν, φροντίδων δὲ καὶ λύπης·
ὃς γὰρ μόνος νῦν λιβάδα πᾶσαν αὑαίνει,
τί μὴ πάθωμεν τῶν κακῶν, ἐὰν γήμας
ὅμοιον αὐτῷ παιδίον τι γεννήσῃ;“
[χαίρουσι πολλοὶ τῶν ὑπερβολῇ κούφων
ἐφ' οἷς ἄγαν μέλλουσιν οὐχὶ χαιρήσειν.]

25 Γνώμη λαγωοὺς εἶχε μηκέτι ζώειν,
πάντας δὲ λίμνης εἰς μέλαν πεσεῖν ὕδωρ,
ὁθοὕνεκ' εἰσὶν ἀδρανέστατοι ζῴων
ψυχάς τ' ἄτολμοι, μοῦνον εἰδότες φεύγειν.
ἐπεὶ δὲ λίμνης ἐγγὺς ἦσαν εὐρείης
καὶ βατράχων ὅμιλον εἶδον ἀκταίων

βαθέην ἐς ἰλὺν ὀκλαδιστὶ πηδώντων,
ἐπεστάθησαν, καί τις εἶπε θαρσήσας
„ἄψ νῦν ἴωμεν. οὐκέτι χρεὼν θνήσκειν·
ὁρῶ γὰρ ἄλλους ἀσθενεστέρους ἡμῶν.“

26 Γέρανοι γεωργοῦ κατενέμοντο τὴν χώρην
ἐσπαρμένην νεωστὶ πυρίνῳ σίτῳ.
ὁ δ' ἄχρι πολλοῦ σφενδόνην κενὴν σείων
ἐδίωκεν αὐτὰς τῷ φόβῳ καταπλήσσων.
αἱ δ' ὡς ἐπέσχον, σφενδονῶντα τὰς αὔρας
κατεφρόνησαν λοιπὸν ὥστε μὴ φεύγειν,
ἕως ἐκεῖνος οὐκέθ' ὡς πρὶν εἰώθει,
λίθους δὲ βάλλων, ἠλόησε τὰς πλείους.
αἱ δ' ἐκλιποῦσαι τὴν ἄρουραν, ἀλλήλαις
„φεύγωμεν“ ἐκραύγαζον „εἰς τὰ Πυγμαίων.
ἄνθρωπος οὗτος οὐκέτ' ἐκφοβεῖν ἡμᾶς
ἔοικεν, ἤδη δ' ἄρχεταί τι καὶ πράσσειν.“

Παραίνεσιν ὁ λόγος ἔχει, δεῖν ταῖς ἐκ λόγων παραινέσεσι πταίοντας εἴκειν, ἵνα μὴ ταῖς ἐξ ἔργων ὀψέ ποτε πειραθεῖεν ὀδύναις.

27 Γαλῆν δόλῳ τις συλλαβών τε καὶ δήσας
ἔπνιγεν ὑδάτων ἐν συναγγίᾳ κοίλῃ.
τῆς δ' αὖ λεγούσης „ὡς κακὴν χάριν τίνεις
ὧν σ' ὠφέλουν θηρῶσα μῦς τε καὶ σαύρας,“
‚ἐπιμαρτυρῶ σοι‘ φησίν· ‚ἀλλὰ καὶ πάσας
ἔπνιγες ὄρνεις, πάντα δ' οἶκον ἠρήμους,
βλάπτουσα μᾶλλον ἤπερ ὠφελοῦσ' ἡμᾶς.‘

Πρὸς τοὺς μετρίως μὲν ὠφελοῦντας, βλάπτοντας δὲ τὰ μεγάλα, εὔκαιρος ἐστὶν ὁ λόγος.

28 Γέννημα φρύνου συνεπάτησε βοῦς πίνων.
ἐλθοῦσα δ' αὐτὸν (οὐ παρῆν γάρ) ἡ μήτηρ

παρὰ τῶν ἀδελφῶν ποῦ ποτ' ἦν ἐπεζήτει.
„τέθνηκε, μῆτερ· ἄρτι πρωίης ὥρης
ἦλθεν πάχιστον τετράπουν, ὑφ' οὗ κεῖται
χηλῇ μαλαχθείς.“ ἡ δὲ φρῦνος ἠρώτα,
φυσῶσ' ἑαυτήν, εἰ τοσοῦτον ἦν ὄγκῳ
τὸ ζῷον. οἱ δὲ μητρί „παῦε, μὴ πρίου.
θᾶσσον σεαυτήν“ εἶπον „ἐκ μέσου ῥήξεις,
ἢ τὴν ἐκείνου ποσσότητα μιμήσῃ.“

Ὅτι ἐπικίνδυνον τοῖς ἐλάττοσι παρατείνεσθαι τοῖς μείζοσι.

29 Γέρων ποθ' ἵππος εἰς ἀλητὸν ἐπράθη,
*   *   *   *   *   *   *
ζευχθεὶς ὑπὸ μύλην ἑσπέρην τάλας πᾶσαν,
καὶ δὴ στενάξας εἶπεν „ἐκ δρόμων οἵων
καμπτῆρας οἵους ἀλφιτεῦσι γυρεύω.“
μὴ λὴν ἐπαίρου πρὸς τὸ τῆς ἀκμῆς γαῦρον.
πολλοῖς τὸ γῆρας εἰς πόνους ἀνηλώθη.

30 Γλύψας ἐπώλει λύγδινόν τις Ἑρμείην.
τὸν δ' ἠγόραζον ἄνδρες, ὃς μὲν εἰς στήλην
(υἱὸς γὰρ αὐτῷ προσφάτως ἐτεθνήκει),
ὁ δὲ χειροτέχνημ' ὡς θεὸν καθιδρύσων.
ἦν δ' ὀψέ, χὠ λιθουργὸς οὐκ ἐπεπράκει,
συνθέμενος αὐτοῖς εἰς τὸν ὄρθρον αὖ δεῖξαι
ἐλθοῦσιν. ὁ δὲ λιθουργὸς εἶδεν ὑπνώσας
αὐτὸν τὸν Ἑρμῆν ἐν πύλαις ὀνειρείαις,
„σὺ δή“ λέγοντα „τἀμὰ νῦν ταλαντεύῃ·
ἓν γάρ με, νεκρὸν ἢ θεόν, σὺ ποιήσεις.“

31 Γαλαῖ ποτ' εἶχον καὶ μύες πρὸς ἀλλήλους
ἄσπονδον αἰεὶ πόλεμον αἱμάτων πλήρη·
γαλαῖ δ' ἐνίκων. οἱ μύες δὲ τῆς ἥττης

ἐδόκουν ὑπάρχειν αἰτίην σφίσιν ταύτην,
ὅτι στρατηγοὺς οὐκ ἔχοιεν ἐκδήλους,
ἀεὶ δ' ἀτάκτως ὑπομένουσι κινδύνους.
εἵλοντο τοίνυν τοὺς γένει τε καὶ ῥώμῃ
γνώμῃ τ' ἀρίστους, εἰς μάχην τε γενναίους,
οἳ σφᾶς ἐκόσμουν καὶ διεῖλον εἰς ἴλας
λόχους τε καὶ φάλαγγας, ὡς ἐν ἀνθρώποις.
ἐπεὶ δ' ἐτάχθη πάντα καὶ συνηθροίσθη,
οἵ τε στρατηγοὶ λεπτὰ πηλίνων τοίχων
κάρφη μετώποις ἁρμόσαντες ἀκραίοις
ἡγοῦντο παντὸς ἐκφανέστατοι πλήθους,
καί τις γαλῆν μῦς προὐκαλεῖτο θαρσήσας.
πάλιν δὲ φύζα τοὺς μύας κατειλήφει.
ἄλλοι μὲν οὖν σωθέντες ἦσαν ἐν τρώγλαις·
τοὺς δὲ στρατηγοὺς εἰστρέχοντας οὐκ εἴα
τὰ περισσὰ κάρφη τῆς ὀπῆς ἔσω δύνειν,
μόνοι θ' ἑάλον αὐτόθεν μυχῶν πρόσθεν.
νίκης δ' ἐπ' αὐτοῖς καὶ τρόπαιον εἱστήκει,
γαλῆς ἑκάστης μῦν στρατηγὸν ἑλκούσης.
[λέγει δ' ὁ μῦθος „εἰς τὸ ζῆν ἀκινδύνως
τῆς λαμπρότητος εὐτέλεια βελτίων."]

32 Γαλῇ ποτ' ἀνδρὸς εὐπρεποῦς ἐρασθείσῃ
δίδωσι σεμνὴ Κύπρις, ἡ πόθων μήτηρ,
μορφὴν ἀμεῖψαι καὶ λαβεῖν γυναικείην
καλῆς γυναικός, ἧς τίς οὐκ ἰδὼν ἤρα;
ἰδὼν δ' ἐκεῖνος (ἐν μέρει γὰρ ἡλώκει)
γαμεῖν ἔμελλεν. ἠρμένου δὲ τοῦ δείπνου
παρέδραμεν μῦς· τὸν δὲ τῆς βαθυστρώτου
καταβᾶσα κοίτης ἐπεδίωκεν ἡ νύμφη.

γάμου δὲ δαιτὴ λέλυτο, καὶ κακῶς παίξας
ἔρως ἀπῆλθε· τῇ φύσει γὰρ ἡττήθη.

Πρὸς τοὺς τὴν φύσιν τῶν πραγμάτων ὁρᾶν ὡς ἔχει μὴ **βουλομένους**, *τῇ δὲ τούτων φαντασίᾳ πλανωμένους, ἔλεγχον ὁ* **μῦθος** *ἔχει.*

33 Δυσμαὶ μὲν ἦσαν Πλειάδων, σπόρου δ' ὥρη,
καί τις γεωργὸς πυρὸν εἰς νεὸν ῥίψας
ἐφύλασσεν ἑστώς· καὶ γὰρ ἄκριτον πλήθει
μέλαν κολοιῶν ἔθνος ἦλθε δυσφώνων,
ψᾶρές τ' ὄλεθρος σπερμάτων ἀρουραίων.
τῷ δ' ἠκολούθει σφενδόνην ἔχων κοίλην
παιδίσκος. οἱ δὲ ψᾶρες ἐκ συνηθείης
ἤκουον εἰ τὴν σφενδόνην ποτ' ᾐτήκει,
καὶ πρὶν λαβεῖν ἔφευγον. εὗρε δὴ τέχνην
ὁ γεωργὸς ἄλλην τόν τε παῖδα φωνήσας
ἐδίδασκεν. „ὦ παῖ· χρὴ γὰρ ὀρνέων ἡμᾶς
σοφὸν δολῶσαι φῦλον. ἡνίκ' ἂν τοίνυν
ἔλθωσ', ἐγὼ μέν“ εἶπεν „ἄρτον αἰτήσω,
σὺ δ' οὐ τὸν ἄρτον, σφενδόνην δέ μοι δώσεις.“
οἱ ψᾶρες ἦλθον κἀνέμοντο τὴν χώρην.
ὁ δ' ἄρτον ᾔτει, καθάπερ εἶχε συνθήκην·
οἱ δ' οὐκ ἔφευγον. τῷ δ' ὁ παῖς λίθων πλήρη
τὴν σφενδόνην ἔδωκεν· ὁ δὲ γέρων ῥίψας
τοῦ μὲν τὸ βρέγμα, τοῦ δ' ἔτυψε τὴν κνήμην,
ἑτέρου τὸν ὦμον, οἱ δ' ἔφευγον ἐκ χώρης.
γέρανοι συνήντων καὶ τὸ συμβὰν ἠρώτων.
καί τις κολοιῶν εἶπε „φεύγετ' ἀνθρώπων
γένος πονηρόν, ἄλλα μὲν πρὸς ἀλλήλους
λαλεῖν μαθόντων, ἄλλα δ' ἔργα ποιούντων.“
[δεινὸν τὸ φῦλον τῶν δόλῳ τι πραττόντων.]

34 Δήμητρι ταῦρον ὄχλος ἀγρότης θύων
ἅλω πλατεῖαν οἰνάροις ὑπεστρώκει .....
κρεῶν τραπέζας εἶχε καὶ πίθους οἴνου.
ἐκ τῶν δὲ παίδων ἐσθίων τις ἀπλήστως
ὑπὸ τῶν βοείων ἐγκάτων ἐφυσήθη,
κἀπῆλθ' ἐς οἴκους γαστρὸς ὄγκον ἀλγήσας.
πεσὼν δ' ἐν ὑγραῖς μητρὸς ἀγκάλαις „οἴμοι,
τί ταῦτ';" ἐφώνει „δυστυχὴς ἀποθνήσκω·
τὰ σπλάγχνα γάρ, τεκοῦσα, πάντα μου πίπτει."
ἡ δ' εἶπε „θάρσει κἀπόβαλλε, μὴ φείδου·
οὐ γὰρ σά, τέκνον, ἀλλ' ἐμεῖς τὰ τοῦ ταύρου."
ὅταν ὀρφανοῦ τις οὐσίαν ἀναλώσας
ἔπειτα ταύτην ἐκτίνων ἀποιμώζῃ,
πρὸς τοῦτον ἄν τις καταχρέοιτο τῷ μύθῳ.

35 Δύω μὲν υἱοὺς ἡ πίθηκος ὠδίνει,
τεκοῦσα δ' αὐτοῖς ἐστὶν οὐκ ἴση μήτηρ,
ἀλλ' ὃν μὲν αὐτῶν ἀθλίης ὑπ' εὐνοίης
θάλπουσα κόλποις ἀγρίοις ἀποπνίγει,
τὸν δ' ὡς περισσὸν καὶ μάταιον ἐκβάλλει.
κἀκεῖνος ἐλθὼν εἰς ἐρημίην ζῴει.
τοιοῦτο πολλῶν ἐστὶν ἦθος ἀνθρώπων,
οἷς ἐχθρὸς αἰεὶ μᾶλλον ἢ φίλος γίγνου.

36 Δρῦν αὐτόριζον ἄνεμος ἐξ ὄρους ἄρας
ἔδωκε ποταμῷ· τὴν δ' ἔσυρε κυμαίνων
πελώριον φύτευμα τῶν πρὶν ἀνθρώπων,
πολὺς δὲ κάλαμος ἑκατέρωθεν εἱστήκει
ἐλαφρὸς ὄχθης ποταμίας ὕδωρ πίνων.
θάμβος δὲ τὴν δρῦν εἶχε, πῶς ὁ μὲν λίην
λεπτός τις ὢν κἀβληχρὸς οὐκ ἐπεπτώκει,
αὐτὴ δὲ τόσση φηγὸς ἐξεριζώθη.

σοφῶς δὲ κάλαμος εἶπε „μηδὲν ἐκπλήσσου.
σὺ μὲν μαχομένη ταῖς πνοαῖς ἐνικήθης,
ἡμεῖς δὲ καμπτόμεσθα μαλθακῇ γνώμῃ,
κἂν βαιὸν ἡμῶν ἄνεμος ἄκρα κινήσῃ."
κάλαμος μὲν οὕτως· ὁ δέ γε μῦθος ἐμφαίνει
μὴ δεῖν μάχεσθαι τοῖς κρατοῦσιν, ἀλλ' εἴκειν.

37 Δαμάλης ἐν ἀγροῖς ἄφετος, ἀτριβὴς ζεύγλης,
κάμνοντι καὶ σύροντι τὴν ὕνιν ταύρῳ
„τάλας" ἐφώνει „μόχθον οἷον ὀτλεύεις."
ὁ βοῦς δ' ἐσίγα χὐπέτεμνε τὴν χώρην.
ἐπεὶ δ' ἔμελλον ἀγρόται θεοῖς θύειν,
ὁ βοῦς μὲν ὁ γέρων εἰς νομὰς ἀπεζεύχθη,
ὁ δὲ μόσχος ἀδμὴς κεῖνος εἵλκετο σχοίνῳ
δεθεὶς κέρατα, βωμὸν αἵματος πλήσων.
κἀκεῖνος αὐτῷ τοιάδ' εἶπε φωνήσας·
„εἰς ταῦτα μέντοι μὴ πονῶν ἐτηρήθης.
ὁ νέος παρέρπεις τὸν γέροντα, καὶ θύῃ,
καί σου τένοντα πέλεκυς, οὐ ζυγὸς τρίψει."

Διδάσκει ἡμᾶς ὁ μῦθος ὅτι ἡ καλὴ ἐπιστήμη ἐκ θανάτου ῥύεται.

38 Δρυτόμοι τινὲς σχίσαντες ἀγρίαν πεύκην
ἐνεῖραν αὐτῇ σφῆνας, ὡς διασταίη
γένοιτό τ' αὐτοῖς ὁ πόνος ὕστερον ῥᾴων.
πεύκη στένουσα „πῶς ἄν" εἶπε „μεμφοίμην
τὸν πέλεκυν, ὅς μου μὴ προσῆκε τῇ ῥίζῃ,
ὡς τοὺς κακίστους σφῆνας, ὧν ἐγὼ μήτηρ;
ἄλλος γὰρ ἄλλῃ μ' ἐμπεσὼν διαρρήσσει."
ὁ μῦθος ἡμῖν τοῦτο πᾶσι μηνύει,
ὡς οὐδὲν οὕτω δεινὸν ἂν ὑπ' ἀνθρώπων
πάθῃς τι τῶν ἔξωθεν ὡς ὑπ' οἰκείων.

39 Δελφῖνες ἀεὶ διεφέροντο φαλαίναις.
τούτοις παρῆλθε καρκίνος μεσιτεύων,
ὡς εἴ τις ὢν ἄδοξος ἐν πολιτείαις
στάσιν τυράννων μαχομένων εἰρηνεύοι.

40 Διέβαινε ποταμὸν ὀξὺν ὄντα τῷ ῥείθρῳ
κυρτὴ κάμηλος, εἶτ' ἔχεξε. τοῦ δ' ὄνθου
φθάνοντος αὐτὴν εἶπεν „ἦ κακῶς πράττω·
ἔμπροσθεν ἤδη τἀξόπισθέ μου βαίνει.“
πόλις ἄν τις εἴποι τὸν λόγον τὸν Αἰσώπου,
ἧς ἔσχατοι κρατοῦσιν ἀντὶ τῶν πρώτων.

41 Διαρραγῆναί φασιν ἐκ μέσου νώτου
δράκοντι μῆκος ἐξισουμένην σαῦραν.
βλάψεις σεαυτόν, κοὐδὲν ἄλλο ποιήσεις,
ἂν τόν σε λίαν ὑπερέχοντα μιμήσῃ.

42 Δεῖπνόν τις εἶχε λαμπρὸν ἐν πόλει θύσας.
ὁ κύων δὲ τούτου κυνὶ φίλῳ συναντήσας
ἐλθεῖν πρὸς αὐτὸν ἐπὶ τὸ δεῖπνον ἠρώτα.
κἀκεῖνος ἦλθε· τὸν δὲ τοῦ σκέλους ἄρας
ὁ μάγειρος ἐκτὸς ἐξέριψε τοῦ τοίχου
ἐς τὴν ἄγυιαν. τῶν κυνῶν δ' ἐρωτώντων
ὅπως ἐδείπνησ', εἶπε „πῶς γὰρ ἂν κρεῖττον,
ὃς οὐδὲ ποίαν ἠλόων με γινώσκω;“

Ὅτι τοῖς μὴ λόγῳ τοῖς πράγμασιν ἐγχειροῦσιν ἕπεται πολλάκις τὸ κακῶς ἐν αὐτοῖς πάσχειν.

43 Ἔλαφος κεράστης ὑπὸ τὸ καῦμα διψήσας
λίμνης ὕδωρ ἔπινεν ἡσυχαζούσης.
ἐκεῖ δ' ἑαυτοῦ τὴν σκιὰν θεωρήσας
χηλῆς μὲν ἕνεκα καὶ ποδῶν ἐλυπήθη,

ἐπὶ τοῖς δὲ κέρασιν ὡς καλοῖς ἄγαν ηὔχει.
παρῆν δὲ νέμεσις, ἣ τὰ γαῦρα πημαίνει.
κυνηγέτας γὰρ ἄνδρας εἶδεν ἐξαίφνης
ὁμοῦ σαγήναις καὶ σκύλαξιν εὐρίνοις,
ἰδὼν δ' ἔφευγε, δίψαν οὐδέπω παύσας,
καὶ μακρὸν ἐπέρα πεδίον ἴχνεσιν κούφοις.
ἐπεὶ δὲ δὴ σύνδενδρον ἦλθεν εἰς ὕλην,
κέρατα θάμνοις ἐμπλακεὶς ἐθηρεύθη,
καὶ ταῦτ' ἔφη· „δύστηνος ὡς διεψεύσθην·
οἱ γὰρ πόδες μ' ἔσωζον, οἷς ἐπῃδούμην,
τὰ κέρατα δὲ προὔδωκεν, οἷς ἐγαυρούμην."
[περὶ τῶν σεαυτοῦ πραγμάτων ὅταν κρίνῃς,
μηδὲν βέβαιον ὑπολάβῃς προγινώσκων,
μηδ' αὖτ' ἀπογνῷς, μηδ' ἀπελπίσῃς· οὕτω
σφάλλουσιν ἡμᾶς ἐνίοθ' αἱ πεποιθήσεις.]

44 Ἐνέμοντο ταῦροι τρεῖς ἀεὶ μετ' ἀλλήλων.
λέων δὲ τούτους συλλαβεῖν ἐφεδρεύων,
ὁμοῦ μὲν αὐτοὺς οὐκ ἔδοξε νικήσειν,
λόγοις δ' ὑπούλοις διαβολαῖς τε συγκρούων
ἐχθροὺς ἐποίει, χωρίσας δ' ἀπ' ἀλλήλων
ἕκαστον αὐτῶν ἔσχε ῥαδίαν θοίνην.
ὅταν μάλιστα ζῆν θέλῃς ἀκινδύνως,
ἐχθροῖς ἀπίστει, τοὺς φίλους δ' ἀεὶ τήρει.

45 Ἔνιφεν ὁ Ζεύς· αἰπόλος δέ τις φεύγων
εἰς ἄντρον εἰσήλαυνε τῶν ἀοικήτων
τὰς αἶγας ἁδρῇ χιόνι λευκανθιζούσας.
εὑρὼν δ' ἐκεῖ τάχιον εἰσδεδυκυίας
αἶγας κερούχους ἀγρίας, πολὺ πλείους
ὧν αὐτὸς ἦγε, μείζονάς τε καὶ κρείσσους,
ταῖς μὲν φέρων ἔβαλλε θαλλὸν ἐξ ὕλης,

τὰς δ' ἐνδίους ἀφῆκε μακρὰ λιμώττειν.
ὡς δ' ἠθρίαζε, τὰς μὲν εὗρε τεθνώσας,
αἱ δ' οὐκ ἔμειναν, ἀλλ' ὀρῶν ἀβοσκήτων
ἀνέμβατον δρυμῶνα ποσσὶν ἠρεύνων.
ὁ δ' αἰπόλος γελαστὸς ἦλθεν εἰς οἴκους,
αἰγῶν ἔρημος· ἐλπίσας δὲ τὰς κρείσσους,
οὐκ ὤνατ' οὐδ' ὧν αὐτὸς εἶχεν ἐκ πρώτης.

Ὁ μῦθος ἡμᾶς ἐκδιδάσκει μηδαμῶς τῶν οἰκείων ἀμελεῖν, μάλιστα κέρδους ἕνεκα ἀμφιβόλου ὑπάρχοντος.

46 Ἔλαφος καθ' ὕλην γυῖα κοῦφα ναρκήσας
ἔκειτο πεδίων ἐν χλόῃ βαθυσχίνῳ,
ἐξ ἧς ἑτοῖμον χιλὸν εἶχε πεινήσας.
ἤρχοντο δ' ἀγέλαι ποικίλων ἐκεῖ ζῴων
ἐπισκοπούντων· ἦν γὰρ ἀβλαβὴς γείτων.
ἐλθὼν δ' ἕκαστος τῆς πόας ἀποτρώγων
ᾔει πρὸς ὕλας· * * * * *
ἔλαφος δὲ λιμῷ κοὐ νόσῳ κατεσκλήκει,
μή πω κορώνην δευτέραν ἀναπλήσας,
ὃς εἰ φίλους οὐκ ἔσχε, κἂν γεγηράκει.

Ὁ μῦθος τοῦτο λέγει, δεῖν τὰ ὁπωσοῦν ἐπιόντα δεινὰ λόγοις ἐξευμαρίζειν ἠπίοις, καὶ τὸ τούτων ὀχληρὸν ἀποπαύειν.

47 Ἐν τοῖς παλαιοῖς ἦν ἀνὴρ ὑπεργήρως,
εἶχεν δὲ πολλοὺς παῖδας· οἷς ἐπισκήπτων
(ἔμελλε γὰρ δὴ τὸν βίον τελευτήσειν)
ἐκέλευε λεπτῶν, εἴ τις ἔστι που, ῥάβδων
δέσμην ἐνεγκεῖν. ἧκέ τις φέρων ταύτην.
„πειρᾶσθε δή μοι, τέκνα, σὺν βίῃ πάσῃ
ῥάβδους κατᾶξαι δεδεμένας σὺν ἀλλήλαις."
οἱ δ' οὐ γὰρ ἠδύναντο· „κατὰ μίαν τοίνυν
πειρᾶσθ'." ἑκάστης δ' εὐχερῶς καταγείσης,

„ὦ παῖδες, οὕτως" εἶπεν, „ἂν μὲν ἀλλήλοις
ὁμοφρονῆτε πάντες, οὐδ' ἂν εἷς ὑμᾶς
βλάψαι δύναιτο, κἂν μέγιστον ἰσχύῃ·
ἢν δ' ἄλλος ἄλλου χωρὶς ἦτε τὴν γνώμην,
πείσεσθ' ἕκαστος ταὐτὰ τῇ μιᾷ ῥάβδῳ."
[φιλαδελφία μέγιστον ἀγαθὸν ἀνθρώποις,
ἢ καὶ ταπεινοὺς ὄντας ἦρεν εἰς ὕψος.]

Ὁ μῦθος ἡμᾶς ἐκδιδάσκει ὅσον τὸ τῆς ὁμονοίας καλόν, καὶ τί πάλιν τὸ ἐπιζήμιον τοῖς μηδαμῶς ταύτην κεκτημένοις.

48 Ἐν ὁδῷ τις Ἑρμῆς τετράγωνος εἱστήκει,
λίθων δ' ὑπ' αὐτῷ σωρὸς ἦν. κύων τούτῳ
εἶπεν προσελθών „χαῖρε πρῶτον, Ἑρμεία·
ἔπειτ' ἀλεῖψαι βούλομαί σε, μηδ' οὕτω
θεὸν παρελθεῖν, καὶ θεὸν παλαιστρίτην."
ὁ δ' εἶπεν „ἂν μὴ τοῦτό μοὐπιλιχμήσῃς
τοὔλαιον ἐλθών, μηδέ μοι προσουρήσῃς,
χάριν εἴσομαί σοι· καὶ πλέον με μὴ τίμα."

Ὅτι τοῖς κακοῖς ἀρκεῖ τέως, οὐκ ἄλλως πως δυναμένοις δρᾶσαι τὰ βελτίω, κἂν τῶν συνήθων αὐτῶν αἰτιῶν ἀργῆσαι.

49 Ἐκάθευδε νύκτωρ ἐργάτης ὑπ' ἀγνοίας
φρέατος ἐγγύς. τῆς τύχης δ' ἐπιστάσης
ἔδοξ' ἀκούειν „οὗτος, οὐκ ἐγερθήσῃ;
μή σου πεσόντος αἰτίη παρ' ἀνθρώποις
ἐγὼ λέγωμαι καὶ κακὴν λάβω φήμην.
ἐμοὶ γὰρ ἐγκαλοῦσι πάντα συλλήβδην,
ὅσ' ἂν παρ' αὐτοῦ δυστυχῇ τις ἢ πταίῃ."

Ἔλεγχος τῶν εἱμαρμένην δοξαζόντων καὶ ἀνάγκῃ τὰ τῆς ἡμῶν ἐξουσίας ὑποβαλλόντων καὶ μὴ τῷ αὐτεξουσίῳ εἰς δέον κεχρημένων.

50 Ἔφευγ' ἀλώπηξ, τῆς δ' ὄπισθε φευγούσης
κυνηγὸς ἐτρόχαζεν. ἡ δ' ἐκεκμήκει,
δρυτόμον δ' ἰδοῦσα „πρὸς θεῶν σε σωτήρων,
κρύψον με ταύταις αἷς ἔκοψας αἰγείροις,
καὶ τῷ κυνηγῷ" φησί „μή με μηνύσῃς."
ὁ δ' οὐ προδώσειν ὤμνυ'· ἡ δ' ἀπεκρύφθη.
ἦλθεν κυνηγός, καὶ τὸν ἄνδρ' ἐπηρώτα
ἢ τῇδ' ἀλώπηξ καταδέδυκεν ἢ φεύγει.
„οὐκ εἶδον" εἶπε, τῷ δὲ δακτύλῳ νεύων
τὸν τόπον ἐδείκνυ' οὗ πανοῦργος ἐκρύφθη.
ὁ δ' οὐκ ἐπισχών, τῷ λόγῳ δὲ πιστεύσας,
παρῆλθε. θερμοῦ δ' ἐκφυγοῦσα κινδύνου
κερδὼ παχείας ἐξέκυπτεν αἰγείρου,
σεσηρὸς αἰκάλλουσα. τῇ δ' ὁ πρεσβύτης
„ζωαγρίους μοι χάριτας" εἶπεν „ὀφλήσεις.
„ἐρρυσάμην σε" φησίν· „ἀλλά μου μνήσκου."
‚πῶς οὐκ ἄν, εἶπεν ‚ὧν γε μάρτυς εἱστήκειν;
ἔρρωσο τοίνυν, καὶ τὸν Ὅρκον οὐ φεύξῃ
φωνῇ με σώσας, δακτύλῳ δ' ἀποκτείνας.'
[σοφὸν τὸ θεῖον κἀπλάνητον· οὐδ' ἄν τις
λαθεῖν ἐπιορκῶν προσδοκᾷ, δίκην φεύγει.]

Εὐκαίρως ὁ μῦθος ῥηθήσεται πρὸς ἐκείνους τοὺς χρηστὰ μὲν ἐπαγγελλομένους, δόλια δὲ καὶ φαῦλα ἐργαζομένους.

51 Ἔν τῷ ποτ' οἴκῳ πρόβατον εἶχέ τις χήρα,
θέλουσα δ' αὐτοῦ τὸν πόκον λαβεῖν μείζω
ἔκειρεν ἀτέχνως, τῆς τε σαρκὸς οὐ πόρρω
τὸν μαλλὸν ἐψάλιζεν, ὥστε τιτρώσκειν.
ἀλγοῦν δὲ πρόβατον εἶπε „μή με λυμαίνου·
πόσην γὰρ ὁλκὴν τοὐμὸν αἷμα προσθήσει;
ἀλλ' εἰ κρεῶν, δέσποινα, τῶν ἐμῶν χρῄζεις,
ἔστιν μάγειρος, ὅς με συντόμως θύσει·

εἰ δ' εἰρίων πόκου τε κοὐ κρεῶν χρήζεις,
πάρεστι κουρεύς, ὃς κερεῖ με καὶ σώσει.“

Πρὸς τοὺς μετὰ ἀπειρίας τοῖς πράγμασιν ἐγχειροῦντας, ἐξ ἧς οὐ τοσοῦτον τὸ κέρδος ὅση βλάβη προσγίνεται.

52 Εἰς ἄστυ τετράκυκλον ἄρρενες ταῦροι
ἅμαξαν ὤμοις εἷλκον· ἡ δ' ἐτετρίγει.
καὶ τὸν βοώτην θυμὸς εἷλε, τῇ δ' οὕτως
ἐγγὺς προσελθὼν εἶπεν ὡς ἀκουσθῆναι.
„ὦ παγκάκιστον κτημάτων, τί δὴ κρώζεις
ἄλλων ἐπ' ὤμοις φερομένη σιωπώντων;“
[κακοῦ πρὸς ἀνδρός ἐστι μακρὸν οἰμώζειν
ἄλλων πονούντων, ὡσπερεὶ κάμνων αὐτός.]

Ὁ μῦθος τοῦτο λέγει, μηδαμῶς ἐν τοῖς πράγμασιν ἄλλων πονουμένων ἄλλους ἀδίκως οἰμώζειν καὶ πόνους ἀλλοτρίους ἑαυτοῖς ἐπιγράφειν.

53 Εἰς λύκον ἀλώπηξ ἐμπεσοῦσα δειλαίη
ζωγρεῖν ἐδεῖτο, μηδὲ γραῦν ἀποκτείνειν.
ὁ δ' „ἂν λόγους μοι τρεῖς ἀληθινοὺς εἴπῃς,
ἐγώ σε νὴ τὸν Πᾶνα“ φησί „ζωγρήσω.“
ἡ δ' „εἴθε μέν μοι πρῶτα μὴ συνηντήκοις·
ἔπειτα δ' εἴθε τυφλὸς ὢν ὑπηντήκοις·
τρίτον δ' ἐπ' αὐτοῖς εἴθε μὴ σύγ' εἰς ὥρας
ἵκοιο, μηδὲ πάλιν ἐμοὶ συναντήσαις.“

Ὅτι πολλάκις αἱ περιστάσεις πεφύκασι καὶ παρὰ γνώμην τὰ σιγῆς ἄξια εἰς τοὐμφανὲς ἄγειν.

54 Εὐνοῦχος ἦλθε πρὸς θύτην ὑπὲρ παίδων
σκεψόμενος. ὁ θύτης δ' ἁγνὸν ἧπαρ ἁπλώσας

„ὅταν μέν“ εἶπε „τοῦτ' ἴδω, πατὴρ γίγνῃ,
ὅταν δὲ τὴν σὴν ὄψιν, οὐδ' ἀνὴρ φαίνῃ.“

Πρὸς τοὺς τὰς εὐχὰς ὑπὲρ τῶν οὐ δεόντων ποιουμένους, ἢ καὶ ἄλλως μὴ δυναμένων γενέσθαι.

55 Ἕνα βοῦν τις εἶχε, τὴν ὄνον δὲ συζεύξας
ἠροτρία, πτωχῶς μέν, ἀλλ' ἀναγκαίως.
ἐπεὶ δὲ τοὔργον ἐτετέλεστο καὶ λύειν
ἔμελλεν αὐτούς, εἶτ' ὄνος διηρώτα
τὸν βοῦν „τίς ἄξει τῷ γέροντι τὰ σκεύη;“
ὁ δὲ βοῦς πρὸς αὐτὴν εἶπεν „ὅσπερ εἰώθει.“

56 Εὐτεκνίης ἔπαθλα πᾶσι τοῖς ζῴοις
ὁ Ζεὺς ἔθηκε, πάντα δ' ἔβλεπεν κρίνων.
ἦλθεν δὲ καὶ πίθηκος, ὡς καλὴ μήτηρ
πίθωνα γυμνὸν σιμὸν ἠρμένη κόλποις.
γέλως δ' ἐπ' αὐτῷ τοῖς θεοῖς ἐκινήθη.
ἡ δ' εἶπεν οὕτω. „Ζεὺς μὲν οἶδε τὴν νίκην,
ἐμοὶ δὲ πάντων οὗτός ἐστι καλλίων.“
[ὁ λόγος δοκεῖ μοι πᾶσι τοῦτο σημαίνειν,
τά γ' αὐτὸς αὐτοῦ πᾶς τις εὐπρεπῆ κρίνει.]

57 Ἑρμῆς ἅμαξαν ψευσμάτων τε πληρώσας
ἀπάτης τε πολλῆς καὶ πανουργίας πάσης
ἤλαυνε διὰ γῆς, ἄλλο φῦλον ἐξ ἄλλου
σχέδην ἀμείβων καὶ μέρος τι τῶν δώρων
νέμων ἑκάστῳ μικρόν. ὡς δὲ τῷ χώρῳ
τῷ τῶν Ἀράβων ἐπῆλθε καὶ διεξῄει,
λέγουσιν αὐτοῦ συντριβεῖσαν ἐξαίφνης
ἐπισταθῆναι τὴν ἅμαξαν. οἱ δ' ὥσπερ
πολύτιμον ἁρπάζοντες ἐμπόρου φόρτον,
ἐκένωσαν αὐτὴν οὐδ' ἀφῆκαν εἰς ἄλλους

ἔτι προελθεῖν, καίπερ ὄντας, ἀνθρώπους.
ἐντεῦθεν Ἄραβές εἰσιν, ὡς ἐπειράθην,
ψεῦσταί τε καὶ γόητες, ὧν ἐπὶ γλώσσης
οὐδὲν κάθηται ῥῆμα τῆς ἀληθείας.

58 Ζεὺς ἐν πίθῳ τὰ χρηστὰ πάντα συλλέξας
ἔθηκεν αὐτὸν πωμάσας παρ' ἀνθρώπῳ.
ὁ δ' ἀκρατὴς ἄνθρωπος εἰδέναι σπεύδων
τί ποτ' ἦν ἐν αὐτῷ, καὶ τὸ πῶμα κινήσας,
διῆκ' ἀπελθεῖν αὐτὰ πρὸς θεῶν οἴκους,
κἀκεῖ πέτεσθαι τῆς τε γῆς ἄνω φεύγειν.
μόνη δ' ἔμεινεν ἐλπίς, ἣν κατειλήφει
τεθὲν τὸ πῶμα. τοιγὰρ ἐλπὶς ἀνθρώποις
μόνη σύνεστι, τῶν πεφευγότων ἡμᾶς
ἀγαθῶν ἕκαστον ἐγγυωμένη δώσειν.

59 Ζεὺς καὶ Ποσειδῶν, φασί, καὶ τρίτη τούτοις
ἤριζ' Ἀθηνᾶ, τίς καλόν τι ποιήσει.
ποιεῖ μὲν ὁ Ζεὺς ἐκπρεπέστατον ζῴων
ἄνθρωπον, ἡ δὲ Παλλὰς οἶκον ἀνθρώποις,
ὁ δ' αὖ Ποσειδῶν ταῦρον. ἡρέθη τούτοις
κριτὴς ὁ μῶμος· ἔτι γὰρ ἐν θεοῖς ᾤκει.
κἀκεῖνος, ὡς πέφυκε, πάντας ἐχθραίνων,
πρῶτον μὲν εὐθὺς ἔψεγεν τὸ τοῦ ταύρου,
τῶν ὀμμάτων τὰ κέρατα μὴ κάτω κεῖσθαι,
ὡς ἂν βλέπων ἔτυπτε· τοῦ δέ γ' ἀνθρώπου,
μὴ σχεῖν θυρωτὰ μηδ' ἀνοικτὰ τὰ στήθη,
ὡς ἂν βλέποιτ' ἐς τὸν πέλας τί βουλεύοι·
τῆς οἰκίας δέ, μὴ τροχοὺς σιδηρείους
ἐν τοῖς θεμελίοις γεγονέναι, τόπους ἄλλους
συνεξαμείβειν δεσπόταισιν ἐκδήμοις.
τί οὖν ὁ μῦθός φησιν ἐν διηγήσει;

πειρῶ τι ποιεῖν, τὸν φθόνον δὲ μὴ κρίνειν.
ἀρεστὸν ἁπλῶς οὐδέν ἐστι τῷ μώμῳ.

60 Ζωμοῦ χύτρᾳ μῦς ἐμπεσὼν ἀπωμάστῳ
καὶ τῷ λίπει πνιγόμενος ἐκπνέων τ' ἤδη
„βέβρωκα" φησί „καὶ πέπωκα καὶ πάσης
τρυφῆς πέπλησμαι· καιρός ἐστί μοι θνήσκειν."
[τότ' ἂν λίχνος γένοιο μῦς ἐν ἀνθρώποις,
ἂν τὸ καταβλάπτον ἡδὺ μὴ παραιτήσῃ.]

Ὅτι τὰ ἐπερχόμενα κατὰ ἀνάγκην κακὰ εἰώθασί τινες τοιούτοις ἐξομαλίζειν λόγοις.

61 Ἤιει κυνηγὸς ἐξ ὄρους κυνηγήσας,
ᾔει δὲ γριπεὺς κύρτον ἰχθύων πλήσας.
καί πως συνηβόλησαν οἱ δύ' ἀλλήλοις,
χὠ μὲν κυνηγὸς ἰχθύων ἁλιπλώων,
θήραν δ' ὁ γριπεὺς ἠρέτιζεν ἀγρείην,
τά τ' εἶχον ἀντέδωκαν. εἶτα τὴν θήρην
ἤμειβον ἀεί, δεῖπνα δ' εἶχον ἡδίω,
ἕως τις αὐτοῖς εἶπεν „ἀλλὰ καὶ τούτων
τὸ χρηστὸν ἐξολεῖτε τῇ συνηθείᾳ,
πάλιν δ' ἕκαστος ἃ πρὶν εἶχε ζητήσει."

Ὅτι πᾶς δυσάρεστος, τοῦ παρόντος ἡδέος μικρόν τι ἀπολαύσας, εὐθὺς τὴν ἐπιθυμίαν ἐφ' ἕτερον τρέπει.

62 Ἡμίονος ἀργὸς χιλὸν ἐσθίων φάτνης
καὶ κριθιάσας ἐτρόχαζε κἀφώνει,
τένοντα σείων, „ἵππος ἐστί μοι μήτηρ,
ἐγὼ δ' ἐκείνης οὐδὲν ἐν δρόμοις ἥττων."
ἄφνω δ' ἔπαυσε τὸν δρόμον κατηφήσας·
ὄνου γὰρ εὐθὺς πατρὸς ὢν ἀνεμνήσθη.

Ὁ μῦθος διδάσκει ἡμᾶς μὴ μέγα φρονεῖν ἐν ταῖς εὐημερίαις, μάλιστα δὲ τοὺς ἐξ ἀγενῶν προγόνων κατὰ τύχην δοξασθέντας.

63 Ἦν τις κατ' οἴκους ἀνδρὸς εὐσεβοῦς ἥρως
ἔχων ἐν αὐλῇ τέμενος, ἔνθα δὴ θύων
στέφων τε βωμοὺς καὶ καταβρέχων οἴνῳ
προσηύχετ' ἀεί „χαῖρε, φίλταθ' ἡρώων,
καὶ τὸν σύνοικον ἀγαθὰ δαψιλῆ ποίει.“
κἀκεῖνος αὐτῷ νυκτὸς ἐν μέσαις ὥραις
„ἀγαθὸν μέν“ εἶπεν „οὐδ' ἂν εἷς τις ἡρώων
ὦ τᾶν παράσχοι· ταῦτα τοὺς θεοὺς αἴτει·
κακῶν δὲ πάντων, ἅ γε σύνεστιν ἀνθρώποις,
δοτῆρες ἡμεῖς. τοιγὰρ εἰ κακῶν χρῄζεις,
εὔχου·-παρέξω πολλά, κἂν ἓν αἰτήσῃς.
πρὸς ταῦτα λοιπὸν αὐτὸς οἶδας εἰ θύσεις.“

Ὅτι τοὺς πονηροὺς οὐ δεῖ αἰτεῖν ἀγαθά· οὐ γὰρ παρέξουσιν. εἰ δὲ κακά τις αἰτεῖται, ἑτοίμως μᾶλλον παρέχουσι.

64 Ἤριζον ἐλάτη καὶ βάτος πρὸς ἀλλήλας.
ἐλάτης δ' ἑαυτὴν πολλαχῶς ἐπαινούσης
„καλὴ μέν εἰμι καὶ τὸ μέτρον εὐμήκης,
καὶ τῶν νεφῶν σύνοικος ὀρθίη φύω,
στέγη τε μελάθρων εἰμὶ καὶ τρόπις πλοίων,
δένδρων τοσούτων ἐκπρεπεστάτη πάντων“,
βάτος πρὸς αὐτὴν εἶπεν „ἢν λάβῃς μνήμην
τῶν πελέκεών τε τῶν ἀεί σε κοπτόντων,
τῶν πριόνων τε τῶν ἀεί σε τεμνόντων,
βάτος γενέσθαι καὶ σὺ μᾶλλον αἱρήσῃ.“
ἅπας ὁ λαμπρὸς τῶν ἐλαττόνων μᾶλλον
καὶ δόξαν ἔσχε χὐπέμεινε κινδύνους.

Ὁ μῦθος πρὸς τοὺς κοσμικαῖς ἀρχαῖς μεγαλοφρονοῦντας καὶ διὰ τοῦτο τῶν πέλας κατεπαιρομένους, οἳ μετὰ αὐταρκείας βιοῦντες κἀντεῦθεν τῶν μεγάλων ἐκφεύγουσι κινδύνων.

65 Ἤριζε τεφρὴ γέρανος εὐφυεῖ ταῷ
σείοντι χρυσᾶς πτέρυγας. „ἀλλ' ἐγὼ ταύταις“
ἡ γέρανος εἶπεν, „ὧν σὺ τὴν χρόην σκώπτεις,
ἄστρων σύνεγγυς ἵπταμαί τε καὶ κράζω·
σὺ δ' ὡς ἀλέκτωρ ταῖσδε ταῖς καταχρύσοις
χαμαὶ πτερύσσῃ“ φησίν, „οὐδ' ἄνω φαίνῃ.“
θαυμαστὸς εἶναι σὺν τρίβωνι βουλοίμην
ἢ ζῆν ἀδόξως πλουσίᾳ σὺν ἐσθῆτι.

66 Θεῶν Προμηθεὺς ἦν τις, ἀλλὰ τῶν πρώτων.
τοῦτον πλάσασθαί φασι δεσπότην ζῴων
ἄνθρωπον ἐκ γῆς, ἐκ δὲ τοῦ δύω πήρας
κρεμάσαι τένοντός φασι τῶν ἐν ἀνθρώποις
κακῶν γεμούσας, τὴν πρόσω μὲν ὀθνείων,
ἰδίων δὲ τὴν ὄπισθεν, ἥτις ἦν μείζων.
διό μοι δοκοῦσι συμφορὰς μὲν ἀλλήλων
βλέπειν ἀκριβῶς, ἀγνοεῖν δὲ τὰς οἴκοι.

67 Θήρης ὄναγρος καὶ λέων ἐκοινώνουν.
ἀλκῇ μὲν ὁ λέων, ὁ δ' ὄνος ἦν ποσὶν κρείσσων.
ἐπεὶ δὲ λείαν εἶχον ἄφθονον ζῴων,
ὁ λέων μερίζει, καὶ τίθησι τρεῖς μοίρας,
καὶ „τὴν μὲν αὐτός“ φησί „λήψομαι πρῶτος·
βασιλεὺς γάρ εἰμι· λήψομαι δὲ κἀκείνην
ὡς ἐξ ἴσου κοινωνός. ἡ τρίτη δ' αὕτη
κακόν τι δώσει μὴ θέλοντί σοι φεύγειν.“
μέτρει σεαυτόν· πρᾶγμα μηδὲν ἀνθρώπῳ
δυνατωτέρῳ σύναπτε μηδὲ κοινώνει.

68 Θεοῖς Ἀπόλλων ἔλεγε μακρὰ τοξεύων·
„οὐκ ἂν βάλοι τις πλεῖον, οὐδὲ τοξεύσει.“
ὁ Ζεὺς δὲ παίζων ἠρίδαινε τῷ Φοίβῳ.

Ἑρμῆς δ' ἔσειεν Ἄρεος ἐν κυνῇ κλήρους.
λαχὼν δ' ὁ Φοῖβος, χρυσέην τε κυκλώσας
τόξοιο νευρήν, ὀξέως ἀφεὶς πρῶτος
τὸ βέλος ἔπηξεν ἐντὸς ἑσπέρου κήπου.
ὁ Ζεὺς δὲ διαβὰς ταὐτὸ μέτρον εἱστήκει,
καί „ποῦ βάλω, παῖ," φησίν „οὐκ ἔχω χώραν."
τόξου δὲ νίκην ἔλαβε μηδὲ τοξεύσας.

Ὅτι ἔστι τινὰ καὶ κόπου χωρὶς νίκην ἄρασθαι, σοφῶς τοῖς πράγμασι κεχρημένον.

69 Θάμνου λαγωὸν δασύποδ' ἐξαναστήσας
κύων ἐδίωκεν οὐκ ἄπειρος ἀγρεύειν,
δρόμῳ δ' ἐλείφθη. καί τις αἰπόλος σκώπτων
„ὁ πηλίκος σου" φησίν „εὑρέθη θάσσων."
ὁ δ' εἶπεν „ἄλλως ἄλλον ἁρπάσαι σπεύδων
τρέχει τις, ἄλλως δ' αὐτὸν ἐκ κακοῦ σῴζων."

70 Θεῶν γαμούντων, ὡς ἕκαστος ἐζεύχθη,
ἐφ' ἅπασι Πόλεμος ἐσχάτῳ παρῆν κλήρῳ.
Ὕβριν δὲ γήμας, ἣν ἄρ' ὕστατ' εἰλήφει,
ταύτης περισσῶς, ὡς λέγουσιν, ἠράσθη,
ἕπεται δὲ ταύτῃ πανταχοῦ βαδιζούσῃ.
μήτ' οὖν ἔθνη που, μὴ πόλεις τὰς ἀνθρώπων
ὕβρις ἐπέλθοι, προσγελῶσα τοῖς δήμοις,
ἐπεὶ μετ' αὐτὴν πόλεμος εὐθέως ἥξει.

71 Ἰδὼν γεωργὸς νῆα ναυτίλων πλήρη
βάπτουσαν ἤδη κῦμα κυρτὸν ἐκ πρῴρης,
„ὦ πέλαγος" εἶπεν, „εἴθε μήποτ' ἐπλεύσθης,
ἀνηλεὲς στοιχεῖον ἐχθρὸν ἀνθρώποις."
ἤκουσε δ' ἡ θάλασσα, καὶ γυναικείην
λαβοῦσα φωνὴν εἶπε „μή με βλασφήμει·

ἐγὼ γὰρ ὑμῖν οὐδὲν αἰτίη τούτων,
ἄνεμοι δέ, πάντων ὧν ἐγὼ μέση κεῖμαι.
τούτων δὲ χωρὶς ἂν ἴδῃς με καὶ πλεύσῃς,
ἐρεῖς με τῆς σῆς ἠπιωτέρην γαίης."
[ὅτι πολλὰ χρηστὰ πράγμαθ' αἱ κακαὶ χρήσεις
τρέπουσιν εἰς τὸ χεῖρον, ὡς δοκεῖν φαῦλα.]

Ὁ μῦθος οὗτος ἐλέγχει ἐκείνους οἵτινες διαβολαῖς πρὸς τοὺς δυνάστας βλάπτειν πεφύκασι τοὺς πέλας, οἳ παραπλήσιοί εἰσιν ἀνέμοις χειμερίοις.

72 Ἶρίς ποτ' οὐρανοῖο πορφυρῆ κῆρυξ
πτηνοῖσι κάλλους εἶπεν ἐν θεῶν οἴκοις
ἀγῶνα κεῖσθαι· πᾶσι δ' εὐθὺς ἠκούσθη,
καὶ πάντα θείων ἔσχεν ἵμερον δώρων.
ἔσταζε πέτρης αἰγὶ δυσβάτου κρήνη,
καὶ θερινὸν ὕδωρ καὶ διαυγὲς εἱστήκει·
πάντων τ' ἐπ' αὐτὸ φῦλον ἦλθεν ὀρνίθων,
πρόσωπα δ' αὐτῶν ἐξέλουε καὶ κνήμας,
ἔσειε ταρσούς, ἐκτένιζε τὰς χαίτας.
ἦλθεν δ' ἐκείνην καὶ κολοιὸς εἰς κρήνην
γέρων, κορώνης υἱός, ἄλλο δ' ἐξ ἄλλου
πτερὸν καθύγρων ἐντὸς ἁρμόσας ὤμων
μόνος τὰ πάντων ποικίλως ἐκοσμήθη,
καὶ πρὸς θεοὺς ἤιξεν αἰετοῦ κρείσσων.
ὁ Ζεὺς δ' ἐθάμβει, καὶ παρεῖχε τὴν νίκην,
εἰ μὴ χελιδὼν αὐτόν, ὡς Ἀθηναία,
ἤλεγξεν ἑλκύσασα τὸ πτερὸν πρώτη.
ὁ δ' εἶπεν αὐτῇ „μή με συκοφαντήσῃς."
τὸν δ' ἄρα τρυγὼν ἐσπάραττε καὶ κίχλα
καὶ κίσσα καὶ κορυδαλὸς οὑν τάφοις σπίζων,
χὠ νηπίων δὲ φηλὸς ὀρνέων ἴρηξ,
τά τ' ἄλλ' ὁμοίως. καὶ κολοιὸς ἐγνώσθη.

[ὦ παῖ, σεαυτὸν κόσμον οἰκεῖον κόσμει·
ξένοις γὰρ ἐμπρέπων στερηθήσῃ τούτων.]

Ὅτι οἱ νόθον καὶ ἐπείσακτον αὐτοῖς περιθέντες κόσμον ἀλλοτρίῳ τε κάλλει σεμνυνόμενοι, εἴ ποτε τοῦ τοιούτου γυμνωθεῖεν, γέλως λοιπὸν τοῖς πρὶν ἀγνοοῦσιν ὁρῶνται.

73 Ἴκτινος ἄλλην εἶχεν ὀξέην κλάγγα·
ἵππου δ' ἀκούσας χρεμετίσαντος εὐφώνως,
μιμούμενος τὸν ἵππον οὔτε τὴν κρείσσω
φωνὴν θελήσας ἔσχεν οὔτε τὴν πρώτην.

Ὅτι οἱ τῶν ἀδυνάτων ἐρῶντες ἔσθ' ὅτε καὶ τῶν μετὰ χεῖρας ἀστοχοῦσι.

74 Ἵππος τε καὶ βοῦς καὶ κύων ὑπὸ ψύχους
κάμνοντες ἦλθον οἰκίην ἐς ἀνθρώπου.
κἀκεῖνος αὐτοῖς τὰς θύρας ἀναπλώσας
παρῆγεν ἔνδον, καὶ παρ' ἑστίῃ θάλψας
πυρὸς γεμούσῃ παρετίθει τι τῶν ὄντων,
κριθὰς μὲν ἵππῳ, λάθυρα δ' ἐργάτῃ ταύρῳ·
ὁ κύων γὰρ αὐτῷ συντράπεζος εἱστήκει.
ξενίας δ' ἀμοιβὴν ἀντέδωκαν ἀνθρώπῳ
μερίσαντες αὐτῷ τῶν ἐθῶν ἀφ' ὧν ἔζων,
ὁ μὲν ἵππος εὐθύ· διόπερ ἐν χρόνοις πρώτοις
ἕκαστος ἡμῶν γαῦρός ἐστι τὴν γνώμην·
ὁ δὲ βοῦς μετ' αὐτόν· διόπερ εἰς μέσους ἥκων
μοχθεῖ φίλεργός τ' ἐστὶν ὄλβον ἀθροίζων.
ὁ κύων δ' ἔδωκε, φασί, τοὺς τελευταίους·
διὸ δυσκολαίνει, Βράγχε, πᾶς ὁ γηράσας,
καὶ τὸν διδόντα τὴν τροφὴν μόνον σαίνει,
ἀεὶ δ' ὑλακτεῖ, καὶ ξένοισιν οὐ χαίρει.

Διαβολὴν ὁ μῦθος ἔχει ἀνδρῶν ἐκείνων τῶν μηδεμίαν τοῖς ξένοις πρόνοιαν ποιουμένων, εἰς μόνον δὲ τοὺς οἰκείους τὴν στοργὴν περιιστώντων, ἀπὸ τῆς τοῦ κυνὸς ὑποδείξεως.

75 Ἰατρὸς ἦν ἄτεχνος. οὗτος ἀρρώστῳ
πάντων λεγόντων „μὴ δέδιθι, σωθήσῃ·
πάθος μέν ἐστι χρόνιον, ἀλλ' ἴσῃ ῥάων,“
ὡδ' ἀτεχνὴς ἰατρὸς εἶπεν εἰσβαίνων·
„ἕτοιμα δεῖ σε πάντ' ἔχειν· ἀποθνήσκεις.
οὐκ ἐξαπατῶ σε“ φησίν „οὐδ' ἐνεδρεύω·
τὴν αὔριον γὰρ τό γ' ἄκρον οὐχ ὑπερβήσῃ.“
ταῦτ' εἶπε, καὶ τὸ λοιπὸν οὐκέτ' εἰσῄει.
χρόνῳ δ' ἐκεῖνος ἐκ νόσων ἀνασφήλας
προῆλθεν ὠχρός, τοῖς ποσὶν μόλις βαίνων.
ὁ δ' ἰατρὸς αὐτῷ „χαῖρ'“ ἔφη συναντήσας,
καὶ πῶς ἔχουσιν οἱ κάτω διηρώτα.
κἀκεῖνος εἶπεν „ἠρεμοῦσι τῆς Λήθης
πιόντες. ἡ Κόρη δὲ χὠ μέγας Πλούτων
πρῴην ἰατροῖς δεινὰ πᾶσιν ἠπείλουν
ἐπὶ τῷ θεραπεύειν τοὺς νοσοῦντας ἀνθρώπους,
ἀνέγραφον δὲ πάντας, ἐν δὲ τοῖς πρώτοις
καὶ σὲ γράφειν ἔμελλον· ἀλλ' ἐγὼ δείσας
εὐθὺς προσῆλθον, ἡψάμην τε τῶν σκήπτρων,
κἀπώμοσ' αὐτοῖς ὅτι σὺ ταῖς ἀληθείαις
ἰατρὸς οὐκ εἶ καὶ μάτην διεβλήθης.“

Ὁ μῦθος οὗτος ῥηθήσεται πρὸς τοὺς κενὸν ὄνομα ἐπὶ πράγματί τινι κεκτημένους, τὴν δὲ τούτου πεῖραν παντελῶς οὐκ ἔχοντας.

76 Ἱππεὺς τὸν ἵππον, ἄχρι μὲν συνειστήκει
ὁ πόλεμος, ἐκρίθιζε κἄτρεφεν χόρτῳ,
παραστάτην γενναῖον ἐν μάχαις κρίνων·
ἐπεὶ δ' ἐπαύσατ', ἦν δὲ λοιπὸν εἰρήνη
καὶ μισθὸν ἱππεὺς οὐκέτ' εἶχεν ἐκ δήμου,
τότ' ἐκεῖνος ἵππος πολλάκις μὲν ἐξ ὕλης
κορμοὺς παχεῖς κατῆγεν εἰς πόλιν βαίνων,

μισθῷ τε φόρτον ἔφερεν ἄλλοτ' ἀλλοῖον,
τὸ πνεῦμα σῴζων ἐπ' ἀχύροισι δυστήνοις,
σάγην δὲ νώτοις ἔφερεν οὐκέθ' ἱππείην.
ὡς δ' αὖ πρὸ τειχῶν πόλεμος ἄλλος ἠκούσθη,
σάλπιγξ τ' ἐκέλευε πᾶσιν ἀσπίδα σμήχειν
ἵππους τε κοσμεῖν καὶ σίδηρον ὀξύνειν,
κἀκεῖνος αὖ τὸν ἵππον ἐγχαλινώσας
ὁ δεσπότης παρῆγεν ὡς ἐφιππεύσων.
ὁ δ' ὀκλάσας ἔπιπτεν οὐκέτ' ἰσχύων.
„ἔντασσε πεζοῖς σαυτόν“ εἶπεν „ὁπλίταις·
σὺ γάρ μ' ἀφ' ἵππων εἰς ὄνους μεταστήσας
πῶς αὖθις ἵππον ἐξ ὄνου με ποιήσεις;“

Μηδαμῶς τοῦ παρόντος δεῖν ἐπιμελεῖσθαι μόνον ὁ μῦθος διδάσκει, ἀλλὰ καὶ τοῦ μέλλοντος προνοεῖσθαι· τὸ γὰρ μὴ οὕτω γινόμενον πολλοῖς πολλάκις οὐ τὴν τυχοῦσαν ἤγαγε βλάβην.

77 Κόραξ δεδηχὼς στόματι τυρὸν εἱστήκει·
τυροῦ δ' ἀλώπηξ ἰχανῶσα κερδῴη
μύθῳ τὸν ὄρνιν ἠπάτησε τοιούτῳ.
„κόραξ, καλαί σοι πτέρυγες, ὀξέη γλήνη,
θηητὸς αὐχήν· στέρνον αἰετοῦ φαίνεις,
ὄνυξι πάντων θηρίων κατισχύεις.
ὁ τοῖος ὄρνις κωφός ἐσσι κοὐ κρώζεις.“
κόραξ δ' ἐπαίνῳ καρδίην ἐχαυνώθη,
στόματος δὲ τυρὸν ἐκβαλὼν ἐκεκράγει.
τὸν δ' ἡ σοφὴ λαβοῦσα κερτόμῳ γλώσση
„οὐκ ἦσθ' ἄφωνος“ εἶπεν „ἀλλὰ φωνήεις.
ἔχεις, κόραξ, ἅπαντα, νοῦς δέ σοι λείπει.“

Ὁ μῦθος διδάσκει μηδαμῶς ἄνθρωπον ἐπαίνοις ἐξαπατᾶσθαι· ζημίαι γὰρ ἐντεῦθεν καὶ ἀτιμίαι εἰώθασι γίνεσθαι.

78 Κόραξ νοσήσας εἶπε μητρὶ κλαιούση

„μὴ κλαῖε, μῆτερ, ἀλλὰ τοῖς θεοῖς εὔχου
νόσου με δεινῆς καὶ πόνων ἀνασφῆλαι.“
„καὶ τίς σε“ φησί „τῶν θεῶν, τέκνον, σώσει;
τίνος γὰρ ὑπὸ σοῦ βωμὸς οὐκ ἐσυλήθη;“

Ὅτι τοῖς ἀμεταμέλητα φησὶν εἰς θεὸν πλημμελοῦσιν ἀνωφελεῖς γίγνονται αἱ ὑπὲρ αὐτῶν δεήσεις.

79 Κρέας κύων ἔκλεψεν ἐκ μαγειρείου,
καὶ δὴ παρῄει ποταμόν· ἐν δὲ τῷ ῥείθρῳ
πολὺ τοῦ κρέως ἰδοῦσα τὴν σκιὴν μείζω,
τὸ κρέας ἀφῆκε, τῇ σκιῇ δ' ἐφωρμήθη.
ἀλλ' οὔτ' ἐκείνην εὗρεν οὔθ' ὃ βεβλήκει,
πεινῶσα δ' ὀπίσω τὸν πόρον διεξῄει.
[βίος ἀβέβαιος παντὸς ἀνδρὸς ἀπλήστου
ἐλπίσι ματαίαις πραγμάτων ἀναλοῦται.]

80 Κάμηλον ἠνάγκαζε δεσπότης πίνων
ὀρχεῖσθ' ὑπ' αὐλοῖς κυμβάλοις τε χαλκείοις.
ἡ δ' εἶπ' „ἐμοὶ γένοιτο κἂν ὁδῷ βαίνειν
ἄνευ γέλωτος, μή τι κἂν χορῷ παίζειν.“

Ἀντίρρησιν ὁ λόγος ἔχει παρὰ τῶν σωφρόνως ζῆν αἱρουμένων πρὸς τοὺς ἐν βίῳ κενὰ ἐπινοουμένους.

81 Κερδοῖ πίθηκος φησίν „ἣν ὁρᾷς στήλην,
ἐμοὶ πατρῴη τ' ἐστὶ κἄτι παππῴη.“
κερδὼ πιθήκῳ φησίν „ὡς θέλεις ψεύδου,
ἔλεγχον οὐκ ἔχουσα τῆς ἀληθείας.“
[κακοῦ πρὸς ἀνδρός ἐστι μὴ φεύγειν ψεῦδος,
κἂν λανθάνειν ψευδόμενος εὐχερῶς μέλλῃ.]

Οὕτως οἱ λίαν ψευδολόγοι τότε μάλιστα καταλαζονεύονται, ὅτε τοὺς ἐλέγχους κατ' ὄψιν οὐκ ἔχουσι.

82 Κοιμωμένου λέοντος ἀγρίης χαίτης
διέδραμεν μῦς· ὁ δὲ λέων ἐθυμώθη,
φρίξας δὲ χαίτην ἔθορε φωλάδος κοίτης.
κερδὼ δ' ἐπεχλεύαζεν, ὡς ἐκινήθη
πρὸς μῦν ὁ πάντων θηρίων τυραννεύων.
ὁ δ' „οὐχὶ τὸν μῦν“ εἶπεν, „ὦ παλαμναίη,
δέδοικα, μή μου τὴν δορὴν κνίσῃ φεύγων·
χαίτην δ' ἔμελλε τὴν ἐμὴν καταισχύνειν.“
[ἀρχόμενον ἄρτι τὸ θρασὺ τῶν ὑβριζόντων,
κἂν μικρὸν ᾖ, κώλυε, μηδὲ συγχώρει
εὐκαταφρόνητον σαυτὸν εἶναι τοῖς φαύλοις.]

Ὁ λόγος διδάσκει ὅτι οὐδὲ ὑπὸ τῶν μετρίων δεῖ ἡμᾶς καταφρονεῖσθαι, διὰ τὸ μὴ ἐντεῦθεν συνήθειαν κακὴν γεννηθῆναι.

83 Κριθάς τις ἵππου . . . .
. . . . πᾶσαν ἡμέραν πίνων,
ἔτριβεν ἐκτένιζεν ἡμέρῃ πάσῃ.
ὁ δ' εἶπεν „εἰ θέλεις με ταῖς ἀληθείαις
καλὸν γενέσθαι, τὸ τρέφον με μὴ πώλει.“
τῶν καιρίων δεῖ τὸν φιλοῦντα φροντίζειν
καὶ συμφερόντων· κόσμος οὐδὲν ὠνήσει
* * τὸν ἀποροῦντα τῶν ἀναγκαίων.

Ὁ παρὼν ῥηθήσεται λόγος πρὸς τοὺς ἀντὶ ἀναγκαίων πραγμάτων τοῖς λόγοις μόνοις τοὺς πέλας ἐξαπατῶντας.

84 Κώνωψ ἐπιστὰς κέρατι καμπύλῳ ταύρου
μικρόν τ' ἐπισχὼν εἶπε ταῦτα βομβήσας.
„εἰ σοῦ βαρύνω τὸν τένοντα καὶ κλίνω,
καθεδοῦμ' ἀπελθὼν ποταμίας ἐπ' αἰγείρου.“
ὁ δ' „οὐ μέλει μοι“ φησίν „οὔτ' ἐὰν μείνῃς
οὔτ' ἂν ἀπέλθῃς· οὐδ' ὅτ' ἦλθες ἐγνώκειν.“

[γελοῖος ὅστις οὐδὲν ὢν κατ' ἀνθρώπων
τῶν κρειττόνων θρασύνεθ' ὥς τις ὢν σφόδρα.]

Κατηγορίαν ὁ λόγος περιέχει ἀνδρὸς εὐτελοῦς καὶ λίαν ἀνδυνάτου, ὑπολήψεις δὲ μεγάλας περὶ ἑαυτοῦ κεκτημένου.

85 Κυσίν ποτ' ἔχθρα καὶ λύκοις συνειστήκει.
κύων δ' Ἀχαιὸς ᾑρέθη κυνῶν δήμου
στρατηγὸς εἶναι. καὶ μάχης ἐπιστήμων
ἔμελλεν, ἐβράδυνεν. οἱ δ' ἐπηπείλουν,
εἰ μὴ προάξει, τὴν μάχην δ' ἐνεδρεύσει.
„ἀκούσατ'“ εἶπεν „οὗ χάριν διατρίβω,
τί δ' εὐλαβοῦμαι· χρὴ δ' ἀεὶ προβουλεύειν.
τῶν μὲν πολεμίων τὸ γένος ὧν ὁρῶ πάντων
ἕν ἐστιν· ἡμῶν δ' ἦλθον οἱ μὲν ἐκ Κρήτης,
οἱ δ' ἐκ Μολοσσῶν, εἰσὶν οἱ δ' Ἀκαρνάνων,
ἄλλοι δὲ Δόλοπες, οἱ δὲ Κύπρον ἢ Θρᾴκην
αὐχοῦσιν, ἄλλοι δ' ἄλλοθεν. τί μηκύνω;
τὸ χρῶμα δ' ἡμῖν οὐχ ἕν ἐστιν ὡς τούτοις,
ἀλλ' οἱ μὲν ἡμῶν μέλανες, οἱ δὲ τεφρώδεις,
ἔνιοι δὲ λαμπροὶ καὶ διάργεμοι στήθη,
ἄλλοι δὲ λευκοί. πῶς ἂν οὖν δυνηθείην
εἰς πόλεμον ἄρχειν“ εἶπε „τῶν ἀσυμφώνων
πρὸς τοὺς ὅμοια πάντ' ἔχοντας ἀλλήλοις;“
[συμφωνία μέγιστον ἀγαθὸν ἀνθρώποις·
τὸ δὲ στασιάζον ἀσθενές τε καὶ δοῦλον.]

86 Κοίλωμα ῥίζης φηγὸς εἶχεν ἀρχαίη·
ἐν τῇ δ' ἔκειτο ῥωγὰς αἰπόλου πήρη,
ἄρτων ἑώλων πᾶσα καὶ κρεῶν πλήρης.
ταύτην ἀλώπηξ εἰσδραμοῦσα τὴν πήρην
ἐξέφαγε· γαστὴρ δ', ὥσπερ εἰκός, ᾠγκώθη,
στενῆς δὲ τρώγλης οὐκέτ' εἶχεν ἐκδῦναι.

ἑτέρα δ' ἀλώπηξ ὡς ἐπῆλθε κλαιούσῃ,
σκώπτουσα „μεῖνον“ εἶπεν „ἄχρι πεινήσῃς·
οὐδ' ἐξελεύσῃ πρότερον ἄχρι τοιαύτην
τὴν γαστέρα σχῇς, ἡλίκην ὅτ' εἰσῄεις.“

Ὁ μῦθος παραινεῖ μηδαμῶς σπεύδειν τινὰ πρὸς πλεονεξίαν τοῦ πέλας, γινώσκων ὅτι τὰ χαλεπὰ τῶν πραγμάτων ὁ χρόνος διαλύει.

87 Κύων λαγωὸν ἐξ ὄρους ἀναστήσας
ἐδίωκε δάκνων αὐτὸν εἰ κατειλήφει,
μεταστραφεὶς δ' ἔσαινεν ὡς φίλῳ ψαύων.
ὁ λαγωός „ἁπλοῦν“ δ' εἶπε „θηρίον γίγνου.
φίλος εἶ; τί δάκνεις; ἐχθρὸς εἶ; τί οὖν σαίνεις;“
[ἀμφίβολος οὗτός ἐστι νοῦς ἐν ἀνθρώποις,
οἷς οὔτ' ἀπιστεῖν ἔχομεν οὔτε πιστεύειν.]

88 Κορυδαλὸς ἦν τις ἐν χλόῃ νεοσσεύων,
ὁ τῷ χαραδριῷ πρὸς τὸν ὄρθρον ἀντᾴδων,
καὶ παῖδας εἶχε ληίου κόμῃ θρέψας
λοφῶντας ἤδη καὶ πτεροῖσιν ἀκμαίους.
ὁ δὲ τῆς ἀρούρης δεσπότης ἐποπτεύων
ὡς ξηρὸν εἶδε τὸ θέρος, εἶπε „νῦν ὥρη
πάντας λαβεῖν μοι τοὺς φίλους, ἵν' ἀμήσω.“
καί τις κορυδαλοῦ τῶν λοφηφόρων παίδων
ἤκουεν αὐτοῦ, τῷ τε πατρὶ μηνύει,
σκοπεῖν κελεύων ποῦ σφέας μεταστήσει.
ὁ δ' εἶπεν „οὔπω καιρός ἐστι νῦν φεύγειν·
ὃς γὰρ φίλοις πέποιθεν, οὐκ ἄγαν σπεύδει.“
ὡς δ' αὖτις ἦλθεν, ἡλίου δ' ὑπ' ἀκτίνων
ἤδη ῥέοντα τὸν στάχυν θεωρήσας
μισθὸν μὲν ἀμητῆρσιν αὔριον δώσειν,
μισθὸν δέ φησι δραγματηφόροις δώσειν,

εἶπεν κορυδαλὸς παισὶ νηπίοις „ὥρη
νῦν ἐστὶν ὄντως, παῖδες, ἐκ τόπων φεύγειν,
ὅτ' αὐτὸς ἀμᾷ κοὐ φίλοισι πιστεύει."

Ὁ μῦθος διδάσκει ἡμᾶς ἐπιμελεῖσθαι τῶν οἰκείων, ὅση δύναμις, καὶ μὴ καταφρονεῖν, θαρροῦντας ταῖς τῶν φίλων συνδρομαῖς.

89 *Λύκος ποτ' ἄρνα πεπλανημένον ποίμνης*
ἰδὼν βίᾳ μὲν οὐκ ἐπῆλθεν ἁρπάξων,
ἔγκλημα δ' ἔχθρας εὐπρόσωπον ἐζήτει.
„οὐ σύ μέ τι πέρυσι μικρὸς ὢν ἐβλασφήμεις;"
„ἐγὼ οὐ περυσινός, ὅς γ' ἐπ' ἔτος ἐγεννήθην."
„οὔκουν σὺ τὴν ἄρουραν ἣν ἔχω κείρεις;"
„οὔπω τι χλωρὸν ἔφαγον, οὐδ' ἐβοσκήθην."
„οὐδ' ἆρα πηγὴν ἐκπέπωκας ἣν πίνω;"
„θηλὴ μεθύσκει μέχρι νῦν με μητρῴη."
τότε δὴ τὸν ἄρνα συλλαβών τε καὶ τρώγων
„ἀλλ' οὐκ ἄδειπνον" εἶπε „τὸν λύκον θήσεις,
κἂν εὐχερῶς μου πᾶσαν αἰτίην λύσῃς."

Ὅτι τοὺς φύσει πονηροὺς καὶ ἀδίκους οὐδ' εὔλογος ἀπολογία πείθει.

90 *Λέων ἐλύσσα. τὸν δὲ νεβρὸς ἐξ ὕλης*
ἰδὼν ἔφησεν „ἠμέων ταλαιπώρων·
τί γὰρ μεμηνὼς οὗτος οὐχὶ ποιήσει,
ὃς ἦν φορητὸς οὐδὲ σωφρονῶν ἡμῖν."

Πρὸς ἄνδρα φύσει ὀργίλον καὶ αἱμοβόρον ἐξουσίαν ἀρχῆς κατὰ τῶν ὑπηκόων λαμβάνοντα.

91 *Λέοντα φεύγων ταῦρος εἰς ἐρημαίην*
σπήλυγγα κατέδυ ποιμένων ὀρειφοίτων,
ὅπου τράγος τις χωρὶς αἰπόλου μείνας

τὸν ταῦρον ἐμβὰς τοῖς κέρασιν ἐξώθει.
ὁ δ᾽ εἶπεν „οὐ σέ, τὸν λέοντα δ᾽ ἐκκλίνω.
ἀνέξομαί σου μικρὰ τῆς ἐπηρείης·
ἐπεὶ παρελθέτω με, καὶ τότε γνώσῃ
πόσον τράγου μεταξὺ καὶ πόσον ταύρου.“

Πρὸς τοὺς τοῖς δυνατωτέροις ἐπεμβαίνοντας δι᾽ ἐπικειμένην αὐτοῖς συμφοράν.

92 Λέοντά τις κυνηγὸς οὐχὶ τολμήεις
ἴχνευεν ὀρέων ἐν βαθυσκίοις ὕλαις·
δρυτόμῳ δὲ μακρᾶς ἐγγὺς ἐντυχὼν πεύκης
„ὦ πρός σε νυμφῶν“ εἶπεν, „ἆρα γινώσκεις
ἴχνη λέοντος, ὅστις ὧδε φωλεύει;“
κἀκεῖνος εἶπεν „ἀλλὰ σὺν θεῷ βαίνεις·
αὐτὸν γὰρ ἤδη τὸν λέοντά σοι δείξω.“
ὁ δ᾽ ὠχριήσας γομφίους τε συγκρούων
„μή μοι χαρίζου“ φησί „πλεῖον οὗ χρῄζω,
τὸ δ᾽ ἴχνος εἰπέ· τὸν λέοντα μὴ δείξῃς.“

Ὁ μῦθος ἐλέγχει τοὺς λόγοις μὲν ἀνδρείους ἐπιδεικνυμένους, ἔργοις δὲ ἀνικάνους ἀποφαινομένους.

93 Λύκων παρῆσαν ἄγγελοί ποτ᾽ εἰς ποίμνην
ὅρκους φέροντες καὶ βέβαιον εἰρήνην,
ἐφ᾽ ᾧ λάβωσι τοὺς κύνας πρὸς αἰκίην,
δι᾽ οὓς μάχονται καὶ κοτοῦσιν ἀλλήλοις.
μωρὰ δὲ ποίμνη καὶ τὰ πάντα βληχώδης
πέμπειν ἔμελλεν. ἀλλά τις γέρων ἤδη
κριὸς βαθείῃ φρικὶ μαλλὸν ὀρθώσας
„καινῆς γε ταύτης“ εἶπε „τῆς μεσιτείης.
ἀφύλακτος ὑμῖν πῶς ἐγὼ συνοικήσω,

δι᾽ οὓς νέμεσθαι μηδὲ νῦν ἀκινδύνως
ἔξεστι, καίτοι τῶν κυνῶν με τηρούντων;“

Οὐδαμῶς ἀκαταλλάκτοις ἐχθροῖς πιστεύειν δεῖ, ὅταν σε τῆς οἰκείας βούλωνται ἀμελεῖν σωτηρίας, κἂν ὅρκοις τυχὸν τὴν εἰρήνην λαλῶσι.

94 Λύκῳ ποτ᾽ ὀστοῦν φάρυγος ἐντὸς ἠρείσθη·
ἐρῳδιῷ δὲ μισθὸν ἄξιον δώσειν
ἔταξε, τὸν τράχηλον εἰ καθιμήσας
ἀνελκύσειε καὶ πόνων ἄκος δοίη.
ὁ δ᾽ ἑλκύσας τὸν μισθὸν εὐθέως ᾔτει.
κἀκεῖνος αὐτῷ, κάρχαρόν τι μειδήσας,
„σοὶ μισθὸς ἀρκεῖ“ φησί „τῆς ἰατρείης
κεφαλὴν λυκείου φάρυγος ἐξελεῖν σῴην.“
[κακοῖς βοηθῶν μισθὸν ἀγαθὸν οὐ λήψῃ,
ἀλλ᾽ ἀρκέσει σοι μή τι τῶν κακῶν πάσχειν.]

95 Λέων νοσήσας ἐν φάραγγι πετραίῃ
ἔκειτο νωθρὰ γυῖα γῆς ἐφαπλώσας,
φίλην δ᾽ ἀλώπεκ᾽ εἶχεν ᾗ προσωμίλει.
ταύτῃ ποτ᾽ εἶπεν „εἰ θέλεις με σὺ ζῴειν·
πεινῶ γὰρ ἐλάφου τῆς ὑπ᾽ ἀγρίαις πεύκαις
κεῖνον τὸν ὑλήεντα δρυμὸν οἰκούσης,
καὶ νῦν διώκειν ἔλαφον οὐκέτ᾽ ἰσχύω·
σὺ δ᾽ ἂν θελήσῃς, χεῖρας εἰς ἐμὰς ἥξει
λόγοισι θηρευθεῖσα σοῖς μελιγλώσσοις.“
ἀπῆλθε κερδώ, τὴν δ᾽ ὑπ᾽ ἀγρίαις ὕλαις
σκιρτῶσαν εὗρε μαλθακῆς ὑπὲρ ποίης.
ἔσκυσσε δ᾽ αὐτὴν πρῶτον, εἶτα καὶ χαίρειν
προσεῖπε, χρηστῶν τ᾽ ἄγγελος λόγων ἥκειν.
„ὁ λέων“ ἔφασκεν, „οἶδας, ἔστι μοι γείτων,
ἔχει δὲ φαύλως, κἀγγύς ἐστι τοῦ θνήσκειν.

τίς οὖν μετ᾽ αὐτὸν θηρίων τυραννήσει,
διεσκοπεῖτο. σῦς μέν ἐστιν ἀγνώμων,
ἄρκτος δὲ νωθής, πάρδαλις δὲ θυμώδης,
τίγρις δ᾽ ἀλαζὼν καὶ τὸ πᾶν ἐρημαίη.
ἔλαφον τυραννεῖν ἀξιωτάτην κρίνει·
γαύρη μὲν εἶδος, πολλὰ δ᾽ εἰς ἔτη ζῴει,
κέρας δὲ φοβερὸν πᾶσιν ἑρπετοῖς φύει,
δένδροις ὅμοιον, κοὐχ ὁποῖα τῶν ταύρων.
τί σοι λέγω τὰ πολλά; πλὴν ἐκυρώθης,
μέλλεις τ᾽ ἀνάσσειν θηρίων ὀρειφοίτων.
τότ᾽ οὖν γένοιτο τῆς ἀλώπεκος μνήμη,
δέσποινα, τῆς σοι τοῦτο πρῶτον εἰπούσης.
ταῦτ᾽ ἦλθον. ἀλλὰ χαῖρε, φιλτάτη. σπεύδω
πρὸς τὸν λέοντα, μὴ πάλιν με ζητήσῃ·
χρῆται γὰρ ἡμῖν εἰς ἅπαντα συμβούλοις.
δοκῶ δὲ καὶ σέ, τέκνον, εἴ τι τῆς γραίης
κεφαλῆς ἀκούεις. ἔπρεπέ σοι παρεδρεύειν
ἐλθοῦσαν αὐτῷ καὶ πονοῦντα θαρσύνειν.
τὰ μικρὰ πείθει τοὺς ἐν ἐσχάταις ὥραις·
ψυχαὶ δ᾽ ἐν ὀφθαλμοῖσι τῶν τελευτώντων.“
ὣς εἶπε κερδώ. τῆς δ᾽ ὁ νοῦς ἐχαυνώθη
λόγοισι ποιητοῖσιν, ἦλθε δ᾽ εἰς κοίλην
σπήλυγγα θηρός, καὶ τὸ μέλλον οὐκ ᾔδει.
λέων δ᾽ ἀπ᾽ εὐνῆς ἀσκόπως ἐφορμήσας
ὄνυξιν οὔατ᾽ ἐσπάραξεν ἀκραίοις,
σπουδῇ διωχθείς· τὴν δὲ φύζα δειλαίην
θύρης κατιθὺς ἦγεν εἰς μέσας ὕλας.
κερδὼ δὲ χεῖρας ἐπεκρότησεν ἀλλήλαις,
ἐπεὶ πόνος μάταιος ἐξανηλώθη.
κἀκεῖνος ἐστέναξε τὸ στόμα βρύχων
(ὁμοῦ γὰρ αὐτὸν λιμὸς εἶχε καὶ λύπη),
πάλιν δὲ κερδοῦν ἱκέτευε φωνήσας

ἄλλον τιν' εὑρεῖν δεύτερον δόλον θήρης.
ἡ δ' εἶπε κινήσασα βυσσόθεν γνώμην
„χαλεπὸν κελεύεις, αὖθις ἀλλ' ὑπουργήσω."
καὶ δὴ κατ' ἴχνος ὡς σοφὴ κύων ᾔει,
πλέκουσα τέχνας καὶ πανουργίας πάσας,
ἀεὶ δ' ἕκαστον ποιμένων ἐπηρώτα
μή πού τις ἔλαφος ᾑματωμένη φεύγει.
τὴν δ' ὥς τις εἶδε, δεικνύων ἂν ὡδήγει,
ἕως ποθ' εὗρεν ἐν κατασκίῳ χώρῳ
δρόμων ἀναψύχουσαν. ἡ δ' ἀναιδείης
ὀφρὺν ἔχουσα καὶ μέτωπον εἱστήκει.
ἐλάφου δὲ φρὶξ ἐπέσχε νῶτα καὶ κνήμας,
χολῇ δ' ἐπέζει καρδίην, ἔφη δ' οὕτω·
„σὺ νῦν διώκεις πανταχοῦ μ' ὅποι φεύγω.
ἀλλ' ὦ στύγημα, νῦν μὲν οὐχὶ χαιρήσεις,
ἤν μοι προσέλθῃς καί τι γρύξαι τολμήσῃς.
ἄλλοις ἀλωπέκιζε τοῖς ἀπειρήτοις,
ἄλλους δὲ βασιλεῖς ὑπερέθιζε καὶ ποίει."
τῆς δ' οὐκ ἐτράφθη θυμός, ἀλλ' ὑποβλήδην
„οὕτως ἀγεννής" φησί „καὶ φόβου πλήρης
πέφυκας; οὕτω τοὺς φίλους ὑποπτεύεις;
ὁ μὲν λέων σοι συμφέροντα βουλεύων
μέλλων τ' ἐγείρειν τῆς πάροιθε νωθείης
ἔψαυσεν ὠτός, ὡς πατὴρ ἀποθνήσκων·
ἔμελλε γάρ σοι πᾶσαν ἐντολὴν δώσειν,
ἀρχὴν τοσαύτην πῶς λαβοῦσα τηρήσεις·
σὺ δ' οὐχ ὑπέστης κνίσμα χειρὸς ἀρρώστου,
βίῃ δ' ἀποσπασθεῖσα μᾶλλον ἐτρώθης.
καὶ νῦν ἐκεῖνος πλεῖον ἢ σὺ θυμοῦται,
λίην ἄπιστον πειράσας σε καὶ κούφην,
βασιλῆ δέ φησι τὸν λύκον καταστήσειν.
οἴμοι πονηροῦ δεσπότου. τί ποιήσω;

ἅπασιν ἡμῖν αἰτίη κακῶν γίνῃ.
ἀλλ' ἐλθέ, καὶ τὸ λοιπὸν ἴσθι γενναία,
μηδ' ἐπτόησο, πρόβατον οἷον ἐκ ποίμνης.
ὄμνυμι γάρ σοι φύλλα πάντα καὶ κρήνας,
οὕτω γένοιτο σοὶ μόνῃ με δουλεύειν,
ὡς οὐδὲν ἐχθρὸν οἶδεν, ἀλλ' ὑπ' εὐνοίης
τίθησι πάντων κυρίαν σε τῶν ζῴων.“
τοιαῦτα κωτίλλουσα τὴν ἀχαιίνην
ἔπεισεν ἐλθεῖν δὶς τὸν αὐτὸν εἰς ᾅδην.
ἐπεὶ δὲ λόχμης εἰς μυχὸν κατεκλείσθη,
λέων μὲν αὐτὸς εἶχε δαῖτα παντοίην,
ἔγκατα λαφύσσων, μυελὸν ὀστέων πίνων
καὶ σπλάγχνα δάπτων· ἡ δ' ἀγωγὸς εἱστήκει
πεινῶσα θήρης, καρδίην δὲ νεβρείην
λάπτει πεσοῦσαν ἁρπάσασα λαθραίως,
καὶ τοῦτο κέρδος εἶχεν ὧν ἐκεκμήκει.
λέων δ' ἕκαστον ἐγκάτων ἀριθμήσας,
μόνην ἀπ' ἄλλων καρδίην ἐπεζήτει,
καὶ πᾶσαν εὐνὴν πάντα δ' οἶκον ἠρεύνα.
κερδὼ δ' ἀπαιολῶσα τῆς ἀληθείης
„οὐκ εἶχε πάντως“ φησί· „μὴ μάτην ζήτει.
ποίην δ' ἔμελλε καρδίην ἔχειν, ἥτις
ἐκ δευτέρου λέοντος ἦλθεν εἰς οἴκους;“

Ὅτι τοὺς τοῖς προλαβοῦσι κακοῖς μὴ σωφρονισθέντας εἰκότως ἄφυκτα κακὰ διαδέχεται· ἐν ᾧ καὶ ἔλεγχος κατὰ φιλοδόξων.

96 Λύκος παρῄει τριγχόν, ἔνθεν ἐκκύψας
ἀρνειὸς αὐτὸν ἔλεγε πολλὰ βλασφήμως.
κἀκεῖνος εἶπε, τὰς σιαγόνας πρίων,
„ὁ τόπος μ' ἐλοιδόρησε· μὴ σὺ καυχήσῃ.“

[ὁ μῦθος ὀρθῶς πᾶσι τοῦτο μηνύει,
μηδεὶς διὰ καιρὸν ἰσχύων τι γαυρούσθω.]

Κατάλληλος ὁ μῦθος τοῖς διὰ περίστασιν καὶ τόπον κατὰ τύχην τῶν δυνατωτέρων κατεπαιρομένοις.

97 Λέων ποτ' ἐπεβούλευεν ἀγρίῳ ταύρῳ,
καὶ προσποιηθεὶς μητρὶ τῇ θεῶν θύειν,
τὸν ταῦρον ἐλθεῖν ἐπὶ τὸ δεῖπνον ἠρώτα.
κἀκεῖνος ἥξειν εἶπεν οὐχ ὑποπτεύσας.
ἐλθὼν δὲ καὶ στὰς ἐπὶ θύρας λεοντείους
ὡς εἶδε θερμοῦ πολλὰ χαλκία πλήρη,
σφαγίδας, μαχαίρας βουδόρους νεοσμήκτους,
πρὸς τῇ θύρᾳ δὲ μηδέν, ἀλλὰ δεσμώτην
ἀλεκτορίσκον, ᾤχετ' εἰς ὄρος φεύγων.
ἐμέμφεθ' ὁ λέων ὕστερον συναντήσας.
ὁ δ' „ἦλθον" εἶπε, „καὶ τὸ σύμβολον δώσω·
οὐκ ἦν ὅμοιον θῦμα τῷ μαγειρείῳ."

Ὁ μῦθος ἡμᾶς ὑπομιμνήσκει, τὸ ἐπιὸν πάντως δεινὸν προορῶντας, μηδαμῶς ἀμελεῖν τῆς ἑαυτῶν σωτηρίας.

98 Λέων ἁλοὺς ἔρωτι παιδὸς ὡραίης
παρὰ πατρὸς ἐμνήστευε. τῷ δ' ὁ πρεσβύτης
οὐδέν τι δύσνουν οὐδ' ὕπουλον ἐμφήνας
„δίδωμι γῆμαι" φησί, „καὶ διδοὺς χαίρω·
τίς οὐ δυνάστῃ καὶ λέοντι κηδεύσει;
φρένες δὲ δειλαὶ παρθένων τε καὶ παίδων·
σὺ δ' ἡλίκους μὲν ὄνυχας, ἡλίκους δ' ἡμῖν
φέρεις ὀδόντας, τίς κόρη σε τολμήσει
ἀφόβως περιλαβεῖν; τίς δ' ἰδοῦσα μὴ κλαύσῃ;
πρὸς ταῦτα δὴ σκόπησον εἰ γάμου χρῄζεις,
μηδ' ἄγριος θὴρ ἀλλὰ νυμφίος γίγνου."
ὁ δὲ πτερωθεὶς τῇ δόσει τε πιστεύσας

ἐξεῖλε τοὺς ὀδόντας, εἶθ' ὑπὸ σμίλης
ἀπωνυχίσθη, τῷ τε πενθερῷ δείξας
τὴν παῖδ' ἀπῄτει. τὸν δ' ἕκαστος ἠλοία,
ῥοπάλῳ τις ἢ λίθῳ τις ἐκ χερὸς παίων.
ἔκειτο δ' ἀργὸς ὥσπερ ὗς ἀποθνήσκων,
γέροντος ἀνδρὸς ποικίλου τε τὴν γνώμην
σοφίῃ διδαχθεὶς ὡς ἄμικτον ἀνθρώπους
ἐρᾶν λεόντων ἢ λέοντας ἀνθρώπων.
[αὐτός τις αὐτὸν λανθάνει κακῶς δράσας,
ὧν οὐ πέφυκε μεταλαβεῖν ὅταν σπεύδῃ.]

99 Λύκῳ συνήντα πιμελὴς κύων λίην.
ὁ δ' αὐτὸν ἐξήταζε, ποῦ τραφεὶς οὕτω
μέγας κύων ἐγένετο καὶ λίπους πλήρης.
„ἄνθρωπος" εἶπε „δαψιλής με σιτεύει."
„ὁ δέ σοι τράχηλος" εἶπε „πῶς ἐλευκώθη;"
„κλοιῷ τέτριπται σάρκα τῷ σιδηρείῳ,
ὃν ὁ τροφεύς μοι περιτέθεικε χαλκεύσας."
λύκος δ' ἐπ' αὐτῷ καγχάσας „ἐγὼ τοίνυν
χαίρειν κελεύω" φησί „τῇ τροφῇ ταύτῃ,
δι' ἣν σίδηρος τὸν ἐμὸν αὐχένα τρίψει."

Ὅτι αἰσχρὸν καὶ ἐπονείδιστον τὸν μικρᾶς ἡδονῆς χάριν δουλοπρεπῶς ζωὴν φευκτέον ὁ μῦθος παραινεῖ.

100 Λέοντι προσπτὰς αἰετῶν τις ἐζήτει
κοινωνὸς εἶναι. χὠ λέων „τί κωλύει;"
πρὸς αὐτὸν εἶπεν. „ἀλλ' ἐνέχυρον ἢ δώσεις
τὠκύπτερόν σου μὴ μεθεῖναι τὴν πίστιν;
πῶς γὰρ φίλῳ σοι μὴ μένοντι πιστεύσω;"

Ὁ μῦθος ἐκδιδάσκει μὴ τάχιστα πᾶσι πιστεύειν, καὶ μάλιστα τοῖς μήπω φίλοις.

101 *Λύκος τις ἁδρὸς ἐν λύκοις ἐγεννήθη,*
λέοντα δ' αὐτὸν ἐπεκάλουν· ὁ δ' ἀγνώμων
τὴν δόξαν οὐκ ἤνεγκε, τῶν δὲ συμφύλων
ἀποστατήσας τοῖς λέουσιν ὡμίλει.
κερδὼ δ' ἐπισκώπτουσα „μὴ φρενωθείην“
ἔφη „τοσοῦτον ὡς σὺ νῦν ἐτυφώθης·
σὺ γὰρ ὡς ἀληθῶς ἐν λύκοις λέων φαίνῃ,
ἐν δ' αὖ λεόντων συγκρίσει λύκος γίγνῃ.“

Πρὸς τοὺς ἀπὸ τῶν κολάκων οὐκ ὀρθῇ κρίσει ἐπαινομένους κἀντεῦθεν μέγα φρονοῦντας, ἔπειτα δὲ ἐλεγχομένους ἑαυτοὺς ἐπιγινώσκειν.

102 *Λέων τις ἐβασίλευεν οὐχὶ θυμώδης*
οὐδ' ὠμὸς οὐδὲ πάντα τῇ βίῃ χαίρων,
πρᾷος δὲ καὶ δίκαιος ὥς τις ἀνθρώπων.
ἐπὶ τῆς ἐκείνου φασὶ δὴ δυναστείας
τῶν ἀγρίων ἀγυρμὸς ἐγεγόνει ζῴων,
δίκας τε δοῦναι καὶ λαβεῖν παρ' ἀλλήλων.
τὰ ζῷα πάντα δ' ὡς ὑπέσχον εὐθύνας,
λύκος μὲν ἀρνί, πάρδαλις δέ γ' αἰγάγρῳ,
ἐλάφῳ δὲ τίγρις, πάντα δ' εἶχεν εἰρήνην,
ὁ πτὼξ λαγωὸς εἶπεν „ἀλλ' ἐγὼ ταύτην
τὴν ἡμέραν ἀεί ποτ' ηὐχόμην, ἥτις
καὶ τοῖς βιαίοις φοβερὰ τἀσθενῆ θήσει.“

Ἔπαινον ὁ μῦθος ἔχει κριτῇ πρᾴῳ καὶ λίαν δικαίῳ.

103 *Λέων ἐπ' ἄγρην οὐκέτι σθένων βαίνειν*
(πολλῷ γὰρ ἤδη τῷ χρόνῳ γεγηράκει)
κοίλης ἔσω σπήλυγγος ὡς νόσῳ κάμνων
ἔκειτο, δόλιον οὐκ ἀληθὲς ἀσθμαίνων,
φωνὴν βαρεῖαν προσποιητὰ λεπτύνων.
θηρῶν δ' ἐπ' αὐλὰς ἦλθεν ἄγγελος φήμη,

καὶ πάντες ἤλγουν ὡς λέοντος ἀρρώστου,
ἐπισκοπήσων δ' εἷς ἕκαστος εἰσῄει.
τούτους ἐφεξῆς λαμβάνων ἀμοχθήτως
κατήσθιεν, γῆρας δὲ λιπαρὸν ηὑρήκει.
σοφὴ δ' ἀλώπηξ ὑπενόησε, καὶ πόρρω
σταθεῖσα „βασιλεῦ, πῶς ἔχεις;" ἐπηρώτα.
κἀκεῖνος εἶπε „χαῖρε, φιλτάτη ζῴων.
τί δ' οὐ προσέρχῃ, μακρόθεν δέ με σκέπτῃ;
δεῦρο, γλυκεῖα, καί με ποικίλοις μύθοις
παρηγόρησον ἐγγὺς ὄντα τῆς μοίρης."
„σῴοιο" φησίν· „εἰ δ' ἄπειμι, συγγνώσῃ·
πολλῶν γὰρ ἴχνη θηρίων με κωλύει,
ὧν ἐξιόντων οὐκ ἔχεις ὃ μοι δείξεις."
[μακάριος ὅστις οὐ προλαμβάνει πταίσας,
ἀλλ' αὐτὸς ἄλλων συμφοραῖς ἐπαιδεύθη.]

Οὕτω τινῶν οἱ κίνδυνοι διδαχὴ εἶναι ὀφείλει τῆς ἡμῶν σωτηρίας.

104 Λάθρῃ κύων ἔδακνε· τῷ δὲ χαλκεύσας
ὁ δεσπότης κώδωνα καὶ προσαρτήσας
πρόδηλον εἶναι μακρόθεν πεποιήκει.
ὁ κύων δὲ τὸν κώδωνα δι' ἀγορᾶς σείων
ἠλαζονεύετ'. ἀλλὰ δὴ κύων γραίη
πρὸς αὐτὸν εἶπεν „ὦ τάλαν, τί σεμνύνῃ;
οὐ κόσμον ἀρετῆς τοῦτον οὐδ' ἐπεικείης,
σαυτοῦ δ' ἔλεγχον τῆς πονηρίας κρούεις."

Ἔλεγχον ὁ μῦθος ἔχει τῶν οὐ καλῶς ἐφ' ἑαυτοῖς μέγα φρονούντων, ὅταν διὰ κακίαν τι πάθοιεν.

105 Λύκος ποτ' ἄρας πρόβατον ἐκ μέσης ποίμνης
ἐκόμιζεν οἴκαδ'· ᾧ λέων συναντήσας
ἀπέσπασ' αὐτοῦ. καὶ λύκος σταθεὶς πόρρω

„ἀδίκως ἀφείλου τῶν ἐμῶν" ἐκεκράγει.
λέων δὲ τερφθεὶς εἶπε τὸν λύκον σκώπτων
„σοὶ γὰρ δικαίως ὑπὸ φίλων ἐδωρήθη."

Ὁ μῦθος δικαίως καὶ προσφόρως ῥηθήσεται πρὸς ἄνδρας ἀδίκους, ἀλλήλους αἰτιωμένους, ἐπὶ τῷ αὐτῷ πταίσματι κειμένους.

106 Λέων ποτ' ἀνδρῶν βίον ἄριστον ἐζήλου,
καὶ δὴ κατ' εὐρὺν φωλεὸν διατρίβων,
ὅσων ἀρίστην ὀριτρόφων φυὴν ἔγνω,
φιλοφρονεῖσθαι γνησίως ἐπειρᾶτο.
πολὺς δ' ὑπὸ σπήλυγγι θαμινὰ παντοίων
θηρῶν ὅμιλος ἡμέρως συνηυλίσθη·
ὁ δ' εἱστία τε κἀφίλει νόμῳ ξείνων,
λίην τιθεὶς ἅπασι δαῖτα θυμήρη.
φίλην δὲ κερδὼ καὶ σύνοικον εἰλήφει,
μεθ' ἧς τὰ πολλὰ μειλίχως συνεξήκει.
γέρων δέ τις πίθηκος ἦν ὁ δαιτρεύων
κρεῶν τε συσσίτοισι διανέμων μοίρας,
ὅς, εἴ τις ἦλθεν οὐχὶ τῆς συνηθείης,
ταὐτὸν παρετίθει δεσπότῃ τε κἀκείνῳ,
ὅπερ εἷλεν ὁ λέων νεοδρόμῳ λαβὼν θήρῃ·
κερδῷ δ' ἑώλων ἔφερεν οὐκ ἴσην μοῖραν.
καὶ δή ποτ' αὐτὴν προσποιητὰ σιγῶσαν
λέων τίν' εἶχεν αἰτίην διηρώτα,
δείπνου τε χεῖρα καὶ βορῆς ἀποσχοῦσα.
„κερδοῖ σοφή, λάλησον ὥσπερ εἰώθεις·
φαιδρῷ προσώπῳ δαιτός, ὦ φίλη, ψαῦσον."
ἡ δ' εἶπεν „ὦ φέριστε θηρίων γέννης,
πολλῇ μερίμνῃ καρδίην διαξαίνω·
οὐ γὰρ τὰ νῦν παρόντα μοῦνον ἀλγύνει,
τὰ δ' ἔπειτα" φησὶ „προσκοπουμένη κλαίω.
καθ' ἡμέραν γὰρ εἴ τις ἄλλος, εἶτ' ἄλλος

ξένος πελάζοι, τοῦτο δ' εἰς ἔθος βαίνοι,
τάχ' οὐδ' ἑώλων γεύσομαι κρεῶν μούνη."
ὁ λέων δὲ τερφθεὶς ὡς λέων τε μειδήσας
εἶπεν „πιθήκῳ ταῦτα μηδ' ἐμοὶ μέμφου."

Ὅτι μᾶλλον ἀλγύνειν καὶ λυπεῖν οἶδεν ἀνθρώπους οὐ τὰ παρόντα μόνον, καθ' ὅσον ἤδη ἡ τῶν μελλόντων προσδοκία.

107 Λέων ἀγρεύσας μῦν ἔμελλε δειπνήσειν·
ὁ δ' οἰκότριψ κλὼψ ἐγγὺς ὢν μόρου τλήμων
τοιοῖσδε μύθοις ἱκέτευε τὸν θῆρα·
„ἐλάφους πρέπει σοι καὶ κερασφόρους ταύρους
θηρῶντα νηδὺν σαρκὶ τῇδε πιαίνειν·
μυὸς δὲ δεῖπνον οὐδ' ἄκρων ἐπιψαῦσαι
χειλῶν θέμις σῶν. ἀλλὰ λίσσομαι, φείδου.
ἴσως χάριν σοι τῆσδε μικρὸς ὢν θήσω."
γελάσας δ' ὁ θὴρ παρῆκε τὸν ἱκέτην ζῶντα,
καὶ φηλαγρευταῖς ἐμπεσὼν νεανίσκοις
ἐδικτυώθη, καὶ σφαλοῖς ἐδεσμεύθη.
ὁ μῦς δὲ λάθρῃ χηραμοῦ προπηδήσας,
στερρόν τ' ὀδοῦσι βραχυτάτοις βρόχον κείρας,
ἔλυσε τὸν λέοντα, τοῦ τὸ φῶς βλέψαι
ἐπάξιον δοὺς μισθὸν ἀντιζωγρήσας.
σαφὴς ὁ μῦθος εὐνοοῦσιν ἀνθρώποις,
σῴζειν πένητας, μηδέ πως ἀπελπίζειν,
εἰ καὶ λέοντα μῦς ἔσωσ' ἀγρευθέντα.

Μῦθος μέν, ὦ παῖ βασιλέως Ἀλεξάνδρου,
Σύρων παλαιόν ἐστιν εὕρεμ' ἀνθρώπων,
οἳ πρίν ποτ' ἦσαν ἐπὶ Νίνου τε καὶ Βήλου·
πρῶτος δέ φασιν εἶπε παισὶν Ἑλλήνων
Αἴσωπος ὁ σοφός, εἶπε καὶ Λιβυστίνοις

λόγους Κυβίσσης. ἀλλ᾽ ἐγὼ νέῃ μούσῃ
δίδωμι φαλάρῳ χρυσέῳ χαλινώσας
τὸν μυθίαμβον ὥσπερ ἵππον ὁπλίτην.
ὑπ᾽ ἐμοῦ δὲ πρώτου τῆς θύρας ἀνοιχθείσης
εἰσῆλθον ἄλλοι, καὶ ψοφωτέρας μούσης
γρίφοις ὁμοίας ἐκφέρουσι ποιήσεις,
μαθόντες οὐδὲν πλεῖον ἢ γεγωνίσκειν.
ἐγὼ δὲ λευκῇ μυθιάζομαι ῥήσει,
καὶ τῶν ἰάμβων τοὺς ὀδόντας οὐ θήγων,
ἀλλ᾽ εὖ πυρώσας, εὖ δὲ κέντρα πρηΰνας,
ἐκ δευτέρου σοι τήνδε βίβλον ἀείδω.

108 Μυῶν ὁ μέν τις βίον ἔχων ἀρουραῖον,
ὁ δ᾽ ἐν ταμείοις πλουσίοισι φωλεύων,
ἔθεντο κοινὸν τὸν βίον πρὸς ἀλλήλους.
ὁ δ᾽ οἰκόσιτος πρότερος ἦλθε δειπνήσων
ἐπὶ τῆς ἀρούρης ἄρτι χλωρὸν ἀνθούσης·
τρώγων δ᾽ ἀραιὰς καὶ διαβρόχους σίτου
ῥίζας μελαίνῃ συμπεφυρμένας βώλῳ
„μύρμηκος“ εἶπε „ζῇς βίον ταλαιπώρου,
ἐν πυθμέσιν γῆς κρίμνα λεπτὰ βιβρώσκων.
ἐμοὶ δ᾽ ὑπάρχει πολλὰ καὶ περισσεύει·
τὸ κέρας κατοικῶ πρὸς σὲ τῆς Ἀμαλθείας.
εἴ μοι συνέλθοις, ὡς θέλεις ἀσωτεύσῃ,
παρεὶς ὀρύσσειν ἀσφάλαξι τὴν χώρην.“
ἀπῆγε τὸν μῦν τὸν γεηπόνον πείσας
εἰς οἶκον ἐλθεῖν ὑπό τε τοῖχον ἀνθρώπου.
ἔδειξε δ᾽ αὐτῷ, ποῦ μὲν ἀλφίτων πήρη,
ποῦ δ᾽ ὀσπρίων ἦν σωρὸς ἢ πίθοι σύκων
στάμνοι τε μέλιτος σώρακοί τε φοινίκων.
ὁ δ᾽ ὡς ἐτέρφθη πᾶσι καὶ παρωρμήθη
καὶ τυρὸν ἦγεν ἐκ κανισκίου σύρων,

ἀνέῳξε τὴν θύραν τις· ὁ δ' ἀποπηδήσας
στεινῆς ἔφευγε δειλὸς ἐς μυχὸν τρώγλης,
ἄσημα τρίζων τόν τε πρόξενον θλίβων.
μικρὸν δ' ἐπισχὼν εἶτ' ἔσωθεν ἐκκύψας
ψαύειν ἔμελλεν ἰσχάδος Καμειραίης·
ἕτερος δ' ἐπῆλθεν ἄλλο τι προαιρήσων·
οἱ δ' ἔνδον ἐκρύβοντο. μῦς δ' ἀρουρίτης
„τοιαῦτα δειπνῶν“ εἶπε „χαῖρε καὶ πλούτει,
καὶ τοῖς περισσοῖς αὐτὸς ἐντρύφα δείπνοις,
ἔχων τὰ πολλὰ ταῦτα μεστὰ κινδύνων.
ἐγὼ δὲ λιτῆς οὐκ ἀφέξομαι βώλου,
ὑφ' ἣν τὰ κρίμνα μὴ φοβούμενος τρώγω.“

Ταῦτα ῥητέον τῷ ἐν προσχήματι φιλίας κακαῖς συμβουλίαις ἀπάγειν ἡμᾶς βουλομένῳ ζωῆς ἀταράχου καὶ κινδύνοις καθυποβάλλειν χάριν ῥεουσῶν ἡδονῶν.

109 „Μὴ λοξὰ βαίνειν“ ἔλεγε καρκίνῳ μήτηρ,
„ὑγρῇ τε πέτρῃ πλάγια κῶλα μὴ σύρειν.“
ὁ δ' εἶπε „μῆτερ ἡ διδάσκαλος, πρώτη
ὀρθὴν ἄπελθε, καὶ βλέπων σε ποιήσω.“

Ἀντίρρησιν ὁ μῦθος ἔχει πρὸς τοὺς ἐναντίας τοῖς ἔργοις διδασκαλίας ποιουμένους.

110 Μέλλων ὁδεύειν τῆς κυνός τις ἑστώσης
εἶπεν „τί χάσκεις; πάνθ' ἕτοιμά σοι ποίει·
μετ' ἐμοῦ γὰρ ἥξεις.“ ἡ δὲ κέρκον οὐραίην
ἄρασά φησι „πάντ' ἔχω· σὺ βαρδύνεις.“

Πρὸς ἄνδρα ἀπαρασκεύαστον πρὸς τὸν ἐν ἑτοιμασίᾳ ὄντα, καὶ περὶ συνοδοιπορίας κατεπείγοντα ὁ λόγος εὔκαιρος.

111 Μικρέμπορός τις ὄνον ἔχων ἐβουλήθη,
τοὺς ἅλας ἀκούων παρὰ θάλασσαν εὐώνους,

τούτους πρίασθαι, φορτίσας τε γενναίως
τὸν ὄνον κατῆγε. τῆς δ' ὁδοῦ προκοπτούσης
ὤλισθεν ἄκων εἴς τι ῥεῖθρον ἐξαίφνης,
καὶ συντακέντων τῶν ἁλῶν ἠλαφρύνθη,
ῥᾴων δ' ἀνέστη καὶ παρῆν ἀμοχθήτως
εἰς τὴν μεσόγεων. τοὺς ἅλας δὲ πωλήσας,
πάλιν γομώσων τὸν ὄνον ἦγε, καὶ πλείω
ἔτ' ἐπετίθει τὸν φόρτον. ὡς δὲ μοχθήσας
διέβαινε τὸν ῥοῦν, οὗπερ ἦν πεσὼν πρῴην,
ἑκὼν κατέπεσε, καὶ πάλιν δ' ὅλους τήξας
γαύρως ἀνέστη κοῦφος ὥς τι κερδήνας.
ὁ δ' ἔμπορος τέχνην τιν' ἐπινοῶν πλείους
σπόγγους κατῆγεν ὕστερον πολυτρήτους
ἐκ τῆς θαλάσσης, τούς θ' ἅλας μεμισήκει.
ὁ δ' ὄνος πανούργως, ὡς προσῆλθε τῷ ῥείθρῳ,
ἑκὼν κατέπεσεν· ἀθρόως δὲ τῶν σπόγγων
διαβραχέντων πᾶς ὁ φόρτος ὠγκώθη,
βάρος δὲ διπλοῦν ἦλθε βαστάσας νώτοις.
[πολλάκις ἐν οἷς τις ηὐτύχησε καὶ πταίει.]

112 Μῦς ταῦρον ἔδακεν. ὁ δ' ἐδίωκεν ἀλγήσας
τὸν μῦν· φθάσαντος δ' εἰς μυχὸν φυγεῖν τρώγλης,
ὤρυσσεν ἑστὼς τοῖς κέρασι τοὺς τοίχους,
ἕως κοπωθεὶς ὀκλάσας ἐκοιμήθη
παρὰ τὴν ὀπὴν ὁ ταῦρος. ἔνθεν ἐκκύψας
ὁ μῦς ἐφέρπει, καὶ πάλιν δακὼν φεύγει.
ὁ δ' ἐξαναστὰς οὐκ ἔχων ὃ ποιήσει,
διηπορεῖτο· τῷ δ' ὁ μῦς ἐπιτρύξας
„οὐχ ὁ μέγας αἰεὶ δυνατός. ἔσθ' ὅπου μᾶλλον
τὸ μικρὸν εἶναι καὶ ταπεινὸν ἰσχύει."

113 Μάνδρης ἔσω τις πρόβατα συλλέγων δείλης

κυηκὸν μετ' αὐτῶν λύκον ἔμελλε συγκλείειν.
ὁ κύων δ' ἰδὼν πρὸς αὐτὸν εἶπε „πῶς σπεύδεις
τὰ πρόβατα σῶσαι, τοῦτον εἰσάγων ἡμῖν;"

Ὁ μῦθος δηλοῖ ὅτι οὐκ ἀσφαλὴς ἡ μετὰ τῶν κακῶν συνοικία.

114 Μεθύων ἐλαίῳ λύχνος ἑσπέρης ηὔχει
πρὸς τοὺς παρόντας ὡς ἑωσφόρου κρείσσων,
λάμπειν ἅπασιν ἐκπρεπέστατον φέγγος.
ἀνέμου δὲ συρίσαντος εὐθὺς ἐσβέσθη
πνοῇ ῥαπισθείς. ἐκ δὲ δευτέρης ἅπτων
εἶπέν τις αὐτῷ „φαῖνε, λύχνε, καὶ σίγα·
τῶν δ' ἀστέρων τὸ φέγγος οὐκ ἀποθνήσκει."

Ὁ μῦθος ἡμᾶς διδάσκει μηδαμῶς φυσιοῦσθαι ἐπὶ τοῖς τοῦ βίου λαμπροῖς, ἐπισταμένους μηδὲν εἶναι μόνιμον.

115 Νωθὴς χελώνη λιμνάσιν ποτ' αἰθυίαις
λάροις τε καὶ κήυξιν εἶπεν ἀγρώσταις
„κἀμὲ πτερωτὴν εἴθε τις πεποιήκοι."
τῇ δ' ἐκ τύχης ἔλεξεν αἰετὸς ταῦτα.
„πόσον, χέλυννα, μισθὸν αἰετῷ δώσεις,
ὅστις σ' ἐλαφρὴν καὶ μετάρσιον θήσω;"
„τὰ τῆς ἐρυθρῆς πάντα δῶρά σοι δώσω."
„τοιγὰρ διδάξω" φησίν. ὑπτίην δ' ἄρας
ἔκρυψε νέφεσιν, ἔνθεν εἰς ὄρος ῥίψας
ἤραξεν αὐτῆς οὖλον ὄστρακον νώτων.
ἡ δ' εἶπεν ἐκψύχουσα „σὺν δίκῃ θνήσκω·
τίς γὰρ νεφῶν μοι καὶ τίς ἦν πτερῶν χρεία,
τῇ καὶ χαμᾶζε δυσκόλως προβαινούσῃ;"

116 Νυκτὸς μεσούσης ᾖδε παῖς τις εὐφώνως.
γυνὴ δ' ἀκούει τοῦδε, κἀξαναστᾶσα
θυρίδων προκύπτει, καὶ βλέπουσα τὸν παῖδα

λαμπρᾶς σελήνης ἐν φάει καλὸν λίην,
τὸν ἄνδρ' ἑαυτῆς καταλιποῦσα κοιμᾶσθαι,
κάτω μελάθρων ἦλθε, καὶ θύρης ἔξω
ἐλθοῦσ' ἐποίει τὴν προθυμίην πλήρη.
ἀνὴρ δὲ ταύτης ἐξανίστατ' ἐξαίφνης
ζητῶν ὁπουστί, κοὐκ ἰδὼν δόμων εἴσω
ἀμηχανῶν τε καὐτὸς ἦλθεν εἰς οἶμον.
καὶ τῇ συνεύνῳ φησί „μηδὲν ἐκπλήσσου,
τὸν παῖδα δ' ἡμῶν πεῖσον εἰς δόμους ἥκειν.“
ὃν καὶ λαβὼν παρῆγεν. εἶτα κἀκεῖνος,
ἄμφω θελόντων δρᾶν τι, χἠδ' ἐραθύμει.
τουτὶ μὲν οὕτως· ἔμφασις δὲ τοῦ μύθου,
κακόν ἐστι δαίρειν ὅταν ἔχῃ τις ἐκτῖσαι.

117 Νεώς ποτ' αὐτοῖς ἀνδράσιν βυθισθείσης,
ἰδών τις ἔλεγεν ἄδικα τοὺς θεοὺς κρίνειν·
ἑνὸς γὰρ ἀσεβοῦς ἐμβεβηκότος πλοίῳ,
πολλοὺς σὺν αὐτῷ μηδὲν αἰτίους θνήσκειν.
καὶ ταῦθ' ὁμοῦ λέγοντος, οἷα συμβαίνει,
πολλῶν ἐπ' αὐτὸν ἑσμὸς ἦλθε μυρμήκων,
σπεύδοντες ἄχνας πυρίνας ἀποτρώγειν·
ὑφ' ἑνὸς δὲ δηχθεὶς συνεπάτησε τοὺς πλείους.
Ἑρμῆς δ' ἐπιστὰς τῷ τε ῥαβδίῳ παίων
„εἶτ' οὐκ ἀνέξῃ“ φησί „τοὺς θεοὺς ὑμῶν
εἶναι δικαστὰς οἷος εἶ σὺ μυρμήκων;“

Ὁ λόγος διδάσκει ἡμᾶς μηδὲν ψέγειν τὰς τοῦ θεοῦ περὶ τοὺς ἀνθρώπους ἀκαταλήπτους οἰκονομίας, κἂν ἄδικοι τοῖς ἀπαιδεύτοις δοκοῖεν εἶναι.

118 Ξουθὴ χελιδών, ἡ πάροικος ἀνθρώπων,
ἦρος καλιὴν ηὐθέτιζεν ἐν τοίχῳ,
ὅπου γερόντων οἶκος ἦν δικαστήρων·

κἀκεῖ νεοσσῶν ἑπτὰ γίνεται μήτηρ,
οὔπω πτερίσκοις πορφυροῖς ἐπανθούντων.
ὄφις δὲ τούτους ἑρπύσας ἀπὸ τρώγλης
ἅπαντας ἑξῆς ἔφαγεν. ἡ δὲ δειλαίη
παίδων ἀώρων συμφορὰς ἀπεθρήνει,
„οἴμοι“ λέγουσα, „τῆς ἐμῆς ἐγὼ μοίρης·
ὅπου νόμοι γὰρ καὶ θέμιστες ἀνθρώπων,
ἔνθεν χελιδὼν ἠδικημένη φεύγω.“

Κατὰ δικαστῶν ὁ λόγος βοηθεῖν δυναμένων τοῖς μηδὲν κακὸν πράξασι, καὶ τούτοις ὑπὸ μειζόνων ἀδικουμένοις μηδεμίαν ἀνάληψιν παρεχομένων.

119 Ξύλινόν τις Ἑρμῆν εἶχεν· ἦν δὲ τεχνίτης.
σπένδων δὲ τούτῳ καὶ καθ᾽ ἡμέραν θύων
ἔπρασσε φαύλως. τῷ θεῷ δ᾽ ἐθυμώθη,
χαμαὶ δ᾽ ἀπεκρότησε τοῦ σκέλους ἄρας.
χρυσὸς δὲ κεφαλῆς ἐρρύη καταγείσης,
ὃν συλλέγων ἄνθρωπος εἶπεν „Ἑρμεία,
σκαιός τίς ἐσσι καὶ φίλοισιν ἀγνώμων,
ὃς προσκυνοῦντας οὐδὲν ὠφέλεις ἡμᾶς,
ἀγαθοῖς δὲ πολλοῖς ὑβρίσαντας ἠμείψω.
τὴν εἰς σὲ καινὴν εὐσέβειαν οὐκ ᾔδειν.“
καὶ τοὺς θεοὺς Αἴσωπος ἐμπλέκει μύθοις,
βουλόμενος ἡμᾶς νουθετεῖν πρὸς ἀλλήλους.
πλέον οὐδὲν ἕξεις σκαιὸν ἄνδρα τιμήσας,
ἀτιμάσας δ᾽ ἂν αὐτὸν ὠφεληθείης.

120 Ὁ τελμάτων ἔνοικος, ὁ σκιῇ χαίρων,
ὁ ζῶν ὀρυκτοῖς βάτραχος παρ᾽ εὐρίποις,
εἰς γῆν παρελθὼν ἔλεγε πᾶσι τοῖς ζῴοις
„ἰατρός εἰμι φαρμάκων ἐπιστήμων,
οἵων τάχ᾽ οὐδεὶς οἶδεν, οὐδ᾽ ὁ Παιήων,

ὃς Ὄλυμπον οἰκεῖ καὶ θεοὺς ἰατρεύει."
„καὶ πῶς" ἀλώπηξ εἶπεν „ἄλλον ἰήσῃ,
ὃς σαυτὸν οὕτω χλωρὸν ὄντα μὴ σῴζεις;"

Πρὸς ἄνδρα ἀμαθῆ καὶ ἀπαίδευτον, ἄλλους παιδεύειν ἐπαγγελλόμενον.

121 Ὄρνις ποτ' ἠσθένησε. τῇ δὲ παρκύψας
αἴλουρος εἶπε „πῶς ἔχεις; τίνων χρῄζεις;
ἐγὼ παρέξω πάντα σοι· μόνον σῴζου."
ἡ δ' „ἂν ἀπέλθῃς" εἶπεν, „οὐκ ἀποθνήσκω."

Πρὸς τοὺς πονηρᾷ διαθέσει χρηστότητα ἐπιδεικνυμένους ὁ λόγος εὔκαιρος.

122 Ὄνος πατήσας σκόλοπα χωλὸς εἱστήκει·
λύκον δ' ἰδὼν παρόντα καὶ σαφῆ δείσας
ὄλεθρον οὕτως εἶπεν. „ὦ λύκε, θνήσκω,
μέλλω τ' ἀποπνεῖν· σοὶ δὲ συμβαλὼν χαίρω.
σὺ μᾶλλον ἢ γὺψ ἢ κόραξ με δειπνήσεις.
χάριν δέ μοι δὸς ἀβλαβῆ τε καὶ κούφην,
ἐκ τοῦ ποδός μου τὴν ἄκανθαν εἰρύσσας,
ὥς μου κατέλθῃ πνεῦμ' ἀναλγὲς εἰς ᾅδου."
κἀκεῖνος εἰπὼν „χάριτος οὐ φθονῶ ταύτης"
ὀδοῦσιν ἄκροις σκόλοπα θερμὸν ἐξῄρει.
ὁ δ' ἐκλυθεὶς πόνων τε κἀνίης πάσης
τὸν κνηκίαν χάσκοντα λακτίσας φεύγει,
ῥῖνας μέτωπα γομφίους τ' ἀλοιήσας.
„οἴμοι" λύκος, „τάδ'" εἶπε „σὺν δίκῃ πάσχω·
τί γὰρ ἄρτι χωλοὺς ἠρξάμην ἰατρεύειν,
μαθὼν ἀπ' ἀρχῆς οὐδὲν ἢ μαγειρεύειν;"

Ὅτι οἱ τοῖς μηδὲν προσήκουσιν ἐπιτηδεύειν ἐπιχειροῦντες, εἰκότως δυστυχοῦντες βλάβην ἑαυτοῖς ἐπιφέρουσι.

123 Ὄρνιθος ἀγαθῆς χρύσε' ᾠὰ τικτούσης,
ὁ δεσπότης θησαυρὸν ᾤεθ' εὑρήσειν
ἐν τῇσδε πλεῖστον ἐγκάτοις ἀγερθέντα,
κἄκτεινε ταύτην, ἀθρόων μένων λῆψιν.
εὑρὼν δ' ὅμοια τἄνδον ὀρνέοις ἄλλοις
ᾤμωξε πολλὸν ἐλπίδων ἀτευκτήσας·
πλείονος ἔρως γὰρ ἐστέρησε τῶν ὄντων.

124 Ὀρνιθοθήρᾳ φίλος ἐπῆλθεν ἐξαίφνης,
μέλλοντι θύμβραν καὶ σέλινα δειπνήσειν.
ὁ δὲ κλωβὸς εἶχεν οὐδέν· οὐ γὰρ ἠγρεύκει.
ὥρμησε δὴ πέρδικα ποικίλον θύσων,
ὃν ἡμερώσας εἶχεν εἰς τὸ θηρεύειν.
ὁ δ' αὐτὸν οὕτως ἱκέτευε μὴ κτεῖναι.
„τὸ λοιπόν“ εἶπε „δικτύῳ τί ποιήσεις,
ὅταν κυνηγῇς; τίς δέ σοι συναθροίσει
εὐωπὸν ἀγέλην ὀρνέων φιλαλλήλων;
τίνος μελῳδοῦ πρὸς τὸν ἦχον ὑπνώσεις;“
ἀφῆκε τὸν πέρδικα, καὶ γενειήτην
ἀλεκτορίσκον συλλαβεῖν ἐβουλήθη.
ὁ δ' ἐκ πεταύρου κλαγγὸν εἶπε φωνήσας
„πόθεν μαθήσῃ πόσσον εἰς ἕω λείπει,
τὸν ὡρόμαντιν ἀπολέσας με; πῶς γνώσῃ
πότ' ἐννυχεύει χυσότοξος Ὠρίων;
ἔργων δὲ τίς σε πρωινῶν ἀναμνήσει,
ὅτε δροσώδης ταρσός ἐστιν ὀρνίθων;“
κἀκεῖνος εἶπεν „οἶσθα χρησίμους ὥρας·
ὅμως δὲ δεῖ σχεῖν τὸν φίλον τί δειπνήσει.“

Ὅτι τῷ ἀνδρὶ δουλεύειν ἐπιθυμίαις εἰθισμένῳ οὐδεὶς λόγος ἰσχυρὸς πρὸς τὸ μὴ πράττειν ἀεὶ τὰ καθ' ἡδονήν.

125 Ὄνος τις ἀναβὰς εἰς τὸ δῶμα καὶ παίζων

τὸν κέραμον ἔθλα, καί τις αὐτὸν ἀνθρώπων
ἐπιδραμὼν κατῆγε τῷ ξύλῳ παίων.
ὁ δ' ὄνος πρὸς αὐτόν, ὃς τὰ νῶτ' ἐληλέγχει,
„καὶ μὴν πίθηκος ἐχθὲς“ εἶπε „καὶ πρώην
ἔτερπεν ὑμᾶς αὐτὸ τοῦτο ποιήσας.“

Ὁ μῦθος πρὸς ἄνδρας τοὺς ἐναντίως ἔχοντας τὰς δόξας καὶ κινδύνους ἑαυτοῖς ἐπιφέροντας.

126 Ὄνος τις οὐκ εὔμοιρος ἀλλὰ δυσδαίμων
γάλλοις ἀγύρταις εἰς τὸ κοινὸν ἐπράθη,
ὅστις φέρῃ πτωχοῖσι καὶ παντουργοῖσιν
πείνης ἄκος δίψης τε, καὶ τὰ τῆς τέχνης.
οὗτοι δὲ κύκλῳ πᾶσαν ἐξ ἔθους κώμην
περιόντες ἐλέγοντ' ὄψα· τίς γὰρ ἀγροίκων
οὐκ οἶδεν Ἄττιν λευκόν, ὡς ἐπηρώθη;
τίς οὐκ ἀπαρχὰς ὀσπρίων τε καὶ σίτων
ἁγνῷ φέρων δίδωσι τυμπάνῳ Ῥείης; . . . .

127 Ὁδοιπορῶν ἄνθρωπος εἰς ἐρημίαν
ἑστῶσαν εὗρε τὴν Ἀληθίην μούνην.
καί φησιν αὐτῇ „διὰ τίν' αἰτίην, γραῖα,
τὴν πόλιν ἀφεῖσα τὴν ἐρημίαν ναίεις;“
ἡ δ' εὐθὺ πρὸς τάδ' εἶπεν ἡ βαθυγνώμων
„ὅτι πρὸ τοῦ μὲν παρ' ὀλίγοισιν ἦν ψεῦδος,
νῦν δ' εἰς ἅπαντα βροτὸν ἐλήλυθε ψεῦδος.
εἰ δ' ἔστιν εἰπεῖν καὶ κλύειν ἐμοῦ βούλῃ,
ὁ νῦν πονηρὸς βίοτός ἐστιν ἀνθρώπων.“

Ὁ λόγος οὗτος ἀνθρώπους κωμῳδεῖ, ὧν ἡ ἀλήθεια μακρὰν πέφευγε διὰ τὸ τὸ ψεῦδος τούτους φιλεῖν καὶ μᾶλλον συνοικεῖν.

128 Ὄνῳ τις ἐπιθεὶς ξόανον ἦγε κωμήτης . . . .
„ὄνος εἶ θεὸν φέρων σὺ . . . . . .

129 Ὁ Ζεὺς γράφοντ' ἐν ὀστράκοισιν Ἑρμείην
. . . .
ἐκέλευσεν εἰς κιβωτὸν αὐτὰ σωρεύειν
. . . . . . ἐρευνήσας
ὅπως ἑκάστου τὰς δίκας ἀναπράσσῃ.
τῶν ὀστράκων δὲ κεχυμένων ἐπ' ἀλλήλοις
τὸ μὲν βράδιον τὸ δὲ τάχιον ἐμπίπτει
εἰς τοῦ Διὸς τὰς χεῖρας, εἴ ποτ' εὐθύνοι.
τῶν οὖν πονηρῶν οὐ προσῆκε θαυμάζειν
ἂν θᾶσσον ἀδικῶν ὀψέ τις κακῶς πράσσῃ.

130 Οἰῶν τις εἶπε πρὸς νομῆα τοιαῦτα.
„κείρεις μὲν ἡμᾶς, καὶ πόκους ἔχεις κέρσας,
τὸ γάλα δ' ἀμέλγοντ' ἔστι σοι φλέον πῆξαι,
ἡμῶν δὲ τέκνα μῆλά σοι περισσεύει.
πλέον οὐδὲν ἡμῖν, ἀλλὰ χὴ τροφὴ γαίης
ἅπασ'· ἐν ὄρεσι δ' εὐθαλὲς τί γεννᾶται;
βοτάνη γ' ὀρείη καὶ δρόσου γεμισθεῖσα,
φέρβεις δ' ἄρ' ἡμῖν τὴν κύν' ἐν μέσοις ταύτην,
τρέφων ὁποῖα σαυτὸν εὐθαλεῖ σίτῳ."
τούτων ἀκούσασ' ἡ κύων ἔφη τοῖα·
„εἰ μὴ παρήμην κἂν μέσοις ἐπωλεύμην,
οὐκ ἂν ποθ' ὑμεῖς ἔσχετ' ἄφθονον ποίην·
ἐγὼ δὲ περιτρέχουσα πάντα κωλύω
δρηστῆρα λῃστὴν καὶ λύκον διωκτῆρα."

Ὁ μῦθος πρὸς τοὺς τῇ τῶν πλησίον διαφθονουμένους εὐημερίᾳ ἐστίν, ὅτε καὶ ὑπ' αὐτῶν ἐκείνων τὰ μέγιστα ὠφελοῦνται.

131 Ὄνον τις ἔτρεφε καὶ κυνίδιον ὡραῖον.
τὸ κυνίδιον δ' ἔχαιρε παῖζον εὐρύθμως,
τὸν δεσπότην τε ποικίλως περισκαῖρον·
κἀκεῖνος ἀντέχαιρεν αὔτ' ἔχων κόλποις.

ὁ δέ γ' ὄνος αὖ τὰς νύκτας ἠλέει πάσας
πυρὸν φίλης Δήμητρος, ἡμέρας δ' ὕλην
κατῆγ' ἀφ' ὕψους, ἐξ ἀγροῦ θ' ὅσων χρεία.
καὶ νῦν ἐν αὐλῇ παρὰ φάτναισι δεσμώτης
ἔτρωγε κριθῆς χόρτον ὥσπερ εἰώθει.
δηχθεὶς δὲ θυμῷ καὶ περισσὸν οἰμώξας,
σκύμνον θεωρῶν ἁβρότητι σὺν πάσῃ,
φάτνης ὀνείης δεσμὰ καὶ κάλους ῥήξας
ἐς μέσσον αὐλῆς ἦλθεν ἄμετρα λακτίζων.
σαίνων δ' ὁποῖα, καὶ θέλων περισκαίρειν,
τὴν μὲν τράπεζαν ἐς μέσον βαλὼν ἔθλα,
ἅπαντα δ' εὐθὺς ἠλόησε τὰ σκεύη.
δειπνοῦντα δ' ἐγγὺς ἦλθε δεσπότην κύσσων,
νώτοις ἐπεμβάς· ἐσχάτου δὲ κινδύνου
θεράποντες ἐν μέσοισι τοῦτον ὡς εἶδον,
ἐσάωσαν . . . .
κρανέης δὲ κορύναις ἄλλος ἄλλοθεν κρούων
ἔκτεινον, ὡς δὴ καὐτὸς ὕστατ' ἐκπνείων
„ἔτλην“ ἔλεξεν „οἷα χρή με, δυσδαίμων·
τί γὰρ παρ' οὐρήεσσιν οὐκ ἐπωλεύμην,
βαιῷ δ' ὁ μέλεος κυνιδίῳ παρισούμην;“

Ὅτι οὐ πάντες πρὸς πάντα ἴσοι πεφύκασι, κἂν φθόνῳ ἀλαζονεύωνται.

132 Σοφῆς ἀράχνης ἱστὸν εὗρε κωλώτης,
καὶ λεπτὸν ἐνέδυ φᾶρος ἐκτεμὼν τοίχου . . . .

133 Στικτή ποτ' ηὔχει πάρδαλις φορεῖν μούνη
δορὴν ἁπάντων ποικιλωτάτην ζῴων.
πρὸς ἣν ἀλώπηξ εἶπ' „ἐγὼ δὲ κἀκείνης
κρείσσω τ' ἔχω καὶ ποικιλωτέρην γνώμην.“

134 *Ποιμήν τις εὗρε νεόγονον λύκου σκύμνον . . . .*
[γνώμη πονηρὰ χρηστὸν ἦθος οὐ τίκτει.]

135 *Υἱὸν γέρων τις δειλὸς εἶχε γενναῖον . . . .*
χὤπως ἔχῃ τι βουκόλημα τῆς λύπης,
ἀνέθηκε τοίχοις ποικίλας γραφὰς ζῴων . . . .
. . . τῇδ' ἐν οἰκίῃ κατεκλείσθην . . . .
. . . . . ὄγκωμα μέχρι βουβῶνος . . . .
ἃ σοι πέπρωται, ταῦτα τλῆθι γενναίως,
καὶ μὴ σοφίζου· τὸ χρεὼν γὰρ οὐ φεύξῃ.

136 *Ὑμηττία μέλισσα, κηρίων μήτηρ,*
. . . . ἀνῆλθεν εἰς θεῶν οἴκους . . . .
. . . .
ἡ δ' εἶπε „δός μοι κέντρον . . . . .
καὶ μὴ θέλων ἔδωκεν· εἶπε γὰρ δώσειν . . . .
ζωὴ γὰρ αὐτῆς ἐστὶ πετομένης κέντρον.

137 *Χειμῶνος ὥρῃ σῖτον ἐκ μυχοῦ σύρων*
ἔψυχε μύρμηξ, ὃν θέρους σεσωρεύκει.
τέττιξ δὲ τοῦτον ἱκέτευσε λιμώττων,
δοῦναί τι καὐτῷ τῆς τροφῆς, ὅπως ζήσῃ.
„τί οὖν ἐποίεις" φησί „τῷ θέρει τούτῳ;"
‚οὐκ ἐσχόλαζον, ἀλλὰ διετέλουν ᾄδων.'
γελάσας δ' ὁ μύρμηξ, τόν τε πυρὸν ἐγκλείων,
„χειμῶνος ὀρχοῦ" φησίν, „εἰ θέρους ηὔλεις."
[κρεῖττον τὸ φροντίζειν ἀναγκαίων χρειῶν
ἢ τὸ προσέχειν νοῦν τέρψεσίν τε καὶ κώμοις.]

138 . . . . . ἄσωτος καταφαγὼν τὰ πατρῷα . . . .
ταύτης ἀκούσας μικρὰ τιττυβιζούσης . . . .

139 εἰ μὴ γὰρ ὑμεῖς στελεὰ πάντ' ἐγεννᾶτε,
οὐκ ἂν γεωργὸς πέλεκυν ἐν δόμοις εἶχεν.

140 μέλλονθ' ἑαυτὸν εἶδε κυριευθῆναι . . . .

Τοὺς γνησίους τῶν φίλων αἱ συμφοραὶ δοκιμάζουσι.

141 . . . . κατῆλθεν εἰς βαθὺν κρημνόν . . . .
. . . . καὶ βοηθὸν ἐζήτει . . . .

Δέον τὰ τέλη τῶν πραγμάτων ἡμᾶς περιορᾶν καὶ οὕτως τὴν τούτων ἐγχείρησιν ποιεῖσθαι.

142 πτεροῖσι τοῖς ἐμοῖσι νῦν κατεβλήθην."

143 Λίβυσσα γέρανος ἠδὲ ταὼς εὐπήληξ
χλωρὴν ἀεὶ 'βόσκοντο λείμακος ποίην . . . .

144 στρουθὸς Λίβυσσα . . . .

145 τοῦτον προσεῖπεν ἄμπελος „τί με βλάπτεις;
μὴ οὐκ ἔστι χλοίη; . . . .

146 οὔπω δὲ καιρός ἐστιν ἤἰ' ἀλλύειν . . . .

INDEX FABULARUM LACHMANNIANUS. *)

*) Halmianos numeros non addidimus, quoniam ex accuratissimo indice sedes fabularum nullo negotio cognosci possunt.

BUCOLICORUM GRAECORUM

THEOCRITI, BIONIS, MOSCHI

RELIQUIAE

ACCEDENTIBUS

INCERTORUM IDYLLIIS.

RECENSUIT

HENRICUS LUDOLFUS AHRENS.

EDITIO SECUNDA.

LIPSIAE.

SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.

MDCCCLXIX.

PRAEFATIO EDITIONIS SECUNDAE.

Contigit ut prioris editionis, quae a. 1850 lucem vidit, exemplaribus divenditis novam parari oporteret, quo tempore maioris Bucolicorum Graecorum editionis tomus primus, textum cum apparatu critico continens, fere absolutus erat. Itaque huius recensionem plurimis ab illa priore diversam iterare placuit, nisi quod et sphalmata quaedam tolli poterant et lectiones in Addendis editionis maioris probatae recipi. Quum vero haec nova recensio complura exhibeat, quae commentariis et lexicis destituentibus tirones, partim adeo viros non indoctos morari possint, utile visum est lectionum novatarum, quarum sensus minus in aperto positus est, brevem interpretationem praemittere.

THEOCRITUS.

Id. I, 9. οἰΐς deminutivum vocis οἶς, ut ἀμνός ἀμνίς. — 45. πυρραῖος i. q. πυῤῥός, ut ἐρυθραῖος = ἐρυθρός, cf. Lobeck. Paralipp. p. 319. — 55. αἰολίχος deminutivum Doricum adiectivi αἰόλος, ut IV, 20. πυῤῥίχος a πυῤῥός. Ibid. θᾶμα Dorice pro θέαμα, cf. Diall. Gr. II. p. 342. — 62. ἐκλήθειν, oblivionem iniicere, cf. Buttm. Gr. II. p. 233. — 89. λαδρά i. e. χλευαστικῶς, vid. Philol. VII. p. 416. — 106. Θυμβρίδος. Intellige regionem prope Syracusas sitam. — 110. Ἑλίκας i. e. Καλλιστοῦς. — 123. ἐξ ὀρθῶν sc. ὀμμάτων, cf. V, 36. et Soph. O. R. 538. ἐξ ὀμμάτων ὀρθῶν.

Id. II, 4. ποθείκει Dorice pro προσήκει, cf. Diall. II. p. 344. 586. — 24. λᾶκος pro λῆκος, cf. Hesych. λάκος (leg. λᾶκος), ἦχος, ψόφος. — 31. χαλκέον Dorice pro χαλκεῖον, cf. Diall. II. p. 188. — 60. καθυπερτερέω ἃς ἔτι καὶ νῦν, *invicti (veneficiis) usque adhuc*, cf. εἰς ἔτι καὶ νῦν Lu-

cian. de sacrif. c. 14. — 84. ἐξάλλαξε, *mentem meam alienavit*, vid. Philol. VII. p. 423. — 106. ἀέρσα Dorice pro ἕρση, ἐέρση, Diall. II. p. 51. — 111. Intelligo „*aspectu suo efficiens, ut oculos in terram defigerem.*" — 121. Iunge περιελικτάν. — 127. τὰ φίλα euphemice. — 150. ἀτρεχές Dorice pro ἀτρεκές, Diall. II. p. 83. — 151. ἀκράτως sc. κυάθους.

Id. III, 21. λίπος hypocoristice ut μύρον AP. V, 113. — 26. Aposiopesis: „*et si non moriar* — (sc. in complexum tuum properabo). *Quod vero ad te pertinet* (i. e. tibi), *dulce est*" sc. me mori. — 28. ποτεμάξατο i. e. προσήνεγκε, ἀπέδωκε. — 29. πῆχυς ὁμαλός, *cubitus planus* ideoque platagonio imposito et percusso sonum non reddens. — 30. ἁ Γραίω, filia Γραίου.

Id. IV, 13. δ' pro δὴ et ita saepius. — 22. κακογράσμων, i. e. κακοφάγος a stirpe ΓΡΑ, unde ἔγραε Callim. fr. 250, πολύγραος, γράστις. — 32. Κρότωνα pro Κρότων. Ad καλεῖ cf. Hom. Od. ρ, 382 seqq. — 47. εἶξῶ, cf. ad II, 4. — 61. „*Ad mortarium in opere erat*" obscoene, cf. μακτρισμός et ἴγδις, obscoena genera saltationis Poll. IV, 101. EtM. 464, 50. — 63. ὁρίζειν, *confinem esse* Herod. IV, 42.

Id. V, 9. ἀνακλέπτω a simplici κλέπτω non magis differt quam ἀναρπάζω ab ἁρπάζω. — 14. μαὐτόν ex μὰ αὐτόν. — 24 ὅρισδε, *oppignera*, cf. Virg. Ecl. III, 31. *tu dic mecum quo pignore certes.* — 38. κυνάς, *canis femina*, vid. Philol. VII. p. 440. — 43. ὗβος i. e. λάγυνος ab ὗς, ut βοῦβος IV, 17. (vid. infr.) a βοῦς. — 62. ποθέ Dorice pro ποθέν. — 95. λειτός vulgo minus recte λιτός scribitur. — 101. ὧς, *ubi* Sicelice. — 145. κερούτιδες, *lascivae*, vid. Philol. VII. p. 446.

Id. VII, 4. 5. Intellige „*patre Lycore orti, nobilissimo inter populum, ultra vero hunc adeo Clytiae et Chalconis regia stirpe*". De ἔτ' ἄνωθεν cf. Ammon. p. 48. ἀπόγονος δ' ὁ ἤτοι υἱωνεὺς ἢ ἔτι ἄποθεν, Plat. Legg. XI. p. 919. πατρὶ καὶ μητρὶ καὶ τοῖς ἔτι τούτων εἰς τὸ ἄνω γένεσι. — 46. ὄρος εὐρυμέδον est *mons late dominans* i. e. late prospectans, altus, cf. Horat. Ep. I, 11, 26. *locus effusi late maris arbiter.* — 73. ὄρος ἀμφ' ἐπονεῖτο, *montes circa dolebant.* — 133. οἰναρέῃσι sc. χαμευνίσι, *cubilibus pampineis.* — 153. διεκρανάσατε, *aqua vestra fontana temperastis*, Scholl. ἐπηγάσατε.

Id. VIII, 33. *πήποκα* Dorice pro *πώποτε*. — 48. *ὧ* Dorice pro *ὅθεν* per attractionem pro *ἐκεῖθεν οὗ*.

Id. IX, 13. Iunge *ὅσσον τι*. — 18. *ὧ* Dorice pro *ὅθεν*. — 27. *ἐγκαγχάσατο κόχλῳ*, cf. Scholl. *ἐγέλασε χαρίεν ἐπὶ τῷ τοῦ κόχλου ὀστράκῳ*, Hesych. *καγχᾶται, ἀτάκτως γελᾷ*. — 36. *γαθεῦσιν* est dat. plur. sc. *ὄμμασι*.

Id. X, 18. *χροΐζεται*, *tibi corrumpit noctem* (Plaut. Men. 4, 2, 31.), cf. *χρῴζω*, *χραίνω*. — 48. *ὑπνῶν* Dorice pro *ὑπνοῦν*.

Id. XI, 19. *σφηλός* i. q. *σκληρός* vel *δριμύς*, cf. Hesych. s. vv. *σφηλόν*, *σφειλόν*, *ἄσφηλοι*, *σπηλόν*. — 39. *μανοφόρως* rectius scribitur quam *μανν*. sensu non diverso. — 57. *μασεῦμαι* futurum verbi *μανθάνω* pro *μήσομαι* a stirpe *ΜΗΘ*, unde *προμηθής*, *Προμηθεύς* all. — 59. *πόθ'* vid. supra ad V, 62. — 65. *πήποχ'* vid. ad VIII, 33. — 66. *λεπτύνοντα*, *macrescentem*.

Id. XII, 13. *ἴσπνιλος* verius scribitur quam *εἴσπνηλος* eodem sensu. — 35. *ἐπιβῶται* Ionice pro *ἐπιβοᾶται*.

Id. XIII, 13. *εἴκων* cf. ad II, 4. — 27. *Κιανάν* sc. *γῆν*. — 65. *μεταρσία* i. q. *μετέωρος* sc. *ἦν*. Intellige „navis armamentis instructa et in mare deducta erat, ut qui profecturi essent; sed vela usque ad mediam noctem heroes Herculem expectantes constricta tenebant."

Id. XIV, 1. 2. *ἄλλα τοιαῦτα* h. e. *πολλὰ χαίρειν*, *Αἰσχίνᾳ* sc. *λέγω*. — 17. *βοῦβος*, *magnus*, quo sensu Sophron Syracusanus *βύβος* (scr. *βῦβος*) dixisse traditur EtM. 216, 55., vox a *βοῦς* derivata ut particula epitatica *βοῦ* vel *βῦ*. Ibidem *κοχλίας* est *οἶνος καχλάζων*, *πορφύρων*, *vinum fuscum*. „Ein ochsiger Rother wurde vertilgt." — 38. *τηνῶ* = *ἐκεῖθεν*, et *μᾶλα*, *genae*, cf. proverbium *hinc illae lacrimae*. — 46. *οὐδ' εἰ* fere non differt a simplici *οὐδέ*, cf. Arist. Vesp. 352. — 53. *ὑπόχαλκος*, *puella falsa et perfida*, cf. Plutarch. Morall. p. 65. A. et Herodian. p. 447. Piers.

Id. XV, 2. *αὐτεῖ* Dorice pro *αὐτοῦ*, cf. Soph. O. C. 288. — 18. *ταὐτᾷ* i. e. *τῇ αὐτῇ* = *ὡσαύτως*. — 25. *ἠνίδ' ἐγών*, *en ego*, i. e. prompta sum et parata ad faciendum quod iubes (ad eundum), cf. Callim. h. in Del. 132, Horat. Sat. I, 1, 15. — 27. *αἶρε τὸ βᾶμα*, *tolle pedem*, cf. Eurip. Troad. 342. — *ἀνιό-*

δρυπτε, *loris lacerata*, cf. *μαστιγίας*, *δρυφάς*. Proverbium *πάλιν αἴ γ. μ. χρ. κ.* (cf. proverbium *πάλιν ἁ ὗς παρορίνει*), *rursus feles molli somno frui volunt*, Eunoae pigritiam notat. — 37. *τὰν ψυχὰν προτέθεικα* dictum est ut *προδιδόναι τὴν ψυχήν* Soph. Ant. 322., *προβάλλειν ψυχήν* Eurip. Rh. 183., cf. Eurip. Ph. 810. *θανάτῳ προτεθέντα*. — 40. *ἵππος* — omisso per aposiopesin *λακτίζει*, quod latet in sequentibus verbis *χωλὸν δ' οὐ δεῖ τι γενέσθαι*. — 49. *ἐξαπάτας κεκροτημένοι*, *in fallaciis exercitati*, cf. Scholl., Hesych. s. vv. *κρότημα* et *ἄκροτον*, Scholl. Arist. Nub. 259. — 73. *ἀθαρέως* i. e. *ὑβριστικῶς*, cf. Saupp. Epist. Crit. p. 76. — 88. *ἐκ νασσᾶν* sunt *νηττῶν παῖδες* (ut Theogn. 189. 1112. *ἐκ κακοῦ* est *κακοῦ παῖς*) vel *νηττιδεῖς*. De usu proverbiali et metaphorico talium dictionum patronymicarum cf. Aristoph. Pac. 1067. *ἀλωπεκιδεῦσι* et Cratini *γαλιδέως* apud Hesychium. Sententia igitur haec „*et sicut anates omnia hiante ore clangentes.*“ — 98. *πέρυτιν* Dorice pro *πέρυσιν*. — 101. *Χρυσῶ* epitheton Veneris. — 126. 127. *Μιλατίς* Dorice pro *Μιλησίς* i. q. *Μιλησία*. Sententia haec: *mulier Milesia et pastor Samius dicent* „*lectus Adonidi stratus noster est*,“ h. e. lecti stragula ex optima lana Samia textricum Milesiarum arte facta sunt. — 143. *εἴξεῖς*, vid. ad II, 4.

Id. XVIII, 23. *ἐπὶ ἱστῷ*, *ad telam texendam.*

Id. XIX, 61. *ἀκρόχλοος*, *valde pallidus.*

Id. XX, 66. *ἅμματα ὀρθά* h. e. *κατ' ὀρθοπάλην*. — 213. *κρατέουσι* est dat. plur. participii, cui per notum anacoluthiae genus verbum finitum additur pro „*καὶ ἐκ κρατέοντος φῦσιν*.“

Id. XXI, 1. *μαλοπάρανος* Aeolice pro *μαλοπάρειος* Diall. I. p. 36.

Id. XXII, 4. *ὑπάσσαλος* Aeolice pro *ὑπόσαλος*. — 6. *κἀντιφίλησ' ἐῶ*, *et Niciam vicissim mihi hospitium praebere sinam.* — 15. *ἀκίδρας*, cf. Cyrill. *ἀκιδρός*, *ὁ ἀσθενής*, Hesych. *ἀκιδρωνάζω* (recte Is. Vossius *ἀκιδρωπάζω*), *ἀμβλυωπῶ*.

Epigr. VIII, 5. *πελωριστός* i. e. *περιβόητος*, cf. Hesych. *πελωρεύει*, *φανερῶς ποιεῖ* (leg. *φανερόν*), et *πελω-*

ῥύειν, βοᾶν. — XI, 6. ἀγρεμόνες i. q. antea σπάλικες, cf. Hesych. — XXII, 2. πολλοῖς sc. ἐνιαυτοῖς.

BIO.

I. Conferatur huius idyllii editio singularis. — VI, 3. Iunge ποτιμοχθεῖν. — VII, 4. Iunge ποτιδέχεσθαι. — VIII, 1. 2. „*non tam timent quam amant*," potius amant quam timent. — XI, 4. χαλεπά i. e. δεινά pro substantivo. — 5. ἀλῆτο Dorice pro ἡλᾶτο. — 7. *quod desiderium propulsabat.* — XIII, 1. *potius Iovis filia quam maris*, cf. VIII, 1.

MOSCHUS.

I, 55. Iunge ἀμφιδηνήεντος, *circumcirca artificiosi*: δηνήεις i. q. τεχνήεις a δῆνος. — 66. 67. Iunge ἔραζε πετηλά i. e. χαμαιπετῆ, χαμαίζηλα, *humilia.* — II, 14. βασιλῆα i. e. βασιλεῖα, *regiam.* — V, 7. δειλοθέτας, *escas ponens*, *inescator* ab δέλος, δέλεαρ, δεῖλαρ.

INCERTI.

Id. I, 16. ἐν ὑμετέροις κήδεσι i. e. in Orphei Thracis morte. — 38. De aquilis plorantibus cf. Oppian. Ix. I, 2. — 39. ἀλκυονίς i. q. ἀλκυών EtM. 66, 30. Apoll. Rh. I, 1085. αἴγεσι rarior dativi forma ab αἶγες, τὰ κύματα Δωριεῖς Hesych. De κῆϋξ cf. Oppian. Ix. II, 7. τὰς ᾠδὰς δὲ εἰ καταπαύειν μέλλοιειν (αἱ ἀλκυόνες), κῆϋξ κῆϋξ συνεχῶς ἐπειποῦσαι σιγῶσι. — 60. νομεύει i. q. νωμᾷ, *animo versat.* — 84. ἦρεε, *capiebat* i. e. delectabat. — 119. οὐ φύγεν ᾠδάν, *cantu non absterritus est.* — 121. 122. *praeter hanc naeniam etiam lacrymis tuum fatum ploro.*

Id. II, 44. Iunge μηδὲ τὸν ἀδέα, *ne amasium quidem suum.*

Id. III, 13. φορμός, crassum piscatorum tegumen, quod his simul pro cervicali erat. — 15. κλήθραν, cf. Hesych. κλήθρα, — μοχλός. — 18. τραφεράν i. e. ἤπειρον. — 36. *ut luscinia in silva*; lusciniarum ἀγρυπνία proverbialis, vid. Paroemiogr. I. p. 443. — 48. *Manus protentas incurvans pisci latum spatium concedebam.* — 58. ὀγκίνιον deminutivum vocis ὄγκῖνος (male in lexicis ὄγκῖνος), *uncīnus*, *hamus*.

Id. V, 8. ῥόδα μάλων, *rosae genarum*, rubores. — 24. λᾶθον, *oblivionem afferens*, cf. Hom. Od. δ, 221. φάρμακον — κακῶν ἐπίληθον ἁπάντων et supra ad Theocr. I, 62. — 47. 48. Construe ἐπερεισάμενος (τῷ λίθῳ) ἄχρις γεισιπόδων τοίχου. —

Id. VI, 8. νόμος Dorice pro νόμους. Deinde interpretare: „*inter Lycomedis filias non attendentes, ne eo quidem quod Achilles in Deidamiae cubiculo dormiebat.*" — 18. ἄειρε, *laudibus extollebat.*

Id. VII, 16. λίνον ἄκριτον, *plaga plurimos sine discrimine excipiens*, cf. Nonn. Dion. XLVIII, 286. (Ἔρωτες) εἰς λίνον ἄνδρα φέρουσι καὶ ἀγρώσσουσι γυναῖκα — 26. κροτέουσι, *crepant.* — 34. μαὐτὸν, vid. ad Theocr. V, 14. — 36. „domus pastoribus satis pulchra est, ut novam aedificare non opus sit." — 61. *tuis iussis non amplius obedientem.*"

Id. VIII, 23. αὐλαί, *avis nidus*, ut αὖλις Hom. Od. X, 470. — 66. φιλοφληνής, *nugarum amans*, cf. Hesych. φλῆφος (recte Salmasius φλῆνος) et EtM. 796, 10. 13., ubi male φληνός scriptum, tum φλήναφος, φληναφάω.

Id. IX, 1. βοῶν ἐπίουρος i. q. βουκαῖος, arator boum ope utens. — 72. ἄγριον i. e. ἀγροίκως. — 103. κωλοπέδαι, ut γυιοπέδαι, χειροπέδαι. Deinde περισταδόν est i. q. πέριξ, *circumcirca*; iunge autem περισταδὸν ἀμφὶ πόδεσσιν, ut Oppian. Cyn. II, 259. περισταδὸν ἀμφιχυθέντες. Postremo ἐγγὺς ἀπέργων interpretare „in propinquo retinens et a longinqua vagatione prohibens." — 114. ἔδνον, *donum*, ut Callim. fr. 193. — 248. εὐκτέανος i. q. εὐκτήδων, *quae rectas fibras habet*, cf. Thesaur. — 264. ἤχμασα ab ἐχμάζειν, constringere. — 270. ἐκκαπύσαι i. q. ἀποκαπύσαι.

Quae in accentibus a vulgari consuetudine discedunt, eorum fere omnium causas in *Lehrsii Quaestionibus Epicis* expositas invenies.

H. L. Ahrens.

THEOCRITI IDYLLIA.

Idyll. I.

Θύρσις ἢ Ὠιδή.

ΘΥΡΣΙΣ.

Ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς αἰπόλε τήνα
ἁ ποτὶ ταῖς παγαῖσι μελίσδεται, ἁδὺ δὲ καὶ τύ
συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.
αἴκα τῆνος ἕλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ·
αἴκα δ' αἶγα λάβῃ τῆνος γέρας, εἰς τὲ καταρρεῖ 5
ἁ χίμαρος· χιμάρῳ δὲ καλὸν κρέας, ἔστέ κ' ἀμέλξῃς.

ΑΙΠΟΛΟΣ.

Ἅδιον ὦ ποιμὴν τὸ τεὸν μέλος, ἢ τὸ καταχές
τῆν' ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.
αἴκα ταὶ Μοῖσαι τὰν οἴιδα δῶρον ἄγωνται,
ἄρνα τὺ σακίταν λαψῇ γέρας· αἰ δέ κ' ἀρέσκῃ 10
τήνας ἄρνα λαβεῖν, τὺ δὲ τὰν ὄϊν ὕστερον ἑξεῖς.

ΘΥΡΣΙΣ.

Λῇς ποτὶ τᾶν Νυμφᾶν, λῇς αἰπόλε τεῖδε καθίξας 12
συρίσδεν; τὰς δ' αἶγας ἐγὼν ἐν τῷδε νομευσῶ. 14

ΑΙΠΟΛΟΣ.

Οὐ θέμις ὦ ποιμὴν τὸ μεσαμβρινόν, οὐ θέμις ἄμιν 15
συρίσδεν. τὸν Πᾶνα δεδοίκαμες· ἦ γὰρ ἀπ' ἄγρας
τανίκα κεκμακὼς ἀμπαύεται· ἔστι δὲ πικρός,

ὡς τὸ κάταντες τοῦτο γεώλοφον αἵ τε μυρῖκαι, 13

καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥῖνα κάθηται.
ἀλλὰ τὺ γὰρ δὴ Θύρσι τὰ Δάφνιδος ἄλγε' ἀείδες
καὶ τᾶς βουκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο μοίσας,
δεῦρ' ὑπὸ τὰν πτελέαν ἑσδώμεθα, τῶ τε Πριήπω
καὶ τᾶν Κρανιάδων κατεναντίον, ᾇπερ ὁ θῶκος
τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες. αἰ δέ κ' ἀείσῃς,
ὡς ὅκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ᾆσας ἐρίσδων,
αἶγα δέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι,
ἃ δύ' ἔχοισ' ἐρίφως ποταμέλγεται ἐς δύο πέλλας,
καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἁδέϊ κηρῷ,
ἀμφῶες νεοτευχές, ἔτι γλυφάνοιο ποτόσδον.
τῶ περὶ μὲν χείλη μαρύεται ὑψόθε κισσός,
κισσὸς ἑλιχρύσῳ κεκομημένος· ἃ δὲ κατ' αὐτό
καρπῷ ἕλιξ εἱλεῖται ἀγαλλομένα κροκόεντι.
ἔντοσθεν δὲ γυνά, τὶ θεῶν δαίδαλμα τέτυκται,
ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι. πὰρ δέ οἱ ἄνδρες
καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
νεικείουσ' ἐπέεσσι. τὰ δ' οὐ φρενὸς ἅπτεται αὐτᾶς·
ἀλλ' ὅκα μὲν τῆνον ποτιδέρκεται ἄνδρα γελᾶσα,
ἄλλοκα δ' αὖ ποτὶ τὸν ῥιπτεῖ νόον. οἱ δ' ὑπ' ἔρωτος
δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.
τὼς δὲ μετὰ γριπεύς τε γέρων πέτρα τε τέτυκται
λεπράς, ἐφ' ᾇ σπεύδων μέγα δίκτυον ἐς βόλον ἕλκει
ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς.
φαίης κα γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν·
ὧδέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες
καὶ πολιῷ περ ἐόντι, τὸ δὲ σθένος ἄξιον ἅβας.
τυτθὸν δ' ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος
πυρραίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά,
τὰν ὀλίγος τις κῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει
ἥμενος· ἀμφὶ δέ νιν δύ' ἀλώπεκες, ἃ μὲν ἀν' ὄρχως
φοιτῇ σινομένα τὰν τρώξιμον, ἃ δ' ἐπὶ πήρᾳ

πάντα δόλον κεύθοισα τὸ παιδίον οὐ πρὶν ἀνησεῖν
φατὶ πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξῃ.
αὐτὰρ ὅγ' ἀνθερίκοισι καλὰν πλέκει ἀκριδοθήραν
σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ οὔτέ τι πήρας
οὔτε φυτῶν τοσσῆνον, ὅσον περὶ πλέγματι γαθεῖ.
παντᾷ δ' ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος,
αἰολίχον τοι θᾶμα τέρας τέ τι θυμὸν ἀτύξαι.
τῶ μὲν ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ' ἔδωκα
ὦνον καὶ τυρόεντα μέγαν λευκοῖο γάλακτος·
οὐδέ τί πω ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἔτι κεῖται
ἄχραντον. τῷ κά τυ μάλα πρόφρων ἀρεσαίμαν,
αἴκά μοι τὺ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσαις.
κοὔτί τυ κερτομέω. πόταγ' ὦγαθέ· τὰν γὰρ ἀοιδὰν
οὔ τί πᾳ εἰς Ἀΐδαν γε τὸν ἐκλάθοντα φυλαξεῖς.

ΘΥΡΣΙΣ.

('Ωιδή.)

I. Ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.

α' Θύρσις ὅδ' ὡξ Αἴτνας, καὶ Θύρσιος ἁδ' ἁ φωνά.
πεῖ ποκ' ἄρ' ἦσθ', ὅκα Δάφνις ἐτάκετο, πεῖ ποκα Νύμφαι;
ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα, ἢ κατὰ Πίνδω;
οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἴχετ' Ἀνάπω,
οὐδ' Αἴτνας σκοπιάν, οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ.
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.

β' Τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
τῆνον χὠκ δρυμοῖο λέων ἔκλαυσε θανόντα.
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.

β' Πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.

α' Ἦνθον τοὶ βοῦται, τοὶ ποιμένες αἰπόλοι ἦνθον· 80
πάντες ἀνηρώτων, τί πάθοι κακόν. ἦνθ' ὁ Πρίηπος
κἤφα· „Δάφνι τάλαν, τί νυ τάκεαι; ἁ δ' ἔτι κώρα
πάσας ἀνὰ κράνας, πάντ' ἄλσεα ποσσὶ φορεῖται.
ζαλῶ σ', ᾇ δύσερώς τις ἄγαν καὶ ἀμήχανος ἐσσί.“ 83
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς. 84

β' „Ὡἰπόλος ὅκκ' ἐσορῇ τὰς μακάδας οἷα βατεῦνται, 87
τάκεται ὀφθαλμώς, ὅτι οὐ τράγος αὐτὸς ἔγεντο.“
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς.

β' „Καὶ τὺ δ' ἐπεί κ' ἐσορῇς τὰς παρθένος οἷα γελᾶντι, 90
τάκεαι ὀφθαλμώς, ὅτι οὐ μετὰ τῇσι χορεύεις.“ 91
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς. 94

II. γ' Ἦνθέ γε μὰν ἁδεῖα καὶ ἁ Κύπρις γελόωσα, 95
λαθρὰ μὲν ἐκγελόωσα, βαρὺν δ' ἀνὰ θυμὸν ἔχοισα,
κεἶπε· „τύ θην τὸν Ἔρωτα κατ' εὔχεο Δάφνι λυγίξειν·
ἦρ' οὐκ αὐτὸς Ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;“
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ' ἀοιδᾶς.

γ' Τὰν δ' ἄρα χὠ Δάφνις ποταμείβετο· „Κύπρι βαρεῖα, 100
Κύπρι νεμεσσατά, Κύπρι θνατοῖσιν ἀπεχθής·
ἤδη γὰρ φράσδῃ πάνθ' ἅλιον ἄμμι δεδυκεῖν;
Δάφνις κὴν Ἀΐδα κακὸν ἔσσεται ἄλγος Ἔρωτι.“
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ' ἀοιδᾶς.

γ' „Εἶ λέγεται τὰν Κύπριν ὁ βουκόλος, ἕρπε ποτ' Ἴδαν, 105

ἦνθ' Ἑρμᾶς πράτιστος ἀπ' ὤρεος, εἶπε δέ· Δάφνι, 77
τίς τυ κατατρύχει; τίνος ὠγαθὲ τόσσον ἔρασσαι; 78
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ' ἀοιδᾶς. 79

βούτας μὰν ἐλέγευ, νῦν δ' αἰπόλῳ ἀνδρὶ ἔοικας. 86

τὼς δ' οὐδὲν ποτελέξαθ' ὁ βουκόλος, ἀλλὰ τὸν αὐτῶ 92
ἄνυε πικρὸν ἔρωτα, καὶ ἐς τέλος ἄνυε μοίρας. 93

ἕρπε ποτ' Ἀγχίσην. τηνεῖ δρύες, ὧδε κύπειρος, 106

ὡραῖος χὢ Ἄδωνις ὅπεὶ καὶ μῆλα νομεύει. 109
αὖτις ὅπως στασῇ Διομήδεος ἆσσον ἰοῖσα, 112
καὶ λέγε· τὸν βούταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι.“
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ᾽ ἀοιδᾶς.

γ′ „Ὦ λύκοι, ὦ θῶες, ὦ ἀν᾽ ὤρεα φωλάδες ἄρκτοι, 115
χαίρεθ᾽· ὁ βουκόλος ὔμιν ἐγὼ Δάφνις οὐκέτ᾽ ἀν᾽ ὕλαν,
οὐκέτ᾽ ἀνὰ δρυμώς, οὐκ ἄλσεα. χαῖρ᾽ Ἀρέθοισα
καὶ ποταμοί, τοὶ χεῖτε καλὸν κατὰ Θυμβρίδος ὕδωρ.“ 118
ἄρχετε βουκολικᾶς Μοῖσαι πάλιν ἄρχετ᾽ ἀοιδᾶς. 122

III. δ′ „Ὦ Πὰν Πάν, εἴτ᾽ ἐσσὶ κατ᾽ ὤρεα μακρὰ Λυκαίω,
εἴτε τύγ᾽ ἀμφιπολεῖς μέγα Μαίναλον, ἔνθ᾽ ἐπὶ νᾶσον
τὰν Σικελάν, Ἑλίκας δὲ λίπ᾽ ἠρίον αἰπύ τε σᾶμα 125
τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγατόν.“
λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ᾽ ἀοιδᾶς.

ε′ „Ἔνθ᾽ ὦναξ καὶ τᾶνδε φέρευ πακτοῖο μελίπνουν
ἐκ κηρῶ σύριγγα καλάν, περὶ χεῖλος ἑλικτάν·
ἦ γὰρ ἐγὼν ὑπ᾽ ἔρωτος ἐς Ἄϊδος ἕλκομαι ἤδη, 130
Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων, 120
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.“ 121
λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ᾽ ἀοιδᾶς. 131

ε′ „Νῦν δ᾽ ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ᾽ ἄκανθαι,
ἁ δὲ καλὰ νάρκισσος ἐπ᾽ ἀρκεύθοισι κομάσαι·
πάντα δ᾽ ἔναλλα γένοιντο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι,
Δάφνις ἐπεὶ θνάσκει, καὶ τὰς κύνας ὥλαφος ἕλκοι, 135
κὴξ ὀρθῶν τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.“

ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι. 107
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ᾽ ἀοιδᾶς. 108

καὶ πτῶκας βάλλει καὶ θηρία πάντα διώκει. 110
ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ᾽ ἀοιδᾶς. 111

ἄρχετε βουκολικᾶς Μοῖσαι φίλαι ἄρχετ᾽ ἀοιδᾶς. 119

λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ' ἀοιδᾶς.
δ' Χὢ μὲν τόσσ' εἰπὼν ἀνεπαύσατο· τὸν δ' Ἀφροδίτα
ἤθελ' ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπῃ
ἐκ Μοιρᾶν, χὼ Δάφνις ἔβα ῥόον. ἔκλυσε δίνα
τὸν Μοίσαις φίλον ἄνδρα, τὸν οὐ Νύμφαισιν ἀπεχθῆ.
λήγετε βουκολικᾶς Μοῖσαι ἴτε λήγετ' ἀοιδᾶς.

Καὶ τὺ δίδου τὰν αἶγα τό τε σκύφος, ὥς κεν ἀμέλξας
σπείσω ταῖς Μοίσαις. ὦ χαίρετε πολλάκι Μοῖσαι,
χαίρετ', ἐγὼ δ' ὔμιν καὶ ἐς ὕστερον ἅδιον ᾀσῶ.

ΑΙΠΟΛΟΣ.

Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα Θύρσι γένοιτο,
πλῆρές τοι σχαδόνων, καὶ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις
ἁδεῖαν, τέττιγος ἐπεὶ τύγα φέρτερον ᾄδεις.
ἠνίδε τοι τὸ δέπας· θᾶσαι φίλος, ὡς καλὸν ὄσδει·
Ὡρᾶν πεπλύσθαί νιν ἐπὶ κράναισι δοκησεῖς.
ὧδ' ἴθι Κισσαίθα, τὺ δ' ἅμελγέ νιν. αἱ δὲ χίμαιραι,
οὐ μὴ σκιρτασεῖτε, μὴ ὁ τράγος ὔμιν ἀναστῇ.

Idyll. II.

Φαρμακεύτριαι.

Πᾷ μοι ταὶ δάφναι; φέρε Θέστυλι. πᾷ δὲ τὰ φίλτρα;
στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ,
ὡς τὸν ἐμὸν βαρὺν εὔντα φίλον καταδήσομαι ἄνδρα,
ὅς μοι δωδεκαταῖος ἀφ' ὧ τάλας οὐδὲ ποθείκει,
οὐδ' ἔγνω, πότερον τεθνάκαμες ἢ ζοοὶ εἰμές.
οὐδὲ θύρας ἄραξεν ἀνάρσιος. ἦρά οἱ ἀλλᾷ
ᾤχετ' ἔχων ὅ τ' Ἔρως ταχινὰς φρένας ἅ τ' Ἀφροδίτα.

βασεῦμαι ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν
αὔριον, ὥς νιν ἴδω καὶ μέμψομαι οἷά με ποιεῖ.
νῦν δέ νιν ἐκ θυέων καταδήσομαι. ἀλλὰ Σελάνα 10
φαῖνε καλόν· τὶν γὰρ ποταείσομαι ἅσυχε δαῖμον,
τᾷ χθονίᾳ θ᾽ Ἑκάτᾳ, τὰν καὶ σκύλακες τρομέοντι
ἐρχομέναν νεκύων ἀνὰ τήρια καὶ μέλαν αἷμα.
χαῖρ᾽ Ἑκάτα δασπλῆτι, καὶ ἐς τέλος ἄμμιν ὀπάδει
φάρμακα ταῦτ᾽ ἔρδοισα χερείονα μήτέ τι Κίρκης 15
μήτέ τι Μηδείας μήτε ξανθᾶς Περιμήδας.

I. Ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Ἄλφιτά τοι πρᾶτον πυρὶ τάκεται· ἀλλ᾽ ἐπίπασσε
Θεστυλί. δειλαία, πᾷ τὰς φρένας ἐκπεπότασαι;
ἦρά γέ τοι μυσαρὰ καὶ τὶν ἐπίχαρμα τέτυγμαι; 20
πάσσ᾽ ἅμα καὶ λέγε ταῦτα „τὰ Δέλφιδος ὄστια πάσσω.“
ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Δέλφις ἔμ᾽ ἀνίασεν· ἐγὼ δ᾽ ἐπὶ Δέλφιδι δάφναν
αἴθω· χὠς αὕτα λάκον μέγαν ἐκπυρος ᾆσε,
κἠξαπίνας ἅφθη, κοὐδὲ σποδὸν εἴδομες αὐτᾶς, 25
οὕτω τοι καὶ Δέλφις ἐνὶ φλογὶ σάρκ᾽ ἀμαθύνοι.
ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα. 27

Νῦν θυσῶ τὰ πίτυρα, τὰ δ᾽ Ἄρτεμι καὶ τὸν ἀναιδῆ 33
κινῆσαι κ᾽ ἀδάμαντα καὶ εἴτί περ ἀσφαλὲς ἄλλο.
Θεστυλί, ταὶ κύνες ἄμμιν ἀνὰ πτόλιν ὠρύονται. 35
ἁ θεὸς ἐν τριόδοισι· τὸ χαλκέον ὡς τάχος ἄχει.
ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Ἠνίδε σιγῇ μὲν πόντος, σιγῶντι δ᾽ ἀῆται·
ἁ δ᾽ ἐμὰ οὐ σιγῇ στέρνων ἔντοσθεν ἀνία,
ἀλλ᾽ ἐπὶ τήνῳ πᾶσα καταίθομαι, ὅς με τάλαιναν 40
ἀντὶ γυναικὸς ἔθηκε κακὰν καὶ ἀπάρθενον εἶμεν.
ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Ὡς τοῦτον τὸν κηρὸν ἐγὼ σὺν δαίμονι τάκω,
ὣς τάκοιθ' ὑπ' ἔρωτος ὁ Μύνδιος αὐτίκα Δέλφις.
χὠς δινεῖθ' ὅδε ῥόμβος ὁ χάλκεος ἐξ Ἀφροδίτας,
ὣς τῆνος δινοῖτο ποθ' ἁμετέρῃσι θύρῃσιν.
Ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Ἐς τρὶς ἀποσπένδω καὶ τρὶς τάδε πότνια φωνῶ·
εἴτε γυνὰ τήνῳ παρακέκλιται εἴτε καὶ ἀνήρ,
τόσσον ἔχοι λάθας, ὅσσόν ποκα Θησέα φαντί
ἐν Δίᾳ λασθῆμεν ἐϋπλοκάμω Ἀριάδνας.
Ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Ἱππομανὲς φυτόν ἐστι παρ' Ἀρκάσι, τῷ δ' ἐπὶ πᾶσαι
καὶ πῶλοι μαίνονται ἀν' ὤρεα καὶ θοαὶ ἵπποι.
ὣς καὶ Δέλφιν ἴδοιμι, καὶ ἐς τόδε δῶμα περάσαι
μαινομένῳ ἴκελος λιπαρᾶς ἔκτοσθε παλαίστρας.
Ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Τοῦτ' ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον ὤλεσε Δέλφις,
ὠγὼ νῦν τίλλοισα κατ' ἀγρίῳ ἐν πυρὶ βάλλω.
αἰαῖ Ἔρως ἀνιαρέ, τί μευ μέλαν ἐκ χροὸς αἷμα
ἐμφὺς ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας;
Ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Σαύραν τοι τρίψασα κακὸν ποτὸν αὔριον οἰσῶ.
Θεστυλί, νῦν δὲ λαβοῖσα τὺ τὰ θρόνα ταῦθ' ὑπόμαξον
τᾶς τήνω φλιᾶς καθυπερτέρω ἇς ἔτι καὶ νῦν,
καὶ λέγ' ἐπιφθύζοισα· „τὰ Δέλφιδος ὄστια μάσσω."
Ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

II. Νῦν δὴ μούνα ἐοῖσα πόθεν τὸν ἔρωτα δακρύσω;
ἐκ τήνω δ' ἄρξῶ, τίς μοι κακὸν ἄγαγε τοῦτο.
ἦνθ' ἁ τῶ Εὐβούλοιο καναφόρος ἄμιν Ἀναξώ
ἄλσος ἐς Ἀρτέμιδος, τᾷ δὴ τόκα πολλὰ μὲν ἄλλα

ἐκ θυμῶ δέδεμαι, ὃ δέ μευ λόγον οὐδένα ποιεῖ. 61

θηρία πομπεύεσκε περισταδόν, ἐν δὲ λέαινα.
φράζεό μευ τον ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

Καί μ' ἁ Θευχαρίδα Θρᾷσσα τροφὸς ἁ μακαρῖτις
ἀγχίθυρος ναίοισα κατεύξατο καὶ λιτάνευσε
τὰν πομπὰν θάσασθαι· ἐγὼ δέ οἱ ἁ μεγάλοιτος
ὡμάρτευν βύσσοιο καλὸν σύροισα χιτῶνα
ἀμφιστειλαμένα, τὰν ξυστίδα τὰν Κλεαρίστας.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

Ἤδη δ' εὖσα μέσαν κατ' ἀμαξιτόν, ᾇ τὰ Λυκᾶνος,
εἶδον Δέλφιν ὁμοῦ τι καὶ Εὐδάμνιππον ἰόντας,
τοῖς δ' ἦν ξανθοτέρα μὲν ἑλιχρύσοιο γενειάς,
στήθεα δὲ στίλβοντα πολὺ πλέον ἢ τὺ Σελάνα,
ὡς ἀπὸ γυμνασίοιο καλὸν πόνον ἄρτι λιπόντων.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

Χὡς ἴδον, ὡς ἐμάνην, ὥς μοι πυρὶ θυμὸς ἰάφθη
δειλαίας· τὸ δὲ κάλλος ἐτάκετο, κοὔτέ τι πομπᾶς
τήνας ἐφρασάμαν, οὐδ' ὡς πάλιν οἴκαδ' ἀπῆνθον
ἔγνων· ἀλλά μέ τις καπυρὰ νόσος ἐξάλλαξε,
κείμαν δ' ἐν κλιντῆρι δέκ' ἄματα καὶ δέκα νύκτας.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

Καί μευ χρὼς μὲν ὁμοῖος ἐγίνετο πολλάκι θάψῳ,
ἔρρευν δ' ἐκ κεφαλᾶς πᾶσαι τρίχες, αὐτὰ δὲ λοιπά
ὀστί' ἔτ' ἦς καὶ δέρμα. καὶ ἐς τίνος οὐκ ἐπέρασα,
ἢ ποίας ἔλιπον γραίας δόμον, ἅτις ἐπᾷδεν;
ἀλλ' ἦς οὐδὲν ἐλαφρόν· ὁ δὲ χρόνος ἄνυτο φεύγων.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

Χοὔτω τᾷ δούλᾳ τὸν ἀλαθέα μῦθον ἔλεξα·
„εἴ' ἄγε Θεστυλί μοι χαλεπᾶς νόσω εὑρέ τι μᾶχος.
πᾶσαν ἔχει με τάλαιναν ὁ Μύνδιος· ἀλλὰ μολοῖσα
τήρησον ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν·

τηνεῖ γὰρ φοιτῇ, τηνεῖ δέ οἱ ἁδὺ καθῆσθαι.“
  φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.

„Κἤπεί κά νιν ἐόντα μάθῃς μόνον, ἅσυχα νεῦσον,
κεῖφ᾽ ὅτι Σιμαίθα τυ καλεῖ, καὶ ἀφαγέο τᾷδε.“
ὣς ἐφάμαν· ἃ δ᾽ ἦνθε καὶ ἄγαγε τὸν λιπαρόχρων
εἰς ἐμὰ δώματα Δέλφιν· ἐγὼ δέ νιν ὡς ἐνόησα
ἄρτι θύρας ὑπὲρ οὐδὸν ἀμειβόμενον ποδὶ κούφῳ,
φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα,

Πᾶσα μὲν ἐψύχθην χιόνος πλέον, ἐκ δὲ μετώπω
ἱδρώς μευ κοχύδεσκεν ἴσον νοτίαισιν ἀέρσαις,
οὐδέ τι φωνᾶσαι δυνάμαν, οὐδ᾽ ὅσσον ἐν ὕπνῳ
κνυζεῦνται φωνεῦντα φίλαν ποτὶ ματέρα τέκνα·
ἀλλ᾽ ἐπάγην δαγῦδι καλὸν χρόα πάντοθεν ἴσα.
  φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.

Καί μ᾽ ἐσιδὼν ὤστοργος ἐπὶ χθονὸς ὄμματα πάξας,
ἕζετ᾽ ἐπὶ κλιντῆρι καὶ ἑζόμενος φάτο μῦθον·
„ἦρά με Σιμαίθα τόσον ἔφθασας, ὅσσον ἐγώ θην
πρᾶν ποκα τὸν χαρίεντα τρέχων ἔφθασσα Φιλῖνον,
ἐς τὸ τεὸν καλέσασα τόδε στέγος ἤμὲ παρεῖμεν.“
  φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.

„Ἦνθον γάρ κεν ἐγών, ναὶ τὸν γλυκὺν ἦνθον Ἔρωτα
ἢ τρίτος ἠὲ τέταρτος ἐὼν φίλος αὐτίκα νυκτός,
μᾶλα μὲν ἐν κόλποισι Διωνύσοιο φυλάσσων,
κρατὶ δ᾽ ἔχων λεύκαν, Ἡρακλέος ἱερὸν ἔρνος,
πάντοθε πορφυρέῃσι περὶ ζώστρῃσιν ἑλικτάν.“
  φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.

„Καί μ᾽ εἰ μέν κ᾽ ἐδέχεσθε, τὰ δ᾽ ἧς φίλα—καὶ γὰρ ἐλαφρός
καὶ καλὸς πάντεσσι μετ᾽ ἠιθέοισι καλεῦμαι—
εὗδόν κ᾽, εἴτε μόνον τὸ καλὸν στόμα τευς ἐφίλησα·

εἰ δ' ἀλλᾷ μ' ὠθεῖτε καὶ ἁ θύρα εἴχετο μοχλῷ,
πάντως κα πελέκεις καὶ λαμπάδες ἦνθον ἐφ' ὑμέ."
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

„Νῦν δὲ χάριν μὲν ἔφαν τᾷ Κύπριδι πρᾶτον ὀφείλειν,
καὶ μετὰ τὰν Κύπριν τύ με δευτέρα ἐκ πυρὸς εἷλευ
ὦ γύναι ἐσκαλέσασα τεὸν ποτὶ τοῦτο μέλαθρον
αὔτως ἡμίφλεκτον· Ἔρως δ' ἄρα καὶ Λιπαραίω
πολλάκις Ἁφαίστοιο σέλας φλογερώτερον αἴθει,"
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα,

„Σὺν δὲ κακαῖς μανίαις καὶ παρθένον ἐκ θαλάμοιο
καὶ νύμφαν ἐσόβησ' ἔτι δέμνια θερμὰ λιποῖσαν
ἀνέρος." ὣς ὃ μὲν εἶπεν· ἐγὼ δέ οἱ ἁ ταχυπειθής
χειρὸς ἐφαψαμένα μαλακῶν ἔκλιν' ἐπὶ λέκτρων·
καὶ ταχὺ χρὼς ἐπὶ χρωτὶ πεπαίνετο, καὶ τὰ πρόσωπα
θερμότερ' ἧς ἢ πρόσθε, καὶ ἐψιθυρίσδομες ἁδύ.
χὣς κά τοι μὴ μακρὰ φίλα θρυλέοιμι Σελάνα,
ἐπράχθη τὰ μέγιστα, καὶ ἐς πόθον ἤνθομες ἄμφω.
κοὔτέ τι τῆνος ἐμὶν ἐπεμέμψατο μέσφα τό γ' ἐχθές,
οὔτ' ἐγὼ αὖ τήνῳ. ἀλλ' ἦνθέ μοι ἅ τε Φιλίστας
μάτηρ τᾶς ἁμᾶς αὐλητρίδος ἅ τε Μελιξοῦς
σάμερον, ἁνίκα πέρ τε ποτ' οὐρανὸν ἔτραχον ἵπποι
Ἀῶ τὰν ῥοδόπαχυν ἀπ' Ὠκεανοῖο φέροισαι·
κεἶπέ μοι ἄλλά τε πολλὰ καὶ ὡς ἄρα Δέλφις ἐρᾶται.
κεἴτέ νιν αὖτε γυναικὸς ἔχει πόθος εἴτε καὶ ἀνδρός,
οὐκ ἔφατ' ἀτρεκὲς ἴδμεν, ἀτὰρ τόσον· αἰὲν ἔρωτος
ἀκράτως ἐπεχεῖτο καὶ ἐς τέλος ᾤχετο φεύγων,
καὶ φάτο οἱ στεφάνοισι τὰ δώματα τῆνα πυκάσδειν.
ταῦτά μοι ἁ ξεῖνα μυθήσατο, ἔστι δ' ἀλαθής·
ἦ γάρ μοι καὶ τρὶς καὶ τετράκις ἄλλοκ' ἐφοίτη,
καὶ παρ' ἐμὶν ἐτίθει τὰν Δωρίδα πολλάκις ὄλπαν.
νῦν δὲ τί δωδεκαταῖος ἀφ' ὧτέ νιν οὐδὲ ποτεῖδον;

ἦῤ οὐκ ἄλλό τι τερπνὸν ἔχει, ἁμῶν δὲ λέλασται;
νῦν μὰν τοῖς φίλτροις καταδήσομαι· αἱ δ' ἔτι καί με
λυπεῖ, τὰν Ἀΐδαο πύλαν ναὶ Μοίρας ἀραξεῖ.
τοῖά οἱ ἐν κίστᾳ κακὰ φάρμακα φαμὶ φυλάσσειν,
Ἀσσυρίω δέσποινα παρὰ ξείνοιο μαθοῖσα.
ἀλλὰ τὺ μὲν χαίροισα ποτ' ὠκεανὸν τρέπε πώλως,
πότνι'· ἐγὼ δ' οἰσῶ τὸν ἐμὸν πόνον ὥσπερ ὑπέσταν.
χαῖρε Σελαναία λιπαρόχροε, χαίρετε κἄλλοι
ἀστέρες, εὐκάλοιο κατ' ἄντυγα Νυκτὸς ὀπαδοί.

Idyll. III.

Κ ῶ μ ο ς.

Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα, ταὶ δέ μοι αἶγες
βόσκονται κατ' ὄρος, καὶ ὁ Τίτυρος αὐτὰς ἐλαύνει.
Τίτυρ' ἐμὶν τὸ καλὸν πεφιλημένε, βόσκε τὰς αἶγας,
καὶ ποτὶ τὰν κράναν ἄγε Τίτυρε, καὶ τὸν ἐνόρχαν,
τὸν Λιβυκὸν κνάκωνα φυλάσσεο, μή τυ κορύψῃ. 5

Ὦ χαρίεσσ' Ἀμαρυλλί, τί μ' οὐκέτι τοῦτο κατ' ἄντρον
παρκύπτοισα καλεῖς τὸν ἐρωτύλον; ἦρά με μισεῖς;
ἦρά γέ τοι σιμὸς καταφαίνομαι ἐγγύθεν εἶμεν; 8

Τὸν στέφανον τιλαί με καὶ αὐτίκα λεπτὰ ποησεῖς, 21
τόν τοι ἐγὼν Ἀμαρυλλὶ φίλα κίσθοιο φυλάσσω 22
ἀμπλέξας καλύκεσσι καὶ εὐόδμοισι σελίνοις. 23

Ὤμοι ἐγών, τί πάθω; ἁ δύσσοος, οὐχ ὑπακούεις; 24
ἠνίδε τοι δέκα μᾶλα φέρω. τηνῶθε καθεῖλον, 10
ὧ μ' ἐκέλευ καθελεῖν τύ· καὶ αὔριον ἄλλά τοι οἰσῶ.

νύμφα, καὶ προγένειος; ἀπάγξασθαί με ποησεῖς. 9

Θᾶσαι μὰν θυμαλγὲς ἐμὸν ἄχος. αἴθε γενοίμαν
ἁ βομβεῦσα μέλισσα καὶ ἐς τεὸν ἄντρον ἱκοίμαν
τὸν κισσὸν διαδὺς καὶ τὰν πτέριν, ᾇ τυ πυκάσδει.

Νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός· ἦρα λεαίνας
μαζὸν ἐθήλαζε, δρυμῷ τέ νιν ἔτραφε μάτηρ,
ὅς με κατασμύχων καὶ ἐς ὀστίον ἄχρις ἰάπτει.

Ὦ τὸ καλὸν ποθορῶσα, τὸ πᾶν λίθος· ὦ κυάνοφρυ
Νύμφα, πρόσπτυξαί με τὸν αἰπόλον, ὥς τυ φιλήσω.
ἔστι καὶ ἐν κενεοῖσι φιλήμασιν ἁδέα τέρψις.

Τὰν βαίταν ἀποδὺς εἰς κύματα τηνῶ ἀλεῦμαι,
ὧπερ τὼς θύννως σκοπιάζεται Ὄλπις ὁ γριπεύς·
καἴκα μὴποθάνω—τό γε μὰν τεὸν ἁδὺ τέτυκται.

Ἔγνων πρᾶν, ὅκα μοι μεμναμένῳ, εἰ φιλέεις με,
οὐδὲ τὸ τηλέφιλον ποτεμάξατο τὸ πλατάγημα,
ἀλλ' αὔτως ὁμαλῶ ποτὶ πάχεος ἐξεμαράνθη·
Εἶπε καὶ ἁ Γραίω τἀλαθέα κοσκινόμαντις,
ἁ πρᾶν ποιολογεῦσα παραιβάτις, ὥνεκ' ἐγὼ μέν
τὶν ὅλος ἔγκειμαι, τὺ δέ μευ λόγον οὐδένα ποιῇ.
Ἦ μάν τοι λευκὰν διδυματόκον αἶγα φυλάσσω,
τάν με καὶ ἁ Μέρμνωνος ἐριθακὶς ἁ μελανόχρως
αἰτεῖ, καὶ δωσῶ οἱ, ἐπεὶ τύ μοι ἐνδιαθρύπτῃ.
Ἄλλεται ὀφθαλμός μευ ὁ δεξιός· ἦρά γ' ἰδησῶ
αὐτάν; ᾀσεῦμαι ποτὶ τὰν πίτυν ὧδ' ἀποκλινθείς.
καί κ' ἔμ' ἴσως ποτίδοι, ἐπεὶ οὐκ ἀδαμαντίνα ἐστίν.
Ἱππομένης ὅκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,
μᾶλ' ἐνὶ χερσὶν ἑλὼν δρόμον ἄνυεν· ἁ δ' Ἀταλάντα
ὡς ἴδεν, ὡς ἐμάνη, ὡς εἰς βαθὺν ἅλατ' ἔρωτα.
Τὰν ἀγέλαν χὡ μάντις ἀπ' Ὄθρυος ἆγε Μελάμπους
ἐς Πύλον· ἃ δὲ Βίαντος ἐν ἀγκοίνῃσιν ἐκλίνθη,
μάτηρ ἁ χαρίεσσα περίφρονος Ἀλφεσιβοίης.

Τὰν δὲ καλὰν Κυθέρειαν ἐν ὤρεσι μῆλα νομεύων
οὐχ οὕτως ὁ Ἄδωνις ἐπὶ πλέον ἄγαγε λύσσας,
ὥστ' οὐδὲ φθίμενόν νιν ἄτερ μαζοῖο τίθητι;

Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων
Ἐνδυμίων, ζαλῶ δὲ φίλα γύναι Ἰασίωνα,
ὃς τοσσῆν' ἐκύρησεν, ὅσ' οὐ πευσεῖσθε βέβαλοι.

Ἀλγέω τὰν κεφαλάν, τὶν δ' οὐ μέλει. οὐκέτ' ἀείδω,
κεισεῦμαι δὲ πεσών, καὶ τοὶ λύκοι ὧδέ μ' ἔδονται.
ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γένοιτο.

Idyll. IV.

Νομεῖς Βάττος καὶ Κορύδων.

ΒΑΤΤΟΣ.
Εἰπέ μοι ὦ Κορύδων, τίνος αἱ βόες; ἦρα Φιλώνδα;
ΚΟΡΥΔΩΝ.
Οὐκ ἀλλ' Αἴγωνος· βόσκειν δέ μοι αὐτὰς ἔδωκεν.
ΒΑΤΤΟΣ.
Ἦ πᾴ ψε κρύβδαν τὰ ποθ' ἕσπερα πάσας ἀμέλγεις;
ΚΟΡΥΔΩΝ.
Ἀλλ' ὁ γέρων ὑφίητι τὰ μοσχία κἠμὲ φυλάσσει.
ΒΑΤΤΟΣ.
Αὐτὸς δ' ἐς τίν' ἄφαντος ὁ βουκόλος ᾤχετο χώραν;
ΚΟΡΥΔΟΝ.
Οὐκ ἄκουσας; ἄγων νιν ἐπ' Ἀλφεὸν ᾤχετο Μίλων.
ΒΑΤΤΟΣ.
Καὶ πόκα τῆνος ἔλαιον ἐπ' ὀφθαλμοῖσιν ὀπώπει;

ΚΟΡΥΔΩΝ.

Φαντί νιν Ἡρακλῆι βίην καὶ κάρτος ἐρίσδειν.

ΒΑΤΤΟΣ.

Κἦμ' ἔφαθ' ἁ μάτηρ Πολυδεύκεος εἶμεν ἀμείνω.

ΚΟΡΥΔΩΝ.

Κῷχετ' ἔχων σκαπάναν τε καὶ εἴκατι τουτόθε μῆλα.

ΒΑΤΤΟΣ.

Πείσαι κα Μίλων καὶ τὼς λύκος αὐτίκα λυσσῆν.

ΚΟΡΥΔΩΝ.

Ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι αἶδε ποθεῦντι.

ΒΑΤΤΟΣ.

Δειλαῖαι δ' αὗται, τὸν βουκόλον ὡς κακὸν εὗρον.

ΚΟΡΥΔΩΝ.

Ἦ μὰν δειλαῖαί γε, καὶ οὐκέτι λῶντι νέμεσθαι.

ΒΑΤΤΟΣ.

Τήνας μὲν δή τοι τᾶς πόρτιος αὐτὰ λέλειπται
τὤστια. μὴ πρῴκας σιτίζεται ὥσπερ ὁ τέττιξ;

ΚΟΡΥΔΩΝ.

Οὐ Δᾶν, ἀλλ' ὅκα μέν νιν ἐπ Αἰσάροιο νομεύω
καὶ μαλακῶ χόρτοιο καλὰν κώμυθα δίδωμι,
ἄλλοκα δὲ σκαίρει τὸ βαθύσκιον ἀμφὶ Λάτυμνον.

ΒΑΤΤΟΣ.

Λεπτὸς μὰν χὠ ταῦρος ὁ πυρρίχος. αἴθε λάχοιεν
τοὶ τῶ Λαμπριάδα τοὶ δαμόται, ὅκκα θύωντι
τᾷ Ἥρᾳ, τοιόνδε· κακογράσμων γὰρ ὁ δᾶμος.

ΚΟΡΥΔΩΝ.

Καὶ μὰν ἐς στομάλιμνον ἐλαύνεται ἔς τε τὰ Φύσκω,
καὶ ποτὶ τὸν Νήαιθον, ὅπεῖ καλὰ πάντα φύοντι,
αἰγίπυρος καὶ κνύζα καὶ εὐώδης μελίτεια.

ΒΑΤΤΟΣ.

Φεῦ φεῦ βασεῦνται καὶ ταὶ βόες ὦ τάλαν Αἴγων
εἰς Ἀΐδαν, ὅκα καὶ τὺ κακᾶς ἠράσσαο νίκας,
χἀ σῦριγξ εὐρῶτι παλύνεται, ἅν ποκ' ἐπάξα.

ΚΟΡΥΔΩΝ.

Οὐ τήνα γ', οὐ Νύμφας, ἐπεὶ ποτὶ Πῖσαν ἀφέρπων
δῶρον ἐμίν νιν ἔλειπεν· ἐγὼ δέ τις εἰμὶ μελικτάς,
κεὖ μὲν τὰ Γλαύκας ἀγκρούομαι, εὖ δὲ τὰ Πύρρω
αὐλέω. ἅ τε Κρότωνα καλεῖ πόλις ἅ τε Ζάκυνθος
καὶ τὸ ποταῷον τὸ Λακίνιον, εἶπερ ὁ πύκτας
Αἴγων ὀγδώκοντα μόνος κατεδαίσατο μάζας.
τηνεῖ καὶ τὸν ταῦρον ἀπ' ὤρεος ἆγε πιάξας
τᾶς ὁπλᾶς κἤδωκ' Ἀμαρυλλίδι, ταὶ δὲ γυναῖκες
μακρὸν ἀνάϋσαν, χὠ βουκόλος ἐξεγέλασσεν.

ΒΑΤΤΟΣ.

Ὦ χαρίεσσ' Ἀμαρυλλί, μόνας σέθεν οὐδὲ θανοίσας
λασεύμεσθ'· ὅσον αἶγες ἐμὶν φίλαι, ὅσσον ἀπέσβης.
αἰαῖ τῶ σκληρῶ μάλα δαίμονος, ὅς με λελόγχει.

ΚΟΡΥΔΩΝ.

Θαρσεῖν χρὴ φίλε Βάττε· τάχ' αὔριον ἔσσετ' ἄμεινον.
ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες.
χὠ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει.

ΒΑΤΤΟΣ.

Θαρσέω. βάλλε κάτωθε τὰ μοσχία· τᾶς γὰρ ἐλαίας
τὸν θαλλὸν τρώγοντι τὰ δύσσοα.

ΚΟΡΥΔΩΝ.

Σίτθ' ὁ Λέπαργος,
σίτθ' ἁ Κυμαίθα ποτὶ τὸν λόφον. οὐκ ἐσακούεις;
εἶξῶ ναὶ τὸν Πᾶνα κακὸν τέλος αὐτίκα δωσῶν,
εἰ μὴ ἄπει τουτῶθεν. ἴδ' αὖ πάλιν ἅδε ποθέρπει.
πεῖ θήν μοι ῥοικὸν τὸ λαγωβόλον, ὥς τυ πατάξω;

ΒΑΤΤΟΣ.

Θᾶσαί μ' ὦ Κορύδων πὸτ τῶ Διός· ἁ γὰρ ἄκανθα
ἁρμοῖ μ' ὧδ' ἐπάταξ' ὑπὸ τὸ σφυρόν. ὡς δὲ βαθεῖαι
τἀτρακτυλλίδες ἐντί. κακῶς ἁ πόρτις ὄλοιτο·
εἰς ταύταν ἐτύπην χασμώμενος. ἦρά ἐ λεύσσεις;

ΚΟΡΥΔΩΝ.

Ναὶ ναί, τοῖς ὀνύχεσσιν ἔχω τί νιν· ἅδε καὶ αὐτά.

ΒΑΤΤΟΣ.

Ὁσσίχον ἐστὶ τὸ τύμμα καὶ ἁλίκον ἄνδρα δαμάζει.

ΚΟΡΥΔΩΝ.

Εἰς ὄρος ὅκχ' ἕρπῃς, μὴ ἀνάλιπος ἔρχεο Βάττε·
ἐν γὰρ ὄρει ῥάμνοι τε καὶ ἀσπάλαθοι κομέονται.

ΒΑΤΤΟΣ.

Εἶπ' ἄγε μ' ὦ Κορύδων, τὸ γερόντιον ἦρ' ἔτι μύλλει
τήναν τὰν κυάνοφρυν ἐρωτίδα, τᾶς ποκ' ἐκνίσθη;

ΚΟΡΥΔΩΝ.

Ἀκμάν γ' ὦ δειλαῖε· πρόαν γέ μεν αὐτὸς ἐπενθὼν
καὶ ποτὶ τᾷ μάκτρᾳ κατελάμβανον ἆμος ἐνήργει.

ΒΑΤΤΟΣ.

Εὖ γ' ὤνθρωπε φιλοῖφα. τό τοι γένος ἢ Σατυρίσκοις
ἐγγύθεν ἢ Πάνεσσι κακοκνάμοισιν ὁρίσδεις.

Idyll. V.

Βουκολιασταὶ Κομάτας καὶ Λάκων.

ΚΟΜΑΤΑΣ.

Αἶγες ἐμαί, τῆνον τὸν ποιμένα τόνδε Σιβύρτα
φεύγετε τὸν Λάκωνα· τό μευ νάκος ἐχθὲς ἔκλεψεν.

ΛΑΚΩΝ.

Οὐκ ἀπὸ τᾶς κράνας σίττ' ἀμνίδες; οὐκ ἐσορῆτε
τόν μευ τὰν σύριγγα πρόαν κλέψαντα Κομάταν;

ΚΟΜΑΤΑΣ.

Τὰν ποίαν σύριγγα; τὺ γάρ ποκα δῶλε Σιβύρτα
ἐκτάσα σύριγγα; τί δ' οὐκέτι σὺν Κορύδωνι
ἀρκεῖ τοι καλάμας αὐλὸν ποππύσδεν ἔχοντι;

ΛΑΚΩΝ.

Τάν μοι ἔδωκε Λύκων ὠλεύθερε. τὶν δὲ τὸ ποῖον
Λάκων ἀγκλέψας πόκ' ἔβαν νάκος; εἰπὲ Κομᾶτα·
οὐδὲ γὰρ Εὐμάρᾳ τῷ δεσπότᾳ ἦς τι ἐνεύδειν.

ΚΟΜΑΤΑΣ.

Τὸ Κροκύλος μοι ἔδωκε, τὸ ποικίλον, ἀνίκ' ἔθυσε
ταῖς Νύμφαις τὰν αἶγα· τὺ δ' ὦ κακὲ καὶ τόκ' ἐτάκευ
βασκαίνων, καὶ νῦν με τὰ λοίσθια γυμνὸν ἔθηκας.

ΛΑΚΩΝ.

Οὐ μαὐτὸν τὸν Πᾶνα τὸν ἄκτιον, οὔ τέ γε Λάκων
τὰν βαίταν ἀπέδυσ' ὁ Καλαίθιδος, ἢ κατὰ τήνας
τᾶς πέτρας ὤνθρωπε μανεὶς εἰς Κρᾶθιν ἁλοίμαν.

ΚΟΜΑΤΑΣ.

Οὐ μὰν οὐδ' αὐτὰς τὰς λιμνάδας ὤγαθὲ Νύμφας,
αἴτέ μοι ἵλαοί τε καὶ εὐμενέες τελέθοιεν,
οὔ τευ τὰν σύριγγα λαθὼν ἔκλεψα Κομάτας.

ΛΑΚΩΝ.

Αἴ τοι πιστεύσαιμι, τὰ Δάφνιδος ἄλγε' ἀροίμαν.
ἀλλ' ὦν αἴκα λῇς ἔριφον θέμεν, ἔστι μὲν οὐδέν
ἱερόν, ἀλλ' ἄγε τοι διαείσομαι, ἔστέ κ' ἀπείπῃς.

ΚΟΜΑΤΑΣ.

Ὗς ποτ' Ἀθαναίαν ἔριν ἤρισεν. ἡνίδε κεῖται
ὤριφος· ἀλλ' ἄγε καὶ τὺ τὸν εὔβοτον ἀμνὸν ὅρισδε.

ΛΑΚΩΝ.

Καὶ πῶς ὦ κίναιδε τάδ' ἔσσεται ἐξ ἴσω ἁμίν;
τίς τρίχας ἀντ' ἐρίων ἐποκίξατο; τίς δὲ παρεύσας
αἰγὸς πρατοτόκοιο κακὰν κύνα δήλετ' ἀμέλγειν;

ΚΟΜΑΤΑΣ.

Ὅστις νικασεῖν τὸν πλατίον ὡς τὺ πεποίθεις,
σφὰξ βομβέων τέττιγος ἐναντίον. ἀλλὰ γὰρ οὔτι
ὤριφος ἰσοπαλής τοι, ἴδ' ὁ τράγος οὗτος ἐρίσδει.

ΛΑΚΩΝ.

Μὴ σπεῦδ'· οὐ γάρ τοι πυρὶ θάλπεαι. ἅδιον ᾀσῇ
τεῖδ' ὑπὸ τὰν κότινον καὶ τἄλσεα ταῦτα καθίξας.
ψυχρὸν ὕδωρ τουτεῖ καταλείβεται· ὧδε πεφύκει
ποία χά στιβὰς ἅδε, καὶ ἀκρίδες ὧδε λαλεῦντι.

ΚΟΜΑΤΑΣ.

Ἀλλ' οὔτι σπεύδω· μέγα δ' ἄχθομαι, εἰ τύ με τολμῇς
ὄμμασι τοῖς ὀρθοῖσι ποτιβλέπεν, ὅν ποκ' ἐόντα
παῖδ' ἔτ' ἐγὼν ἐδίδασκον. ἴδ' ἁ χάρις εἰς τί ποθέρπει.
θρέψαι κα λυκιδεῖς, θρέψαι κυνάς, ὥς ἑ φάγωντι.

ΛΑΚΩΝ.

Καὶ πόκ' ἐγὼν παρὰ τεῦς τι μαθὼν καλὸν ἢ καὶ ἀκούσας
μέμναμ'; ὦ φθονερὸν τὺ καὶ ἀπρεπὲς ἀνδρίον αὔτως.

ΚΟΜΑΤΑΣ.

Ἀνίκ' ἐπύγιζόν τυ, τὺ δ' ἄλγεες· αἱ δὲ χίμαιραι
αἵδε κατεβλαχῶντο, καὶ ὁ τράγος αὐτὰς ἐτρύπη.

ΛΑΚΩΝ.

Μὴ βάθιον τήνω πυγίσματος ὗβε ταφείης.
ἀλλὰ γὰρ ἕρφ', ὧδ' ἕρπε, καὶ ὕστατα βουκολιαξῇ.

ΚΟΜΑΤΑΣ.

Οὐχ ἑρψῶ τηνεῖ· τουτεῖ δρύες, ὧδε κύπειρος,

ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι·
ἔνθ' ὕδατος ψυχρῶ κρᾶναι δύο· ταὶ δ' ἐπὶ δένδρει
ὄρνιθες λαλαγεῦντι· καὶ ἁ σκιὰ οὐδὲν ὁμοία
τᾷ παρὰ τίν· βάλλει δὲ καὶ ἁ πίτυς ὑψόθε κώνως.

ΛΑΚΩΝ.

Ἡ μὰν ἀρνακίδας τε καὶ εἴρια τεῖδε πατησεῖς,
αἴκ' ἔνθῃς, ὕπνω μαλακώτερα· ταὶ δὲ τραγεῖαι
ταὶ παρὰ τὶν ὄσδοντι κακώτερον ἢ τύ περ ὄσδεις.
στασῶ δὲ κρατῆρα μέγαν λευκοῖο γάλακτος
ταῖς Νύμφαις, στασῶ δὲ καὶ ἁδέος ἄλλον ἐλαίω.

ΚΟΜΑΤΑΣ.

Αἰ δέ γέ κα τὺ μόλῃς, ἁπαλὰν πτέριν ὧδε πατησεῖς
καὶ γλάχων' ἀνθεῦσαν· ὑπεσσεῖται δὲ χιμαιρᾶν
δέρματα τᾶν παρὰ τὶν μαλακώτερα τετράκις ἀρνεᾶν.
στασῶ δ' ὀκτὼ μὲν γαυλὼς τῷ Πανὶ γάλακτος,
ὀκτὼ δὲ σκαφίδας μέλιτος πλέα κηρί' ἐχοίσας.

ΛΑΚΩΝ.

Αὐτόθε μοι ποτέρισδε καὶ αὐτόθε βουκολιάζευ·
τὰν σαυτῶ πατέων ἔχε τὰς δρύας. ἀλλὰ τίς ἁμέ,
τίς κρινεῖ; αἴθ' ἔνθοι πόθ' ὁ βουκόλος ὧδ' ὁ Λυκώπας.

ΚΟΜΑΤΑΣ.

Οὐδὲν ἐγὼ τήνω ποτιδεύομαι· ἀλλὰ τὸν ἄνδρα,
αἰ λῇς, τὸν δρυτόμον βωστρήσομες, ὃς τὰς ἐρείκας
τήνας τὰς παρὰ τὶν ξυλοχίζεται· ἔστι δὲ Μόρσων.

ΛΑΚΩΝ.

Βωστρέωμες.

ΚΟΜΑΤΑΣ.

Τὺ κάλει νιν.

ΛΑΚΩΝ.

Ἰὼ ξένε μικκὸν ἄκουσον

τεῖδ' ἐνθών· ἀμὲς γὰρ ἐρίσδομες, ὅστις ἀρείων
βουκολιαστάς ἐστι. τὺ δ' ὦ φίλε μήτ' ἐμὲ Μόρσων
ἐν χάριτι κρίνῃς, μήτ' ὦν τύγα τοῦτον ὀνάσῃς.

ΚΟΜΑΤΑΣ.

Ναὶ ποτὶ τᾶν Νυμφᾶν Μόρσων φίλε μήτε Κομάτᾳ
τὸ πλέον εὐθύνῃς, μήτ' ὦν τύγα τῷδε χαρίξῃ.
ἅδε τοι ἁ ποίμνα τῶ Θουρίω ἐστὶ Σιβύρτα,
Εὐμάρα δὲ τὰς αἶγας ὁρῇς φίλε τῶ Συβαρίτα.

ΛΑΚΩΝ.

Μή τύ τις ἠρώτη πὸτ τῶ Διός, αἴτε Σιβύρτα
αἴτ' ἐμόν ἐστι κάκιστε τὸ ποίμνιον; ὡς λάλος ἐσσί.

ΚΟΜΑΤΑΣ.

Βέντισθ' οὗτος, ἐγὼ μὲν ἀλαθέα πάντ' ἀγορεύω
κοὐδὲν καυχῶμαι· τύ γε μὰν φιλοκέρτομος ἐσσί.

ΛΑΚΩΝ.

Εἶα λέγ', εἴ τι λέγεις, καὶ τὸν ξένον εὖ πάλιν αὖθις
ζῶντ' ἄφες· ὦ Παιάν, ἦ στωμύλος ἦσθα Κομᾶτα.

(**Βουκολιασμός**).

ΚΟΜΑΤΑΣ.

Ταὶ Μοῖσαί με φιλεῦντι πολὺ πλέον ἢ τὸν ἀοιδόν
Δάφνιν· ἐγὼ δ' αὐταῖς χιμάρως δύο πρᾶν ποκ' ἔθυσα.

ΛΑΚΩΝ.

Καὶ γὰρ ἔμ' ὁ Ἀπόλλων φιλέει μέγα, καὶ καλὸν αὐτῷ
κριὸν ἐγὼ βόσκω. τὰ δὲ Κάρνεα καὶ δὴ ἐφέρπει.

ΚΟΜΑΤΑΣ.

Πλὰν δύο τὰς λοιπὰς διδυματόκος αἶγας ἀμέλγω,
καί μ' ἁ παῖς ποθορῶσα „τάλαν“ λέγει „αὐτὸς ἀμέλγεις“;

ΛΑΚΩΝ.

Φεῦ φεῦ Λάκων τοι ταλάρως σχεδὸν εἴκατι πληροῖ
τυρῶ καὶ τὸν ἄναβον ἐν ἄνθεσι παῖδα μολύνει.

ΚΟΜΑΤΑΣ.

Βάλλει καὶ μάλοισι τὸν αἰπόλον ἁ Κλεαρίστα
τὰς αἶγας παρελᾶντα καὶ ἁδύ τι ποππυλιάζει.

ΛΑΚΩΝ.

Κἠμὲ γὰρ ὁ Κρατίδας τὸν ποιμένα λεῖος ὑπαντῶν
ἐκμαίνει· λιπαρὰ δὲ παρ' αὐχένα σείετ' ἔθειρα.

ΚΟΜΑΤΑΣ.

Ἀλλ' οὐ σύμβλητ' ἐστὶ κυνόσβατος οὐδ' ἀνεμώνα
πὰρ ῥόδα, τῶν ἄνδηρα· τὰ δ' αἱμασιαῖσι πεφύκει.

ΛΑΚΩΝ.

Οὐδὲ γὰρ οὐδ' ἀκύλοις ὁμομαλίδες· αἳ μὲν ἔχοντι
λειτὸν ἀπὸ πρίνοιο λεπύριον, αἳ δὲ μελιχραί.

ΚΟΜΑΤΑΣ.

Κἠγὼ μὲν δωσῶ τᾷ παρθένῳ αὐτίκα φάσσαν
ἐκ τᾶς ἀρκεύθω καθελών· τηνεῖ γὰρ ἐφίσδει.

ΛΑΚΩΝ.

Ἀλλ' ἐγὼ ἐς χλαῖναν μαλακὸν πόκον, ὁππόκα πεξῶ
τὰν οἶν τὰν πέλλαν, Κρατίδᾳ δωρήσομαι αὐτός.

ΚΟΜΑΤΑΣ.

Σίττ' ἀπὸ τᾶς κοτίνω ταὶ μακύδες· ὧδε νέμεσθε,
ὡς τὸ κάταντες τοῦτο γεώλοφον αἵ τε μυρῖκαι.

ΛΑΚΩΝ.

Οὐκ ἀπὸ τᾶς δρυὸς οὗτος ὁ Κώναρος ἅ τε Κιναίθα;
τουτεῖ βοσκησεῖσθε ποτ' ἀντολάς, ὡς ὁ Φάλαρος.

ΚΟΜΑΤΑΣ.

Ἔστι δέ μοι γαυλὸς κυπαρίσσινος, ἔστι δὲ κρατήρ,
ἔργον Πραξιτέλευς· τᾷ παιδὶ δὲ ταῦτα φυλάσσω.

ΛΑΚΩΝ.

Χἀμίν ἐστι κύων φιλοποίμνιος, ὃς λύκος ἄγχει,
ὃν τῷ παιδὶ δίδωμι τὰ θηρία πάντα διώκειν.

ΚΟΜΑΤΑΣ.

Ἀκρίδες, αἳ τὸν φραγμὸν ὑπερπαδῆτε τὸν ἁμόν,
μή μευ λωβασεῖσθε τὰς ἀμπέλος; ἐντὶ γὰρ ἇβαι.

ΛΑΚΩΝ.

Τοὶ τέττιγες ὁρῆτε, τὸν αἰπόλον ὡς ἐρεθίζω·
οὕτως χὑμές θην ἐρεθίζετε τὼς καλαμευτάς.

ΚΟΜΑΤΑΣ.

Μισέω τὰς δασυκέρκος ἀλώπεκας, αἳ τὰ Μίκωνος
αἰεὶ φοιτῶσαι τὰ ποθ' ἕσπερα ῥαγίζοντι.

ΛΑΚΩΝ.

Καὶ γὰρ ἐγὼν μισέω τὼς κανθάρος, οἳ τὰ Φιλώνδα
σῦκα κατατρώγοντες ὑπανέμιοι φορέονται.

ΚΟΜΑΤΑΣ.

Ἦ οὐ μέμνασ', ὅκ' ἐγώ τυ κατήλασα, καὶ τὺ σεσαρὼς
εὖ ποτεκιγκλίζευ καὶ τᾶς δρυὸς εἴχεο τήνας;

ΛΑΚΩΝ.

Τοῦτο μὲν οὐ μέμναμ'· ὅκα μάν ποκα τεῖδέ τυ δήσας
Εὐμάρας ἐκάθαρε, καλῶς μάλα τοῦτό γ' ἴσαμι.

ΚΟΜΑΤΑΣ.

Ἤδη τις Μόρσων πικραίνεται· ἢ οὐχὶ παραίσθευ;
σκίλλας ἰὼν γραίας ἀπὸ σάματος αὐτίκα τίλλειν.

ΛΑΚΩΝ.

Κἠγὼν μὰν κνίζω Μόρσων τινά· καὶ τὺ δὲ λεύσσεις.
ἐνθὼν τὰν κυκλάμινον ὄρυσσέ νυν εἰς τὸν Ἄλεντα.

ΚΟΜΑΤΑΣ.

Ἱμέρα ἀνθ' ὕδατος ῥείτω γάλα, καὶ τὺ δὲ Κρᾶθι
οἴνῳ πορφύροις, τὰ δέ τοι σία καρπὸν ἐνείκαι.

ΛΑΚΩΝ.

Ῥείτω χὠ Σύβαρις ἁμὶν μέλι, καὶ τὸ ποτ' ὄρθρον
ἁ παῖς ἀνθ' ὕδατος τᾷ κάλπιδι κηρία βάψαι.

ΚΟΜΑΤΑΣ.

Ταὶ μὲν ἐμαὶ κύτισόν τε καὶ αἴγιλον αἶγες ἔδοντι,
καὶ σχῖνον πατέοντι καὶ ἐν κομάροισι κέχυνται.

ΛΑΚΩΝ.

Ταῖσι δ' ἐμαῖς οἴεσσι πάρεστι μὲν ἁ μελίτεια
φέρβεσθαι, πολλὸς δὲ καὶ ὡς ῥόδα κίσθος ἐπανθεῖ.

ΚΟΜΑΤΑΣ.

Οὐκ ἔραμ' Ἀλκίππας, ὅτι με πρᾶν οὐκ ἐφίλησε
τῶν ὤτων καθελοῖσ', ὅκα οἱ τὰν φάσσαν ἔδωκα.

ΛΑΚΩΝ.

Ἀλλ' ἐγὼ Εὐμήδευς ἔραμαι μέγα· καὶ γὰρ ὅκ' αὐτῷ
τὰν σύριγγ' ὤρεξα, καλόν τί με κάρτ' ἐφίλησεν.

ΜΟΡΣΩΝ.

Οὐ θεμιτὸν Λάκων ποτ' ἀηδόνα κίσσας ἐρίσδειν,
οὐδ' ἔποπας κύκνοισι· τὺ δ' ὦ τάλαν ἐσσὶ φιλεχθής.
παύσασθαι κέλομαι τὸν ποιμένα. τὶν δὲ Κομᾶτα
δωρεῖται Μόρσων τὰν ἀμνίδα· καὶ τὺ δὲ θύσας
ταῖς Νύμφαις Μόρσωνι καλὸν κρέας αὐτίκα πέμψον.

ΚΟΜΑΤΑΣ.

Πεμψῶ ναὶ τὸν Πᾶνα. φριμάσσεο πᾶσα τραγίσκων
νῦν ἀγέλα· κἠγὼν γὰρ ἴδ' ὡς μέγα τοῦτο καχαξῶ
κὰτ τῶ Λάκωνος τῶ ποιμένος, ὥθ' ὁπόκ' ἤδη
ἀνυσάμαν τὰν ἀμνόν· ἐς ὠρανὸν ὔμιν ἀλεῦμαι.
αἶγες ἐμαὶ θαρσεῖτε κερούτιδες· αὔριον ὑμέ
πάσας ἐγὼ λουσῶ Συβαρίτιδος ἔνδοθε λίμνας.
οὗτος ὁ λευκίτας ὁ κορυπτίλος, εἴ τιν' ὀχευσεῖς

τᾶν αἰγῶν, φλασσῶ τυ, πρὶν ἤ γέ με καλλιερῆσαι
ταῖς Νύμφαις τὰν ἀμνόν. ὃ δ' αὖ πάλιν. ἀλλὰ γενοίμαν,
αἰ μή τυ φλάσσαιμι, Μελάνθιος ἀντὶ Κομάτα.

Idyll. VI.

Βουκολιασταὶ Δάφνις καὶ Δαμοίτας.

Δαμοίτας χὠ Δάφνις ὁ βουκόλος εἰς ἕνα χῶρον
τὰν ἀγέλαν πόκ' Ἄρατε συνάγαγον· ἧς δ' ὃ μὲν αὐτῶν
πυρρός, ὃ δ' ἡμιγένειος· ἐπὶ κράναν δέ τιν' ἄμφω
ἑζόμενοι θέρεος μέσῳ ἄματι τοιάδ' ἄειδον.
πρᾶτος δ' ἄρξατο Δάφνις, ἐπεὶ καὶ πρᾶτος ἐρίσδεν.

(Δάφνιδος ᾠδή.)

α' Βάλλει τοι Πολύφαμε τὸ ποίμνιον ἁ Γαλάτεια
μάλοισιν, δυσέρωτα τὸν αἰπόλον ἄνδρα καλεῦσα·
β' Καὶ τύ νιν οὐ ποθόρησθα τάλαν τάλαν, ἀλλὰ κάθησαι
ἁδέα συρίσδων. πάλιν ἅδ' ἴδε τὰν κύνα βάλλει,
ἅ τοι τᾶν ὀΐων ἕπεται σκοπός· ἃ δὲ βαΰσδει
εἰς ἅλα δερκομένα, τὰ δέ νιν καλὰ κύματα φαίνει
ἅσυχα παφλάζοντα ἐπ' αἰγιαλοῖο θέοισαν.
α' Φράζεο μὴ τᾶς παιδὸς ἐπὶ κνάμησιν ὀρούσῃ
ἐξ ἁλὸς ἐρχομένας, κατὰ δὲ χρόα καλὸν ἀμύξῃ.
β' Ἃ δὲ καὶ αὐτόθε τοι διαθρύπτεται, ὡς ἀπ' ἀκάνθας
ταὶ καπυραὶ χαῖται, τὸ καλὸν θέρος ἁνίκα φρύγει·
καὶ φεύγει φιλέοντα καὶ οὐ φιλέοντα διώκει,
καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον· ἦ γὰρ ἔρωτι
πολλάκις ὦ Πολύφαμε τὰ μὴ καλὰ καλὰ πέφανται.

Τῷ δ' ἐπὶ Δαμοίτας ἀνεβάλλετο καὶ τάδ' ἄειδεν.

(Δαμοίτου ᾠδή.)

γ' Εἶδον ναὶ τὸν Πᾶνα, τὸ ποίμνιον ἀνίκ' ἔβαλλε,
κοὔτι λάθ', οὔ, τὸν ἐμὸν τὸν ἕνα γλυκύν, ᾧ ποθορῶμι
ἐς τέλος, αὐτὰρ ὁ μάντις ὁ Τήλεμος ἔχθρ' ἀγορεύων
ἐχθρὰ φέροιτο ποτ' οἶκον, ὅπως τεκέεσσι φυλάσσοι.

γ' Ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίζων πάλιν οὐ ποθόρημι,
ἀλλ' ἄλλαν τινὰ φαμὶ γυναῖκ' ἔχεν· ἃ δ' ἀΐοισα
ζαλοῖ μ' ὦ Παιὰν καὶ τάκεται, ἐκ δὲ θαλάσσας
οἰστρεῖ παπταίνοισα ποτ' ἄντρά τε καὶ ποτὶ ποίμνας.

δ' Σίξα δ' ὑλακτεῖν νιν καὶ τᾷ κυνί· καὶ γὰρ ὅκ' ἤρων
αὐτᾶς, ἐκνυζεῖτο ποτ' ἰσχία ῥύγχος ἔχοισα.

γ' Ταῦτα δ' ἴσως ἐσορῶσα ποεῦντά με πολλάκι πεμψεῖ
ἄγγελον. αὐτὰρ ἐγὼ κλασῶ θύρας, ἔστέ κ' ὀμόσσῃ
αὐτά μοι στορεσεῖν καλὰ δέμνια τᾶσδ' ἐπὶ νάσω.
καὶ γάρ θην οὐδ' εἶδος ἔχω κακόν, ὥς με λέγοντι.

γ' Ἦ γὰρ πρᾶν ἐς πόντον ἐσέδρακον, ἧς δὲ γαλάνα,
καὶ καλὰ μὲν τὰ γένεια, καλὰ δέ μευ ἁ μία κώρα,
ὡς παρ' ἐμὶν κέκριται, κατεφαίνετο, τῶν δέ τ' ὀδόντων
λευκοτέραν αὐγὰν Παρίας ὑπέφαινε λίθοιο.

δ' Ὡς μὴ βασκανθῶ δέ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον·
ταῦτα γὰρ ἁ γραία με Κοτυταρὶς ἐξεδίδαξε.

Τόσσ' εἰπὼν τὸν Δάφνιν ὁ Δαμοίτας ἐφίλησε,
χὠ μὲν τῷ σύριγγ', ὃ δὲ τῷ καλὸν αὐλὸν ἔδωκεν.
αὔλει Δαμοίτας, σύρισδε δὲ Δάφνις ὁ βούτας·

ἃ πρᾶν ἀμάντεσσι παρ' Ἱπποτίωνι ποταύλει. 41

ὠρχεῦντ' ἐν μαλακᾷ ταὶ πόρτιες αὐτίκα ποίᾳ.
νίκη μὰν οὐδ' ἄλλος, ἀνήσσατοι δ' ἐγένοντο.

Idyll. VII.

Θ α λ ύ σ ι α.

Ἧς χρόνος ἁνίκ' ἐγώ τε καὶ Εὔκριτος εἰς τὸν Ἅλεντα
εἵρπομες ἐκ πόλιος, σὺν καὶ τρίτος ἄμιν Ἀμύντας.
τᾷ Δηοῖ γὰρ ἔτευχε θαλύσια καὶ Φρασίδαμος
κἈντιγένης, δύο τέκνα Λυκώπεος, εἴ τί περ ἐσθλόν
λαῶν, τῶ δ' ἔτ' ἄνωθεν ἀπὸ Κλυτίας τε καὶ αὐτῶ
Χάλκωνος, Βούριναν ὃς ἐκ ποδὸς ἄνυσε κράναν
εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ· ταὶ δὲ παρ' αὐτάν
αἴγειροι πτελέαι τε ἐΰσκιον ἄλσος ὕφαινον,
χλωροῖσιν πετάλοισι κατηρεφέες κομόωσαι.
κοὔπω τὰν μεσάταν ὁδὸν ἄνυμες, οὐδὲ τὸ σᾶμα
ἁμὶν τὸ Βρασίλα ἀνεφαίνετο, καί τιν' ὁδίταν
ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικὸν εὕρομες ἄνδρα,
οὔνομα μὲν Λυκίδαν, ἧς δ' αἰπόλος, οὐδέ κέ τίς μιν
ἠγνοίησεν ἰδών, ἐπεὶ αἰπόλῳ ἔξοχ' ἐῴκει.
ἐκ μὲν γὰρ λασίοιο δασύτριχος εἶχε τράγοιο
κνακὸν δέρμ' ὤμοισι νέας ταμίσοιο ποτόσδον,
ἀμφὶ δέ οἱ στήθεσσι γέρων ἐσφίγγετο πέπλος
ζωστῆρι πλακερῷ, ῥοικὰν δ' ἔχεν ἀγριελαίω
δεξιτερᾷ κορύναν. καί μ' ἀτρέμας εἶπε σεσαρώς
ὄμματι μειδιόωντι, γέλως δέ οἱ εἴχετο χείλευς·
„Σιμιχίδα, πᾷ δὴ τὺ μεσαμέριον πόδας ἕλκεις,
ἁνίκα δὴ καὶ σαῦρος ἐν αἱμασιαῖσι καθεύδει,
οὐδ' ἐπιτυμβίδιαι κορυδαλλίδες ἠλαίνοντι;

ἢ μετὰ δαῖτ' ἄκλητος ἐπείγεαι; ἤ τινος ἀστῶν
λανὸν ἔπι θρώσκεις; ὥς τοι ποσὶ νισσομένοιο
πᾶσα λίθος πταίοισα ποτ' ἀρβυλίδεσσιν ἀείδει."
τὸν δ' ἐγὼ ἀμείφθην· „Λυκίδα φίλε, φαντί τυ πάντες
ἔμμεν συρικτὰν μέγ' ὑπείροχον ἔν τε νομεῦσιν
ἔν τ' ἀμητήρεσσι. τὸ δὴ μάλα θυμὸν ἰαίνει
ἁμέτερον· καί τοι κατ' ἐμὸν νόον ἰσοφαρίζειν
ἔλπομαι. ἁ δ' ὁδὸς ἅδε θαλυσιάς· ἦ γὰρ ἑταῖροι
ἀνέρες εὐπέπλῳ Δαμάτερι δαῖτα τελεῦντι
ὄλβω ἀπαρχόμενοι· μάλα γάρ σφισι πίονι μέτρῳ
ἁ δαίμων εὔκριθον ἀνεπλήρωσεν ἀλωάν.
ἀλλ' ἄγε δή — ξυνὰ γὰρ ὁδός, ξυνὰ δὲ καὶ ἀώς —
βουκολιασδώμεσθα· τάχ' ὥτερος ἄλλον ὀνασεῖ.
καὶ γὰρ ἐγὼν Μοισᾶν καπυρὸν στόμα, κἠμὲ λέγοντι
πάντες ἀοιδὸν ἄριστον· ἐγὼ δέ τις οὐ ταχυπειθής,
οὐ Δᾶν· οὐ γάρ πω κατ' ἐμὸν νόον οὔτε τὸν ἐσθλόν
Σικελίδαν νίκημι τὸν ἐκ Σάμω οὐδὲ Φιλητᾶν
ἀείδων, βάτραχος δὲ ποτ' ἀκρίδας ὥς τις ἐρίσδω."
ὣς ἐφάμαν ἐπίταδες· ὁ δ' αἰπόλος ἁδὺ γελάσσας
„τάν τοι" ἔφα „κορύναν δωρύττομαι, οὕνεκεν ἐσσί
πᾶν ἐπ' ἀλαθείᾳ πεπλασμένον ἐκ Διὸς ἔρνος.
ὥς μοι καὶ τέκτων μέγ' ἀπέχθεται, ὅστις ἐρευνῇ
ἶσον ὄρευς κορυφᾷ τελέσαι δόμον εὐρυμέδοντος,
καὶ Μοισᾶν ὄρνιχες, ὅσοι ποτὶ Χῖον ἀοιδόν
ἀντία κοκκύζοντες ἐτώσια μοχθίζοντι.
ἀλλ' ἄγε βουκολικᾶς ταχέως ἀρχώμεθ' ἀοιδᾶς,
Σιμιχίδα· κἠγὼ μέν, ὅρη φίλος, εἴ τοι ἀρέσκει
τοῦθ' ὅτι πρᾶν ἐν ὄρει τὸ μελύδριον ἐξεπόνασα."

(Λυκίδου ᾠδή.)

α' Ἔσσεται Ἀγεάνακτι καλὸς πλόος εἰς Μυτιλάναν,

χῶταν ἐφ' ἑσπερίοις ἐρίφοις νότος ὑγρὰ διώκῃ
κύματα, χὠρίων ὅτ' ἐπ' ὠκεανῷ πόδας ἴσχει,
αἴκεν τὸν Λυκίδαν ὀπτώμενον ἐξ Ἀφροδίτας
ῥύσηται· θερμὸς γὰρ ἔρως αὐτῶ με καταίθει.

α' χἀλκυόνες στορεσεῦντι τὰ κύματα τάν τε θάλασσαν
τόν τε νότον τόν τ' εὗρον, ὃς ἔσχατα φυκία κινεῖ·
ἀλκυόνες, γλαυκαῖς Νηρηίσι ταὶ τὰ μάλιστα
ὀρνίθων ἐφίληθεν, ὅσαις τέ περ ἐξ ἁλὸς ἄγρα.
ὥρια πάντα γένοιτο, καὶ εὔπλοος ὅρμον ἵκοιτο. 62

β' Κἠγὼ τῆνο κατ' ἆμαρ ἀνήτινον ἢ ῥοδόεντα
ἢ καὶ λευκοΐων στέφανον περὶ κρατὶ φυλάσσων
τὸν Πτελεατικὸν οἶνον ἀπὸ κρατῆρος ἀφυξῶ
πὰρ πυρὶ κεκλιμένος, κύαμον δέ τις ἐν πυρὶ φρυξεῖ.

β' Χὰ στιβὰς ἐσσεῖται πεπυκασμένα ἔστ' ἐπὶ πᾶχυν
κνύζᾳ τ' ἀσφοδέλῳ τε πολυγνάμπτῳ τε σελίνῳ.
καὶ πίομαι μαλακῶς μεμναμένος Ἀγεάνακτος
αὐταῖς ἐν κυλίκεσσι καὶ ἐς τρύγα χεῖλος ἐρείδων.

γ' Αὐλησεῦντι δέ μοι δύο ποιμένες, εἷς μὲν Ἀχαρνεύς,
εἷς δὲ Λυκωπίτας· ὁ δὲ Τίτυρος ἐγγύθεν ᾀσεῖ,
ὥς ποκα τᾶς Ξενέας ἠράσσατο Δάφνις ὁ βούτας,
χὡς ὄρος ἀμφ' ἐπονεῖτο, καὶ ὡς δρύες αὐτὸν ἐθρήνευν,
Ἱμέρα αἵτε φύοντι παρ' ὄχθῃσιν ποταμοῖο,
εὖτε χιὼν ὥς τις κατετάκετο μακρὸν ὑφ' Αἷμον
ἢ Ἄθω ἢ Ῥοδόπαν ἢ Καύκασον ἐσχατόωντα.

δ' Ἀισεῖ δ' ὥς ποκ' ἔδεκτο τὸν αἰπόλον εὐρέα λάρναξ
ζωὸν ἐόντα κακῇσιν ἀτασθαλίῃσιν ἄνακτος,
ὥς τέ νιν αἱ σιμαὶ λειμωνόθε φέρβον ἰοῖσαι

Ἀγεάνακτι πλόον διζημένῳ ἐς Μιτυλήναν 61

κέδρον ἐς ἁδεῖαν μαλακοῖς ἄνθεσσι μέλισσαι,
οὕνεκά οἱ γλυκὺ Μοῖσα κατὰ στόματος χέε νέκταρ.

γ' Ὦ μακαριστὲ Κομᾶτα, τύ θην τάδε τερπνὰ πεπόνθης,
καὶ τὺ κατεκλάσθης ἐς λάρνακα, καὶ τὺ μελισσᾶν
κηρία φερβόμενος ἔτος ὥριον ἐξεπόνασας.
αἴθ' ἐπ' ἐμεῦ ζωοῖς ἐναρίθμιος ὤφελες εἶμεν,
ὥς τοι ἐγὼν ἐνόμευον ἀν' ὤρεα τὰς καλὰς αἶγας
φωνᾶς εἰσαΐων, τὺ δ' ὑπὸ δρυσὶν ἢ ὑπὸ πεύκαις
ἁδὺ μελισδόμενος κατεκέκλισο θεῖε Κομᾶτα.

Χὢ μὲν τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δὲ μετ' αὖτις
κἠγὼν τοῖ' ἐφάμαν· „Λυκίδα φίλε, πολλὰ μὲν ἄλλα
Νύμφαι κἠμὲ δίδαξαν ἀν' ὤρεα βουκολέοντα
ἐσθλά, τά που καὶ Ζηνὸς ἐπὶ θρόνον ἄγαγε φάμα·
ἀλλὰ τόγ' ἐκ πάντων μέγ' ὑπείροχον, ᾧ τυ γεραίρειν
ἀρξεῦμ'· ἀλλ' ὑπάκουσον, ἐπεὶ φίλος ἔπλεο Μοίσαις.“

(Σιμιχίδου ᾠδή.)

α' Σιμιχίδᾳ μὲν Ἔρωτες ἐπέπταρον· ἦ γὰρ ὁ δειλός
τόσσον ἐρῶ Μυρτοῦς, ὅσον εἴαρος αἶγες ἐρᾶντι.
ὁ Ἄρατος δ' ὁ τὰ πάντα φιλαίτατος ἀνέρι τήνῳ
παιδὸς ὑπὸ σπλάγχνοισιν ἔχει πόθον. οἶδεν Ἄριστις,
ἐσθλὸς ἀνήρ, μέγ' ἄριστος ὃν οὐδέ κεν αὐτὸς ἀείδειν
Φοῖβος σὺν φόρμιγγι παρὰ τριπόδεσσι μεγαίροι,
ὡς ἐκ παιδὸς Ἄρατος ὑπ' ὀστέον αἴθετ' ἔρωτι.

β' Τόν μοι Πάν, Μαλέας ἐρατὸν πέδον ὅστε λέλογχας,
ἄκλητον κείνοιο φίλας ἐς χεῖρας ἐρείσαις,
εἴτε Φιλῖνος ἄρ' ἐστὶν ὁ μαλθακὸς εἴτέ τις ἄλλος.
κεἰ μὲν ταῦτ' ἔρδοις ὦ Πὰν φίλε, μή τί τυ παῖδες
Ἀρκαδικοὶ σκίλλαισιν ὑπὸ πλευράς τε καὶ ὤμως
τανίκα μαστίσδοιεν, ὅτε κρέα τυτθὰ παρείη·

β′ Εἰ δ' ἄλλως νεύσαις, κατὰ μὲν χρόα πάντ' ὀνύχεσσι
δακνόμενος κνάσαιο καὶ ἐν κνίδαισι καθεύδοις,
εἴης δ' Ἠδωνῶν μὲν ἐν ὤρεσι χείματι μέσσῳ
Ἕβρον πὰρ ποταμὸν τετραμμένος ἐγγύθεν ἄρκτω,
ἐν δὲ θέρει πυμάτοισι παρ' Αἰθιόπεσσι νομεύοις
πέτρᾳ ὕπο Βλεμύων, ὅθεν οὐκέτι Νεῖλος ὁρατός.

α′ Ὑμὲς δ' Ὑετίδος καὶ Βυβλίδος ἁδὺ λιπόντες
νᾶμα καὶ Οἰκεῦντα, ξανθᾶς ἕδος αἰπὺ Διώνας,
ὦ μάλοισιν Ἔρωτες ἐρευθομένοισιν ὁμοῖοι,
βάλλετέ μοι τόξοισι τὸν ἱμερόεντα Φιλῖνον,
βάλλετ', ἐπεὶ τὸν ξεῖνον ὁ δύσμορος οὐκ ἐλεεῖ μευ.
καὶ δὴ μὰν ἀπίοιο πεπαίτερος, αἱ δὲ γυναῖκες
„αἰαῖ“ φαντὶ „Φιλῖνε, τό τοι καλὸν ἄνθος ἀπορρεῖ.“

γ′ Μηκέτι τοι φρουρέωμες ἐπὶ προθύροισιν Ἄρατε,
μηδὲ πόδας τρίβωμες· ὁ δ' ὄρθριος ἄλλον ἀλέκτωρ
κοκκύζων νάρκῃσιν ἀνιαρῇσι διδοίη,
εἷς δ' ἀπὸ τᾶσδε φέριστε μολὼν ἄγχοιτο παλαίστρας.
ἁμὶν δ' ἁσυχία τε μέλοι γραία τε παρείη,
ἅτις ἐπιφθύζοισα τὰ μὴ καλὰ νόσφιν ἐρύκοι.

Τόσσ' ἐφάμαν· ὃ δέ μοι τὸ λαγωβόλον, ἁδὺ γελάσσας
ὡς πάρος, ἐκ Μοισᾶν ξεινήϊον ὤπασεν εἶμεν.
χὢ μὲν ἀποκλίνας ἐπ' ἀριστερὰ τὰν ἐπὶ Πύξας
εἷρφ' ὁδόν, αὐτὰρ ἐγώ τε καὶ Εὔκριτος ἐς Φρασιδάμω
στραφθέντες χὡ καλὸς Ἀμύντιχος ἔν τε βαθείαις
ἁδείας σχοίνοιο χαμευνίσιν ἐκλίνθημες
ἔν τε νεοτμάτοισι γεγαθότες οἰναρέῃσι.
πολλαὶ δ' ἁμὶν ὕπερθε κατὰ κρατὸς δονέοντο
αἴγειροι πτελέαι τε· τὸ δ' ἐγγύθεν ἱερὸν ὕδωρ
Νυμφᾶν ἐξ ἄντροιο κατειβόμενον κελάρυζε.
τοὶ δὲ ποτὶ σκιαραῖς ὀροδαμνίσιν αἰθαλίωνες

τέττιγες λαλαγεῦντες ἔχον πόνον· ἁ δ' ὀλολυγὼν
τηλόθεν ἐν πυκινῇσι βάτων τρύζεσκεν ἀκάνθαις.
ἄειδον κόρυδοι καὶ ἀκανθίδες, ἔστενε τρυγών,
πωτῶντο ξουθαὶ περὶ πίδακας ἀμφὶ μέλισσαι.
πάντ' ὦσδεν θέρεος μάλα πίονος, ὦσδε δ' ὀπώρας.
ὄχναι μὲν πὰρ ποσσί, περὶ πλευρῇσι δὲ μᾶλα
δαψιλέως ἁμὶν ἐκυλίνδετο· τοὶ δ' ἐκέχυντο
ὄρπακες βραβίλοισι καταβρίθοντες ἔραζε·
τετράενες δὲ πίθων ἀπελύετο κρατὸς ἄλειφαρ.
Νύμφαι Κασταλίδες Παρνάσσιον αἶπος ἔχοισαι,
ἆρά γέ πα τοιόνδε Φόλω κατὰ λάϊνον ἄντρον
κρατῆρ' Ἡρακλῆι γέρων ἐστάσατο Χείρων;
ἆρά γέ πα τῆνον τὸν ποιμένα τὸν ποτ' Ἀνάπῳ,
τὸν κρατερὸν Πολύφαμον, ὃς ὤρεσι νᾶας ἔβαλλε,
τοῖον νέκταρ ἔπεισε κατ' αὔλια ποσσὶ χορεῦσαι,
οἷον δὴ τόκα πῶμα διεκρανάσατε Νύμφαι
βωμῷ πὰρ Δάματρος ἁλῳάδος; ἇς ἐπὶ σωρῷ
αὖτις ἐγὼ πάξαιμι μέγα πτύον, ἁ δὲ γελάσσαι
δράγματα καὶ μάκωνας ἐν ἀμφοτέρῃσιν ἔχοισα.

Idyll. VIII.*

Βουκολιασταὶ Δάφνις καὶ Μενάλκας.

Δάφνιδι τῷ χαρίεντι συνήντετο βουκολέοντι
μᾶλα νέμων, ὡς φαντί, κατ' ὤρεα μακρὰ Μενάλκας.
ἄμφω τώγ' ἤστην πυρροτρίχω, ἄμφω ἀνάβω,
ἄμφω συρίσδεν δεδαημένω, ἄμφω ἀείδεν.
πρᾶτος δ' ὦν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευε Μενάλκας·
„μυκητᾶν ἐπίουρε βοῶν Δάφνι, λῇς μοι ἀεῖσαι;

φαμί τυ νικασεῖν, ὅσσον θέλω, αὐτὸς ἀείδων.“
τὸν δ' ἄρα χὠ Δάφνις τοιῷδ' ἀμείβετο μύθῳ·
„ποιμὴν εἰροπόκων οἴων συριγκτὰ Μενάλκα,
οὔποτε νικασεῖς μ', οὐδ' εἴ τι πάθοις τύγ' ἀείδων.“

ΜΕΝΑΛΚΑΣ.

Χρῄσδεις ὦν ἐσιδεῖν; χρῄσδεις καταθεῖναι ἄεθλον;

ΔΑΦΝΙΣ.

Χρῄσδω τοῦτ' ἐσιδεῖν, χρῄσδω καταθεῖναι ἄεθλον.

ΜΕΝΑΛΚΑΣ.

Καὶ τίνα θησεύμεσθ', ὅτις ἁμὶν ἄρκιος εἴη;

ΔΑΦΝΙΣ.

Μόσχον ἐγὼ θησῶ· τὺ δὲ θὲς ἰσομάτορα ἀμνόν.

ΜΕΝΑΛΚΑΣ.

Οὐ θησῶ ποκα ἀμνόν, ἐπεὶ χαλεπὸς ὁ πατήρ μευ
χὰ μάτηρ, τὰ δὲ μᾶλα ποθ' ἕσπερα πάντ' ἀριθμεῦντι.

ΔΑΦΝΙΣ.

ἀλλὰ τί μὰν θησεῖς; τί δέ τυ πλέον ἑξεῖ ὁ νικῶν;

ΜΕΝΑΛΚΑΣ.

Σύριγγ' ἂν ἐπόησα καλὰν ἐγὼ ἐννεάφωνον,
λευκὸν κηρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν·
ταύταν κα θείην, τὰ δὲ τῶ πατρὸς οὐ καταθησῶ.

ΔΑΦΝΙΣ.

Ἦ μάν τοι κἠγὼ σύριγγ' ἔχω ἐννεάφωνον,
λευκὸν κηρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν.
πρώαν νιν συνέπαξ'· ἔτι καὶ τὸν δάκτυλον ἀλγῶ
τοῦτον, ἐπεὶ κάλαμός ἑ διασχισθεὶς διέτμαξεν.

ΜΕΝΑΛΚΑΣ.

Ἀλλὰ τίς ἁμὲ κρινεῖ; τίς ἐπάκοος ἔσσεται ἁμέων;

ΔΑΦΝΙΣ.

Τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον ἦν καλέσωμες,
ᾧ ποτὶ ταῖς ἐρίφοις ὁ κύων ὁ φαλαρὸς ὑλακτεῖ.

Χοἱ μὲν παῖδες ἄϋσαν, ὁ δ' αἰπόλος ἦνθ' ἐπακοῦσαι. 28
πρᾶτος δ' ὦν ἄειδε λαχὼν ἰυκτὰ Μενάλκας, 30
εἶτα δ' ἀμοιβαίαν ὑπελάμβανε Δάφνις ἀοιδὰν
βουκολικάν· οὕτω δὲ Μενάλκας ἄρξατο πρᾶτος.

ΜΕΝΑΛΚΑΣ.

Ἄγκεα καὶ ποταμοί, θεῖον γένος, αἴ τι Μενάλκας
πήποχ' ὁ συριγκτὰς προσφιλὲς ᾇσα μέλος,
βόσκοιτ' ἐκ ψυχᾶς τὰς ἀμνάδας· ἦν δέ ποκ' ἔνθῃ 35
Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.

ΔΑΦΝΙΣ.

Κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυτόν, αἴπερ ὁμοῖον
μουσίζω Δάφνις ταῖσιν ἀηδονίσι,
τοῦτο τὸ βουκόλιον πιαίνετε· κἤν τι Μενάλκας
τεῖδ' ἀγάγῃ, χαίρων ἄφθονα πάντα νέμοι. 40

ΜΕΝΑΛΚΑΣ.

Ἔνθ' οἶς, ἔνθ' αἶγες διδυματόκοι, ἔνθα μέλισσαι 45
σμάνεα πληροῦσιν, καὶ δρύες ὑψίτεραι, 46
ἔνθ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἰ δ' ἂν ἀφέρπῃ, 47
χὠ ποιμὴν ξηρὸς τηνόθι χαἰ βοτάναι. 44

ΔΑΦΝΙΣ.

Παντᾷ ἔαρ, παντᾷ δὲ νομοί, παντᾷ δὲ γάλακτος 41
οὔθατα πιδῶσιν, καὶ τὰ νέα τρέφεται, 42
ἔνθα καλὰ Ναῒς ἐπινίσσεται· αἰ δ' ἂν ἀφέρπῃ, 43
χὠ τὰς βῶς βόσκων χαἰ βόες αὐότεραι.

ΜΕΝΑΛΚΑΣ.

Ὦ τράγε, τᾶν λευκᾶν αἰγῶν ἄνερ, ὦ βάθος ὕλας

---

* *Χοἱ μὲν παῖδες ἄειδον, ὁ δ' αἰπόλος ἤθελε κρίνειν.* 29

μυρίον, ὦ σιμαὶ δεῦτ' ἐφ' ὕδωρ ἔριφοι·
ἐν τήνῳ γὰρ τῆνος· ἴθ' „ὦ καλὲ“ καὶ λέγε „Μίλων,
ὁ Πρωτεὺς φώκας καὶ θεὸς ὢν ἔνεμε.“

ΔΑΦΝΙΣ.

* * * * * * * *
* * * * * * * *
* * * * * * * *
* * * * * * * *

ΜΕΝΑΛΚΑΣ.

Μή μοι γᾶν Πέλοπος, μή μοι Κροίσεια τάλαντα
εἴη ἔχειν, μηδὲ πρόσθε θέειν ἀνέμων·
ἀλλ' ὑπὸ τᾷ πέτρα τᾷδ' ᾄσομαι ἀγκὰς ἔχων τυ,
σύννομα μᾶλ' ἐσορῶν τὰν Σικελάν τ' ἐς ἅλα.

ΔΑΦΝΙΣ.

Δένδρεσι μὲν χειμὼν φοβερὸν κακόν, ὕδασι δ' αὐχ-
μός,
ὄρνισιν δ' ὕσπλαγξ, ἀγροτέροις δὲ λίνα,
ἀνδρὶ δὲ παρθενικᾶς ἁπαλᾶς πόθος. ὦ πάτερ ὦ Ζεῦ,
οὐ μόνος ἠράσθην· καὶ τὺ γυναικοφίλας.

Ταῦτα μὲν ὦν δι' ἀμοιβαίων οἱ παῖδες ἄεισαν·
τᾶν πυματᾶν δ' ᾠδᾶν οὕτως ἐξᾶρχε Μενάλκας.

ΜΕΝΑΛΚΑΣ.

Φείδευ τᾶν στερίφων, φείδευ λύκε τᾶν τοκάδων μευ,
μηδ' ἀδίκει μ', ὅτι μικκὸς ἐὼν πολλαῖσιν ὁμαρτέω.
Ὦ Λάμπουρε κύον, οὕτω βαθὺς ὕπνος ἔχει τυ;
οὐ χρὴ κοιμᾶσθαι βαθέως σὺν παιδὶ νέμοντα.
Ταὶ δ' ὄϊες, μηδ' ὑμὲς ὀκνεῖθ' ἁπαλᾶς κορέσασθαι
ποίας· οὔτι καμεῖσθ', ὄκκα πάλιν ἅδε φύηται.
Σίττα νέμεσθε νέμεσθε, τὰ δ' οὔθατα πλήσατε πᾶσαι,
ὡς τὸ μὲν ὥρνες ἔχωντι, τὸ δ' ἐς ταλάρως ἀποθῶμαι.

Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ' ἀείδεν·

ΔΑΦΝΙΣ.

Κἤμ' ἐκ τῶ ἄντρω σύνοφρυς κόρα ἐχθὲς ἰδοῖσα
τὰς δαμάλας παρελᾶντα καλὸν καλὸν εἶμεν ἔφασκεν·

Οὐ μὰν οὐδὲ λόγον ἐκρίθην ἄπο τὸν πικρὸν αὐτᾷ,
ἀλλὰ κάτω βλέψας τὰν ἁμετέραν ὁδὸν εἷρπον.

Ἁδεῖ' ἁ φωνὰ τᾶς πόρτιος, ἁδὺ τὸ πνεῦμα·
ἁδὺ δὲ χἁ θέρεος παρ' ὕδωρ ῥέον αἰθριοκοιτεῖν.

Τᾷ δρυῒ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα,
τᾷ βοῒ δ' ἁ μόσχος, τῷ βουκόλῳ αἱ βόες αὐταί.

Ὣς οἱ παῖδες ἄεισαν, ὁ δ' αἰπόλος ὧδ' ἀγόρευεν·
„ἁδύ τι τὸ στόμα τοι καὶ ἐφίμερος ὦ Δάφνι φωνά.
κρέσσον μελπομένω τευ ἀκουέμεν ἢ μέλι λείχειν.
λάζεο τᾶς σύριγγος· ἐνίκασας γὰρ ἀείδων.
αἰ δέ τι λῇς με καὶ αὐτὸν ἅμ' αἰπολέοντα διδάξαι,
τήναν τὰν μιτύλαν δωσῶ τα δίδακτρά τοι αἶγα,
ἅτις ὑπὲρ κεφαλᾶς αἰεὶ τὸν ἀμολγέα πληροῖ.“

Ὣς μὲν ὁ παῖς ἐχάρη καὶ ἀνάλατο καὶ πλατάγησε
νικάσας, οὕτω κ' ἐπὶ ματέρι νεβρὸς ἅλοιτο.
ὡς δὲ κατεσμύχθη καὶ ἀνετράπετο φρένα λύπᾳ
ὥτερος, οὕτω κα νύμφα δμαθεῖσ' ἀκάχοιτο.
κἠκ τούτω πρᾶτος παρὰ ποιμέσι Δάφνις ἔγεντο,
καὶ Νύμφαν ἄκρηβος ἐὼν ἔτι Ναΐδα γᾶμεν.

ἁδὺ δὲ χὡ μόσχος γαρύεται, ἁδὺ δὲ χἁ βῶς.

Idyll. IX.*

Βουκολιασταὶ Δάφνις καὶ Μενάλκας.

Βουκολιάζεο Δάφνι, τὺ δ' ᾠδᾶς ἄρχεο πρᾶτος,
ᾠδᾶς ἄρχεο Δάφνι, συναψάσθω δὲ Μενάλκας,
μόσχως βουσὶν ὑφέντες, ὑπὸ στείραισι δὲ ταύρως.
χοῖ μὲν ἁμᾶ βόσκοιντο καὶ ἐν φύλοισι πλανῷντο
μηδὲν ἀτιμαγελεῦντες· ἐμὶν δὲ τὺ βουκολιάζευ
ἔκ ποθεν, ἄλλοθε δ' αὖτις ὑποκρίνοιτο Μενάλκας.

ΔΑΦΝΙΣ.

Ἁδὺ μὲν ἁ μόσχος γαρύεται, ἁδὺ δὲ χἁ βῶς,
ἁδὺ δὲ χἁ σῦριγξ, χὡ βουκόλος ἁδὺ δὲ κἠγών.
ἔστι δέ μοι παρ' ὕδωρ ψυχρὸν στιβάς, ἐν δὲ νένασται
λευκᾶν ἐκ δαμαλᾶν καλὰ δέρματα, τάς μοι ἁπάσας
λὶψ κόμαρον τρωγοίσας ἀπὸ σκοπιᾶς ἐτίναξε.
τῶ δὲ θέρευς φρύγοντος ἐγὼ τόσσον μελεδαίνω,
ὅσσον ἐρῶν τι πατρὸς μύθων καὶ ματρὸς ἀκούει.

Οὕτως Δάφνις ἄεισεν ἐμίν, οὕτως δὲ Μενάλκας.

ΜΕΝΑΛΚΑΣ.

Αἴτνα μᾶτερ ἐμά, κἠγὼ καλὸν ἄντρον ἐνοικέω
κοίλαις ἐν πέτρῃσιν· ἔχω δέ τοι, ὅσσ' ἐν ὀνείρῳ
φαίνονται, πολλὰς μὲν ὄϊς, πολλὰς δὲ χιμαίρας,
ὧ μοι πρὸς κεφαλᾷ καὶ πρὸς ποσὶ κώεα κεῖται.
ἐν πυρὶ δὲ δρυΐνῳ χόρια ζέει, ἐν πυρὶ δ' αὖαι
φαγοὶ χειμαίνοντος· ἔχω δέ τοι οὐδ' ὅσον ὤραν
χείματος ἢ νωδὸς καρύων ἀμύλοιο παρόντος.

Τοῖς μὲν ἐπεπλατάγησα καὶ αὐτίκα δῶρον ἔδωκα,
Δάφνιδι μὲν κορύναν, τάν μοι πατρὸς ἔτραφεν ἀγρός,
αὐτοφυῆ, τὰν δ' οὐδ' ἂν ἴσως μωμάσατο τέκτων,
τήνῳ δὲ στρόμβω καλὸν ὄστρακον, ὧ κρέας αὐτός

σιτήθην πέτρῃσιν ἐν Ὑκαρίῃσι δοκεύσας,
πέντε ταμὼν πέντ' οὖσιν· ὃ δ' ἐγκαγχάσατο κόχλῳ.

* * *

* *

Βουκολικαὶ Μοῖσαι μάλα χαίρετε, φαίνετε δ' ᾠδάς,
τάς ποκ' ἐγὼ κείνοισι παρὼν ἄεισα νομεῦσι,
μηκέτ' ἐπὶ γλώσσας ἄκρας ὀλοφυγγόνα φύσω.
τέττιξ μὲν τέττιγι φίλος, μύρμακι δὲ μύρμαξ,
ἴρακες δ' ἴραξιν, ἐμὶν δ' ἁ μοῖσα καὶ ᾠδά.
τᾶς μοι πᾶς εἴη πλεῖος δόμος. οὔτε γὰρ ὕπνος
οὔτ' ἔαρ ἐξαπίνας γλυκερώτερον, οὔτε μελίσσαις
ἄνθεα· τόσσον ἐμὶν Μοῖσαι φίλαι. ὡς μὲν ὁρῆτε
γαθεῦσιν, τὼς δ' οὔτι ποτῷ δαλήσατο Κίρκη.

Idyll. X.

Ἐργατίναι ἢ Θερισταί.

ΜΙΛΩΝ.

Ἐργατίνα βουκαῖε, τί νυν ᾠζυρὲ πεπόνθεις;
οὔτ' ὦν ὄγμον ἄγειν ὀρθὸν δύνᾳ, ὡς τὸ πρὶν ἄγες,
οὔθ' ἅμα λᾳοτομεῖς τῷ πλατίον, ἀλλ' ἀπολείπῃ
ὥσπερ ὄϊς ποίμνας, ἅς τὸν πόδα κάκτος ἔτυψε.
ποῖός τις δειλαῖε καὶ ἐκ μέσω ἅματος ἐσσῇ,
ὃς νῦν ἀρχομένω τᾶς αὔλακος οὐκ ἀποτρώγεις;

ΒΑΤΤΟΣ.

Μίλων ὀψαμᾶτα, πέτρας ἀπόκομμ' ἀτεράμνω,
οὐδαμά τοι συνέβα ποθέσαι τινὰ τῶν ἀπεόντων;

ΜΙΛΩΝ.

Οὐδαμά. τίς δὲ πόθος τῶν ἔκτοθεν ἐργάτᾳ ἀνδρί;

ΒΑΤΤΟΣ.

Οὐδαμά νυν συνέβα τοι ἀγρυπνῆσαι δι' ἔρωτα;

ΜΙΛΩΝ.

Μηδέ γε συμβαίη· χαλεπὸν χορίω κύνα γεῦσαι.

ΒΑΤΤΟΣ.

Ἀλλ' ἐγὼ ὦ Μίλων ἔραμαι σχεδὸν ἐνδεκαταῖος.

ΜΙΛΩΝ.

Ἐκ πίθω ἀντλεῖς δῆλον· ἐγὼ δ' ἔχω οὐδ' ἅλις ὄξος.

ΒΑΤΤΟΣ.

Τοιγάρτοι πρὸ θυρᾶν μοι ἀπὸ σπόρω ἄσκαλα πάντα.

ΜΙΛΩΝ.

Τίς δέ τυ τᾶν παίδων λυμαίνεται;

ΒΑΤΤΟΣ.

Ἁ Πολυβώτα,
ἃ πρᾶν ἀμάντεσσι παρ' Ἱπποτίωνι ποταύλει.

ΜΙΛΩΝ.

Εὗρε θεὸς τὸν ἀλιτρόν· ἔχεις, πάλαι ὧν ἐπεθύμεις.
μάντίς τοι τὰν νύκτα χροΐξεται ἁ καλαμαία.

ΒΑΤΤΟΣ.

Μωκᾶσθαί μ' ἄρχῃ τύ; τυφλὸς δ' οὐκ αὐτὸς ὁ Πλοῦτος,
ἀλλὰ καὶ ὡφρόντιστος Ἔρως. μὴ δὴ μέγα μυθεῦ.

ΜΙΛΩΝ.

Οὐ μέγα μυθεῦμαι· τὺ μόνον κατάβαλλε τὸ λᾷον,
καί τι κόρας φιλικὸν μέλος ἀμβάλευ. ἅδιον οὕτως
ἐργαξῇ· καὶ μὰν πρότερόν ποκα μουσικὸς ἦσθα.

ΒΑΤΤΟΣ.
(Ὠιδή.)

Μῶσαι Πιερίδες, συναείσατε τὰν ῥαδινάν μοι
παῖδ'· ὧν γάρ χ' ἅψησθε θεαί, καλὰ πάντα ποεῖτε.

Βομβύκα χαρίεσσα, Σύραν καλέοντί τυ πάντες,
ἰσχνὰν ἁλιόκαυστον, ἐγὼ δὲ μόνος μελίχλωρον.

Καὶ τὸ ἴον μέλαν ἐστὶ καὶ ἁ γραπτὰ ὑάκινθος,
ἀλλ' ἔμπας ἐν τοῖς στεφάνοις τὰ πρᾶτα λέγονται.

Ἁ αἶξ τὰν κύτισον, ὁ λύκος τὰν αἶγα διώκει,
ἁ γέρανος τὤροτρον, ἐγὼ δ' ἐπὶ τὶν μεμάνημαι.

Αἴθέ μοι ἦς, ὅσσα Κροῖσόν ποκα φαντὶ πεπᾶσθαι,
χρύσεοι ἀμφότεροί κ' ἀνεκείμεθα τᾷ Ἀφροδίτᾳ,

Τὼς αὐλὼς μὲν ἔχοισα καὶ ἢ ῥόδον ἢ μᾶλον τύ,
σχῆμα δ' ἐγὼ καὶ καινὰς ἐπ' ἀμφοτέροισιν ἀμύκλας.

Βομβύκα χαρίεσσ', οἱ μὲν πόδες ἀστράγαλοί τευς
ἁ φωνὰ δὲ τρύχνος· τὸν μὰν τρόπον οὐκ ἔχω εἰπεῖν.

ΜΙΛΩΝ.

Ἦ καλὰς ἁμὲ ποῶν ἐλελάθη βοῦκος ἀοιδάς.
ὡς εὖ τὰν ἰδέαν τᾶς ἁρμονίας ἐμέτρησεν.
ὤμοι τῶ πώγωνος, ὃν ἀλιθίως ἀνέφυσα.
θᾶσαι δὴ καὶ ταῦτα τὰ τῶ θείω Λιτυέρσα.

(Ὠιδή.)

Δάματερ πολύκαρπε πολύσταχυ, τοῦτο τὸ λᾷον
εὔεργόν τ' εἴη καὶ κάρπιμον ὅττι μάλιστα.

Σφίγγετ' ἀμαλλοδέται τὰ δράγματα, μὴ παριών τις
εἴποι· „σύκινοι ἄνδρες, ἀπώλετο χοὖτος ὁ μισθός.“

Ἐς βορέην ἄνεμον τᾶς κόρθυος ἁ τομὰ ὔμιν
ἢ ζέφυρον βλεπέτω· πιαίνεται ὁ στάχυς οὕτως.

Σῖτον ἀλοιῶντας φεύγειν τὸ μεσαμβρινὸν ὕπνον·
ἐκ καλάμας ἄχυρον τελέθει τημόσδε μάλιστα.

Ἄρχεσθαι δ' ἀμῶντας ἐγειρομένω κορυδαλλῶ,
καὶ λήγειν εὕδοντος, ἐλινῦσαι δὲ τὸ καῦμα.

Εὐκτὸς ὁ τῶ βατράχω παῖδες βίος· οὐ μελεδαίνει
τὸν τὸ πιεῖν ἐγχεῦντα· πάρεστι γὰρ ἄφθονον αὐτῷ.
Κάλλιον ὠπιμελητὰ φιλάργυρε τὸν φακὸν ἕψειν·
μὴπιτάμῃς τὰν χεῖρα καταπρίων τὸ κύμινον.

Ταῦτα χρὴ μοχθεῦντας ἐν ἀλίῳ ἄνδρας ἀείδειν,
τὸν δὲ τεὸν βουκαῖε πρέπει λυμηρὸν ἔρωτα
μυθίσδεν τᾷ ματρὶ κατ' εὐνὰν ὀρθρευοίσᾳ.

Idyll. XI.

Κ ύ κ λ ω ψ.

Οὐδὲν πὸτ τὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο
Νικία οὔτ' ἔγχριστον, ἐμὶν δοκεῖ, οὐδ' ἐπίπαστον,
ἢ ταὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἁδὺ
γίνετ' ἐπ' ἀνθρώπως, εὑρεῖν δ' οὐ ῥᾴδιόν ἐστι.
γινώσκειν δ' οἶμαί τυ καλῶς ἰατρὸν ἐόντα
καὶ ταῖς ἐννέα δὴ πεφιλημένον ἔξοχα Μοίσαις.
οὕτω γῶν ῥᾴϊστα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἁμίν,
ὡρχαῖος Πολύφαμος, ὅκ' ἤρατο τᾶς Γαλατείας,
ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε.
ἤρατο δ' οὐ μάλοις οὐδὲ ῥόδῳ οὐδὲ κικίννοις,
ἀλλ' ὀρθαῖς μανίαις, ἁγεῖτο δὲ πάντα πάρεργα.
πολλάκι ταὶ ὄϊες ποτὶ τωὔλιον αὐταὶ ἀπῆνθον
χλωρᾶς ἐκ βοτάνας· ὁ δὲ τὰν Γαλάτειαν ἀείδων
αὐτεῖ ἐπ' ἀϊόνος κατετάκετο φυκιοέσσας
ἐξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος.

Κύπριδος ἐκ μεγάλας τό οἱ ἥπατι πᾶξε βέλεμνον.

ἀλλὰ τὸ φάρμακον εὗρε, καθεζόμενος δ' ἐπὶ πέτρας 17
ὑψηλᾶς ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα.

(Ὠιδή.)

α΄ Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ' ἀποβάλλῃ
μόσχω γαυροτέρα, σφηλωτέρα ὄμφακος ὠμᾶς, 21
φοιτῇς δ' αὖθ' οὕτως, ὄκκα γλυκὺς ὕπνος ἔχῃ με,
οἴχῃ δ' εὐθὺς ἰοῖσ', ὄκκα γλυκὺς ὕπνος ἀνῇ με,
φεύγεις δ' ὥσπερ ὄϊς πολιὸν λύκον ἀθρήσασα;

α΄ Ἠράσθην μὲν ἔγωγα τεοῦς κόρα, ἁνίκα πρᾶτον 25
ἦνθες ἐμᾷ σὺν ματρὶ θέλοισ' ὑακίνθινα φύλλα
ἐξ ὄρεος δρέψασθαι, ἐγὼ δ' ὁδὸν ἁγεμόνευον.
παύσασθαι δ' ἐσιδών τυ καὶ ὕστερον οὐδ' ἔτι πᾳ νῦν
ἐκ τήνω δύναμαι· τὶν δ' οὐ μέλει, οὐ μὰ Δί' οὐδέν.

β΄ Γινώσκω χαρίεσσα κόρα, τίνος ὥνεκα φεύγεις· 30
ὥνεκά μοι λασία μὲν ὀφρῦς ἐπὶ παντὶ μετώπῳ
ἐξ ὠτὸς τέταται ποτὶ θὤτερον ὡς μία μακρά,
εἷς δ' ὀφθαλμὸς ὕπεστι, πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.

β΄ Ἀλλ' οὗτος τοιοῦτος ἐὼν βοτὰ χίλια βόσκω,
κἠκ τούτων τὸ κράτιστον ἀμελγόμενος γάλα πίνω· 35
τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρᾳ,
οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.

β΄ Συρίσδεν δ' ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,
τὶν τὸ φίλον μελίμαλον ἁμᾷ κἠμαυτὸν ἀείδων
πολλάκι νυκτὸς ἀωρί. τράφω δέ τοι ἕνδεκα νεβρὼς 40
πάσας μαννοφόρως καὶ σκύμνως τέσσαρας ἄρκτων.

β΄ Ἀλλ' ἀφίκευ τὺ ποθ' ἁμέ, καὶ ἑξεῖς οὐδὲν ἔλασσον,
τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθεῖν.
ἅδιον ἐν τὤντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς. 44
τίς κα τῶνδε θάλασσαν ἑκὼν καὶ κύμαθ' ἕλοιτο; 48

λευκοτέρα πακτᾶς ποτιδεῖν, ἁπαλωτέρα ἀρνός, 20

β' Ἐντὶ δάφναι τηνεῖ, ἐντὶ ῥαδιναὶ κυπάρισσοι, 46
ἔστι μέλας κισσός, ἔστ' ἄμπελος ἁ γλυκύκαρπος,
ἔστι ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
λευκᾶς ἐκ χιόνος ποτὸν ἀμβρόσιον προΐητι. 48

β' Αἰ δέ τοι αὐτὸς ἐγὼν δοκέω λασιώτερος εἶμεν, 50
ἐντὶ δρυὸς ξύλα μοι καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ·
καιόμενος δ' ὑπὸ τεῦς καὶ τὰν ψυχὰν ἀνεχοίμαν
καὶ τὸν ἕν' ὀφθαλμόν, τῶ μοι γλυκερώτερον οὐδέν.

β' Ὤμοι, ὅτ' οὐκ ἔτεκέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα,
ὡς κατέδυν ποτὶ τὶν καὶ τὰν χέρα τευς ἐφίλησα, 55
αἰ μὴ τὸ στόμ' ἔλης, ἔφερον δέ τοι ἢ κρίνα λευκά
ἢ μάκων' ἁπαλὰν ἐρυθρὰ πλαταγώνι' ἔχοισαν.

β' Ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι. 58
νῦν μὰν ὦ κόριον, νῦν αὖ τό γα νεῖν μασεῦμαι, 60
εἴ τίς κα σὺν ναΐ πλέων ξένος ὧδ' ἀφίκηται,
ὡς εἰδῶ τι, πόθ' ἁδὺ κατοικεῖν τὸν βυθὸν ὑμίν.

β' Ἐξένθοις Γαλάτεια καὶ ἐξενθοῖσα λάθοιο
ὥσπερ ἐγὼν νῦν ὧδε καθήμενος οἴκαδ' ἀπενθεῖν.
ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα καὶ γάλ' ἀμέλγειν 65
καὶ τυρὸν πᾶξαι τάμισον δριμεῖαν ἐνεῖσα.

γ' Ἁ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·
οὐδὲν πήποχ' ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπέρ μευ,
καὶ ταῦτ' ἆμαρ ἐπ' ἆμαρ ὁρῶσά με λεπτύνοντα.
φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μευ 70
σφύζειν, ὡς ἀνιαθῇ, ἐπεὶ κἠγὼν ἀνιῶμαι.

γ' Ὦ Κύκλωψ Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
αἴκ' ἐνθὼν ταλάρως τε πλέκοις καὶ θαλλὸν ἀμάσας
ταῖς ἄρνεσσι φέροις, τάχα κα πολὺ μᾶλλον ἔχοις νῶν.

ὥστ' οὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην. 59

τὰν παρεοῖσαν ἄμελγε. τί τὸν φεύγοντα διώκεις;
εὑρησεῖς Γαλάτειαν ἴσως καὶ καλλίον' ἄλλαν.

δ' Πολλαὶ συμπαίσδέν με κόραι τὰν νύκτα κέλονται,
κιχλίζοντι δὲ πᾶσαι, ἐπεί κ' αὐταῖς ἐπακούσω.
δῆλον ὅτ' ἐν τᾷ γᾷ κἠγὼν τὶς φαίνομαι εἶμεν.

Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα
μουσίσδων, ῥᾷον δὲ διᾶγ' ἢ εἰ χρυσὸν ἔδωκεν.

Idyll. XII.

Ἀ ἴ τ η ς.

α' Ἤλυθες ὦ φίλε κοῦρε; τρίτῃ σὺν νυκτὶ καὶ ἠοῖ
ἤλυθες; οἱ δὲ ποθεῦντες ἐν ἤματι γηράσκουσιν.

β' Ὅσσον ἔαρ χειμῶνος, ὅσον μῆλον βραβίλοιο
ἥδιον, ὅσσον ὄϊς σφετέρης λασιωτέρη ἀρνός,
ὅσσον παρθενικὴ προφέρει τριγάμοιο γυναικός,
ὅσσον ἐλαφροτέρη μόσχου νεβρός, ὅσσον ἀηδὼν
συμπάντων λιγύφωνος ἀοιδοτάτη πετεηνῶν,
τόσσον ἔμ' εὔφρηνας σὺ φανείς, σκιερὴν δ' ὑπὸ φηγόν
ἠελίου φρύγοντος ὁδοιπόρος ἔδραμεν ὥς τις.

β' Εἴθ' ὁμαλοὶ πνεύσειαν ἐπ' ἀμφοτέροισιν Ἔρωτες
νῶϊν, ἐπεσσομένοις δὲ γενοίμεθα πᾶσιν ἀοιδή.
„δίω δή τινε τῶδε μετὰ προτέροισι γενέσθην
φῶθ', ὃ μὲν ἴσπνιλος, φαίη χ' ὁ Ἀμυκλαϊάζων,
τὸν δ' ἕτερον πάλιν ὥς κεν ὁ Θεσσαλὸς εἴποι ἀΐτην.

ἀλλήλους δ' ἐφίλησαν ἴσῳ ζυγῷ. ἦρα τότ' ἔσσαν
χρύσειοι πάλιν ἄνδρες, ὅτ' ἀντεφίλησ' ὁ φιληθείς.“

γ' Εἰ γὰρ τοῦτο πάτερ Κρονίδη πέλοι, εἰ γὰρ ἀγήρῳ
ἀθάνατοι, γενεῆς δὲ διηκοσίῃσιν ἔπειτα
ἀγγείλειεν ἐμοί τις ἀνέξοδον εἰς Ἀχέροντα·
„ἡ σὴ νῦν φιλότης καὶ τοῦ χαρίεντος ἀΐτεω
πᾶσι διὰ στόματος, μετὰ δ' ἠιθέοισι μάλιστα.“

γ' Ἀλλ' ἤτοι τούτων μὲν ὑπέρτεροι Οὐρανίωνες
ἔσσονθ' ὡς ἐθέλουσιν· ἐγὼ δέ σε τὸν καλὸν αἰνέων
ψεύδεα ῥινὸς ὕπερθεν ἀραιῆς οὐκ ἀναφύσω.
ἢν γάρ καί τι δάκῃς, τὸ μὲν ἀβλαβὲς εὐθὺς ἔθηκας,
διπλάσιον δ' ὤνησας, ἔχων δ' ἐπίμετρον ἀπῆλθον.

δ' Νισαῖοι Μεγαρῆες ἀριστεύοντες ἐρετμοῖς,
ὄλβιοι οἰκείοιτε, τὸν Ἀττικὸν ὡς περίαλλα
ξεῖνον ἐτιμήσασθε Διοκλέα τὸν φιλόπαιδα.

ε' Αἰεί οἱ περὶ τύμβον ἀολλέες εἴαρι πρώτῳ
κοῦροι ἐριδμαίνουσι φιλήματος ἄκρα φέρεσθαι.
ὃς δέ κε προσμάξῃ γλυκερώτερα χείλεσι χείλη,
βριθόμενος στεφάνοισιν ἑὴν ἐς μητέρ' ἀπῆλθεν.

ε' Ὄλβιος, ὅστις παισὶ φιλήματα κεῖνα διαιτᾷ.
ἦ πῃ τὸν χαροπὸν Γανυμήδεα πόλλ' ἐπιβῶται
Λυδίῃ ἶσον ἔχειν πέτρῃ στόμα, χρυσὸν ὁποίῃ
πεύθονται, μὴ φαῦλος ἐτήτυμον, ἀργυραμοιβοί.

Idyll. XIII.

Ὕλας.

Οὐχ ἁμὶν τὸν Ἔρωτα μόνοις ἔτεχ᾽, ὡς ἐδοκεῦμες,
Νικία, ᾧτινι τοῦτο θεῶν ποκα τέκνον ἔγεντο·
οὐχ ἁμὶν τὰ καλὰ πράτοις καλὰ φαίνεται εἶμεν,
οἳ θνατοὶ πελόμεσθα, τὸ δ᾽ αὔριον οὐκ ἐσορῶμες·
ἀλλὰ καὶ ὁ Ἀμφιτρύωνος ὁ χαλκεοκάρδιος υἱός,
ὃς τὸν λῖν ὑπέμεινε τὸν ἄγριον, ἤρατο παιδός,
τοῦ χαρίεντος Ὕλα, τοῦ τὰν πλοκαμῖδα φορεῦντος,
καί νιν πάντ᾽ ἐδίδαξε πατὴρ ὡσεὶ φίλον υἱέα,
ὅσσα μαθὼν ἀγαθὸς καὶ ἀοίδιμος αὐτὸς ἔγεντο·
χωρὶς δ᾽ οὐδέποκ᾽ ἦς, οὔτ᾽ εἰ μέσον ἆμαρ ὄροιτο,
οὔτ᾽ ἄρ᾽ ὅχ᾽ ἁ λεύκιππος ἀνατρέχοι ἐς Διὸς Ἀώς,
οὐδ᾽ ὁπόκ᾽ ὀρτάλιχοι μινυροὶ ποτὶ κοῖτον ὁρῷεν,
σεισαμένας πτερὰ ματρὸς ἐπ᾽ αἰθαλόεντι πεταύρῳ,
ὡς αὐτῷ κατὰ θυμὸν ὁ παῖς πεποναμένος εἴη,
αὐτοῦ δ᾽ εὖ εἴκων ἐς ἀλαθινὸν ἄνδρ᾽ ἀποβαίη.
ἀλλ᾽ ὅτε τὸ χρύσειον ἔπλει μετὰ κῶας Ἰήσων
Αἰσονίδας, οἱ δ᾽ αὐτῷ ἀριστῆες συνέποντο
πασᾶν ἐκ πολίων προλελεγμένοι, ὧν ὄφελός τι,
ἵκετο χὡ ταλαεργὸς ἀνὴρ ἐς ἀφνειὸν Ἰωλκόν,
Ἀλκμήνης υἱὸς Μιδεάτιδος ἡρωίνης,
σὺν δ᾽ αὐτῷ κατέβαινεν Ὕλας εὔανδρον ἐς Ἀργώ.
ἆμος δ᾽ ἀντέλλοντι Πελειάδες, ἐσχατιαὶ δέ
ἄρνα νέον βόσκοντι, τετραμμένου εἴαρος ἤδη,
τᾶμος ναυτιλίας μιμνάσκετο θεῖος ἄωτος
ἡρώων, κοίλαν δὲ καθιδρυθέντες ἐς Ἀργώ

ἅτις κυανεᾶν οὐχ ἥψατο συνδρομάδων ναυς,
ἀλλὰ διεξάϊξε, βαθὺν δ᾽ εἰσέδραμε Φᾶσιν,
αἰετὸς ὣς μέγα λαῖτμα, ἀφ᾽ ου τότε χοιράδες ἔσταν.

Ἑλλάσποντον ἵκοντο νότῳ τρίτον ἆμαρ ἀέντι,
εἴσω δ' ὅρμον ἔθεντο Προποντίδος, ἔνθα Κιανάν
αὔλακας εὐθύνοντι βόες τρίβοντες ἀρότρῳ.
ἐκβάντες δ' ἐπὶ θῖνα κατὰ ζυγὰ δαῖτα πένοντο
δειελινήν, πολλοὶ δὲ μίαν στορέσαντο χαμεύναν.
λειμὼν γάρ σφιν ἔκειτο, μέγα στιβάδεσσιν ὄνειαρ,
ἔνθεν βούτομον ὀξὺ βαθύν τ' ἐτάμοντο κύπειρον.
κῴχεθ' Ὕλας ὁ ξανθὸς ὕδωρ ἐπιδόρπιον οἰσῶν
αὐτῷ θ' Ἡρακλῆϊ καὶ ἀστεμφεῖ Τελαμῶνι,
οἳ μίαν ἀμφ' ἕταροι αἰεὶ δαίνυντο τράπεζαν,
χάλκεον ἄγγος ἔχων. τάχα δὲ κράναν ἐνόησεν
ἡμένῳ ἐν χώρῳ· περὶ δὲ θρύα πολλὰ πεφύκη,
κυάνεόν τε χελιδόνιον χλωρόν τ' ἀδίαντον
καὶ θάλλοντα σέλινα καὶ εἰλιτενὴς ἄγρωστις.
ὕδατι δ' ἐν μέσσῳ Νύμφαι χορὸν ἀρτίζοντο,
Νύμφαι ἀκοίμητοι, δειναὶ θεαὶ ἀγροιώταις,
Εὐνείκα καὶ Μαλὶς ἔαρ θ' ὁρόωσα Νύχεια.
ἤτοι ὁ κοῦρος ἐπεῖχε ποτῷ πολυχανδέα κρωσσόν
βάψαι ἐπειγόμενος, ταὶ δ' ἐν χερὶ πᾶσαι ἔφυσαν·
πασάων γὰρ ἔρως ἁπαλὰς φρένας ἐξεσόβησεν
Ἀργείῳ ἐπὶ παιδί. κατήριπε δ' ἐς μέλαν ὕδωρ
ἀθρόος, ὡς ὅτε πυρσὸς ἀπ' οὐρανοῦ ἤριπεν ἀστήρ
ἀθρόος ἐν πόντῳ, ναύταις δέ τις εἶπεν ἑταίροις
„κουφότερ' ὦ παῖδες ποιεῖσθ' ὅπλα· πλευστικὸς οὖρος."
Νύμφαι μὲν σφετέροις ἐπὶ γούνασι κοῦρον ἔχοισαι
δακρυόεντ' ἀγανοῖσι παρέψηχον μελέεσσιν.
Ἀμφιτρυωνιάδας δὲ ταρασσόμενος περὶ παιδί
ᾤχετο, Μαιωτιστὶ λαβὼν εὐκαμπέα τόξα
καὶ ῥόπαλον, τό οἱ αἰὲν ἐχάνδανε δεξιτερὴ χείρ.
τρὶς μὲν Ὕλαν ἄϋσεν, ὅσον βαθὺς ἤρυγε λαιμός·
τρὶς δ' ἄρ' ὁ παῖς ὑπάκουσεν, ἀραιὰ δ' ἵκετο φωνά

ἐξ ὕδατος, παρεὼν δὲ μάλα σχεδὸν εἴδετο πόρρω.
ὡς δ' ὁπότ' ἠϋγένειος ἀπόπροθι λῖς ἐσακούσας
νεβροῦ φθεγξαμένας τις ἐν οὔρεσιν, ὠμοφάγος λῖς
ἐξ εὐνᾶς ἔσπευσεν ἑτοιμοτάταν ἐπὶ δαῖτα,
Ἡρακλέης τοιοῦτος ἐν ἀτρίπτοισιν ἀκάνθαις
παῖδα ποθῶν δεδόνητο, πολὺν δ' ἐπελάμβανε χῶρον.
σχέτλιοι οἱ φιλέοντες, ἀλώμενος ὅσσ' ἐμόγησεν
οὔρεα καὶ δρυμούς, τὰ δ' Ἰήσονος ὕστερα πάντ' ἧς.
ναῦς μὰν ἅρμεν' ἔχοισα μεταρσία ἇπερ ἰόντων,
ἱστία δ' ἡμίθεοι μεσονύκτιον ἕστε καθεῖργον
Ἡρακλῆα μένοντες. ὃ δ' ᾇ πόδες ἆγον ἐχώρει
μαινόμενος· χαλεπὸς γὰρ ἔσω θεὸς ἧπαρ ἄμυσσεν.
οὕτω μὲν κάλλιστος Ὕλας μακάρων ἀμιθρεῖται·
Ἡρακλέα δ' ἥρωες ἐκερτόμεον λιποναύταν,
οὕνεκεν ἠρώησε τριακοντάζυγον Ἀργώ,
πεζᾷ δ' εἰς Κόλχους τε καὶ ἄξενον ἵκετο Φᾶσιν.

Idyll. XIV.

Κυνίσκας ἔρως ἢ Θυώνιχος.

ΑΙΣΧΙΝΗΣ.

Χαίρειν πολλὰ τὸν ἄνδρα Θυώνιχον.

ΘΥΩΝΙΧΟΣ.

Ἄλλα τοιαῦτα Αἰσχίνᾳ.

ΑΙΣΧΙΝΗΣ.

Ὡς χρόνιος.

ΘΥΩΝΙΧΟΣ.

Χρόνιος; τί δέ τοι τὸ μέλημα;

ΑΙΣΧΙΝΗΣ.

Πράσσομες οὐχ ὡς λῷστα Θυώνιχε.

ΘΥΩΝΙΧΟΣ.

Ταῦτ' ἄρα λεπτός,
χὠ μύσταξ πολὺς οὗτος, ἅμ' αὐαλέοι δὲ κίκιννοι.
τοιοῦτος πρώαν τις ἀφίκετο Πυθαγορικτάς,
ὠχρὸς κἀνυπόδητος· Ἀθηναῖος δ' ἔφατ' εἶμεν.
ἤρατο μὰν καὶ τῆνος, ἐμὶν δοκεῖ, ὀπτῶ ἀλεύρω.

ΑΙΣΧΙΝΗΣ.

Παίσδεις ὦγάθ' ἔχων· ἐμὲ δ' ἁ χαρίεσσα Κυνίσκα
ὑβρίσδει· λασῶ δὲ μανεὶς ποκα, θρὶξ ἀνὰ μέσσον.

ΘΥΩΝΙΧΟΣ.

τοιοῦτος μὲν ἀεὶ τὺ φίλ' Αἰσχίνα, ἁσυχᾶ ὀξύς,
πάντ' ἐθέλων κατ' ἄκαιρον· ὅμως δ' εἶπον, τί τὸ καινόν;

ΑΙΣΧΙΝΗΣ.

ὁ Ἀργεῖος κἠγὼν καὶ ὁ Θεσσαλὸς ἱπποδιώκτας
Ἆπις καὶ Κλεύνικος ἐπίνομες ὁ στρατιώτας
ἐν χώρῳ παρ' ἐμίν. δύο μὲν κατέκοψα νεοσσώς
θηλάζοντά τε χοῖρον, ἀνῷξα δὲ βίβλινον αὐτοῖς
εὐώδη τετόρων ἐτέων. σχεδὸν ὡς ἀπὸ λανῶ
βοῦβός τις κοχλίας ἐξαιρέθη. ἧς πότος ἁδύς.
ἤδη δὲ προϊόντος, ἔδοξ' ἐπιχεῖσθαι ἄκρατον
ὧτινος ἤθελ' ἕκαστος· ἔδει μόνον ὧτινος εἰπεῖν.
ἁμὲς μὲν φωνεῦντες ἐπίνομες, ὡς ἐδέδοκτο·
ἃ δ' οὐδὲν παρεόντος ἐμεῦ. τίν' ἔχειν με δοκεῖς νῶν;
„οὐ φθεγξῇ; λύκος εἶδέ σ';“ ἔπαιξέ τις. „ὡς σοφός“ εἶπε,
κἠφᾶπτ'· εὐμαρέως κεν ἀπ' αὐτᾶς καὶ λύχνον ἅψας.
ἔστι Λύκος, Λύκος ἐστί, Λάβα τῶ γείτονος υἱός,
εὐμάκης ἁπαλός, πολλοῖς δοκέων καλὸς εἶμεν.

τούτω τὸν κλύμενον κατετάκετο τῆνον ἔρωτα.
χἀμὶν τοῦτο δι' ὠτὸς ἔγεντό ποθ' ἁσυχᾷ οὕτως·
οὐ μὰν ἐξήταξα μάταν εἰς ἄνδρα γενειῶν.
ἤδη δ' ὦν πόσιος τοὶ τέσσαρες ἐν βάθει ἦμες,
χὠ Λαρισαῖος τὸν ἑὸν λύκον ᾆδεν ἀπ' ἀρχᾶς,
Θεσσαλικόν τι μέλισμα, κακαὶ φρένες· ἁ δὲ Κυνίσκα
ἔκλαεν ἐξαπίνας θαλερώτερον ἢ παρὰ ματρί
παρθένος ἑξαέτης κόλπω ἐπιθυμήσασα.
τᾶμος ἐγών, τὸν ἴσας τὺ Θυώνιχε, πὺξ ἐπὶ κόρρας
ἤλασα, κἄλλαν αὖθις. ἀνειρύσσασα δὲ πέπλως
ἐξ ὢ ἀπῴχετο θᾶσσον, „ἐμὸν κακόν, οὔ τοι ἀρέσκω·
ἄλλός τοι γλυκίων ὑποκόλπιος· ἄλλον ἰοῖσα
θάλπε φίλον. τηνῶ τεὰ δάκρυσι μᾶλα ῥέοντι."
μάστακα δοῖσα τέκνοισιν ὑπωροφίοισι χελιδών
ἄψορρον ταχινὰ πέτεται βίον ἄλλον ἀγείρειν·
ὠκυτέρα μαλακᾶς ἀπὸ δίφρακος ἔδραμε τήνα
εὐθὺ δι' ἀμφιθύρω καὶ δικλίδος, ᾇ πόδες ἆγον.
αἰνός θην λέγεται τὸ β ε β ά κ ε ι τ α ῦ ρ ο ς ἀ ν' ὕ λ α ν.
εἴκατι· ταὶ δ' ὀκτώ, ταὶ δ' ἐννέα, ταὶ δὲ δέκ' ἄλλαι,
σάμερον ἐνδεκάτα· ποτιδεῖ δύο, καὶ δύο μῆνας,
ἐξ ὢ ἀπ' ἀλλάλων, οὐδ' εἰ Θρᾳκιστὶ κέκαρμαι.
οἶδα· Λύκος νῦν πάντα, Λύκῳ καὶ νυκτὸς ἀνῷκται·
ἁμὲς δ' οὔτε λόγω τινὸς ἄξιοι οὔτ' ἀριθμητοί,
δύστηνοι Μεγαρῆες ἀτιμοτάτῃ ἐνὶ μοίρῃ.
κεἰ μὲν ἀποστέρξαιμι, τὰ πάντά κεν εἰς δέον ἕρποι.
νῦν δὲ πόθεν; μῦς, φαντὶ Θυώνιχε, γεύμεθα πίσσας.
χὤτι τὸ φάρμακόν ἐστιν ἀμηχανέοντος ἔρωτος,
οὐκ οἶδα. πλὰν Σῖμος ὁ τᾶς ὑποχάλκω ἐρασθείς
ἐκπλεύσας ὑγιὴς πάλιν ἦνθ', ἐμὸς ἁλικιώτας.
βασεῦμαι κἠγὼν διαπόντιος, οὔτε κάκιστος
οὔτε πρᾶτος ἴσως, ὁμαλὸς δέ τις ἀσπιδιώτας.

ΘΥΩΝΙΧΟΣ.

Ὤφελε μὰν χωρεῖν κατὰ νῶν τεόν, ὧν ἐπεθύμεις
Αἰσχίνα. εἰ δ' οὕτως ἄρα τοι δοκεῖ ὥστ' ἀποδαμεῖν,
μισθοδότας Πτολεμαῖος ἐλευθέρῳ οἷος ἄριστος,
εὐγνώμων, φιλόμουσος, ἐρωτικός, εἰς ἄκρον ἁδύς,
εἰδὼς τὸν φιλέοντα, τὸν οὐ φιλέοντ' ἔτι μᾶλλον,
πολλοῖς πολλὰ διδούς, αἰτεύμενος οὐκ ἀνανεύων
οἷα χρὴ βασιλέα· αἰτεῖν δὲ δεῖ οὐκ ἐπὶ παντί
Αἰσχίνα. ὥστ' εἴ τοι κατὰ δεξιὸν ὦμον ἀρέσκει
λῶπος ἄκρον περονᾶσθαι, ἐπ' ἀμφοτέροις δὲ βεβακώς
τολμασεῖς ἐπιόντα μένειν θρασὺν ἀσπιδιώταν,
ᾇ τάχος εἰς Αἴγυπτον. ἀπὸ κροτάφων πελόμεσθα
πάντες γηραλέοι, καὶ ἐπισχερὼ ἐς γένυν ἕρπει
λευκαίνων ὁ χρόνος· ποιεῖν τι δεῖ, ἇς γόνυ χλωρόν.

Idyll. XV.

Συρακούσιαι ἢ Ἀδωνιάζουσαι.

ΓΟΡΓΩ.

Ἔνδοι Πραξινόα;

ΠΡΑΞΙΝΟΑ.

Γοργοῖ φίλα, ὡς χρόνῳ. ἔνδοι.
θαῦμ' ὅτι καὶ νῦν ἦνθες. ὅρη δίφρον Εὐνόα. αὐτεῖ.
ἔμβαλε καὶ ποτίκρανον.

ΓΟΡΓΩ.

Ἔχει κάλλιστα.

Α. τἆλλα δ' ἀνὴρ ποῖός τις; Θ. ἐλευθέρῳ οἷος ἄριστος,

ΠΡΑΞΙΝΟΑ.

Καθίζευ.

ΓΟΡΓΩ.

Ὢ τᾶς ἀλεμάτω ψυχᾶς· μόλις ὔμμιν ἐσώθη
Πραξινόα. πολλῶ μὲν ὄχλω, πολλῶν δὲ τεθρίππων·
παντᾷ κρηπῖδες, παντᾷ χλαμυδηφόροι ἄνδρες·
ἁ δ' ὁδὸς ἄτρυτος· τὺ δὲ μασσοτέρω ἔμ' ἀπῴκεις.

ΠΡΑΞΙΝΟΑ.

Ταῦθ' ὁ πάραρος τῆνος ἐπ' ἔσχατα γᾶς ἔλαβ' ἐνθών
ἰλεόν, οὐκ οἴκησιν, ὅπως μὴ γείτονες ὦμες
ἀλλάλαις, ποτ' ἔριν, φθονερὸν κακόν, αἰὲν ὁμοῖος.

ΓΟΡΓΩ.

Μὴ λέγε τὸν τεὸν ἄνδρα φίλα Δίνωνα τοιαῦτα
τῶ μικκῶ παρεόντος· ὅρη γύναι, ὡς ποθορῇ τυ.
θάρσει Ζωπυρίων, γλυκερὸν τέκος· οὐ λέγει ἀπφῦν.

ΠΡΑΞΙΝΟΑ.

Αἰσθάνεται τὸ βρέφος, ναὶ τὰν πότνιαν. καλὸς ἀπφῦς.—
κέπφος μὰν τῆνος τὰ πρόαν — λέγομες δὲ πρόαν θην
βάντα νίτρον καὶ φῦκος ἀπὸ σκανᾶς ἀγοράσδειν —
ἦνθε φέρων ἅλας ἄμμιν, ἀνὴρ τρισκαιδεκάπηχυς.

ΓΟΡΓΩ.

Χὡμὸς ταὐτᾷ ἔχει, φθόρος ἀργυρίω, Διοκλείδας·
ἑπταδράχμως κυνάδας, γραιᾶν ἀποτίλματα πηρᾶν,
πέντε πόκως ἔλαβ' ἐχθές, ἅπαν ῥύπον, ἔργον ἐπ' ἔργῳ.
ἀλλ' ἴθι τὠμπέχονον καὶ τὰν περονατρίδα λάζευ.
βᾶμες τῶ βασιλῆος ἐς ἀφνειῶ Πτολεμαίω
θασόμεναι τὸν Ἄδωνιν· ἀκούω χρῆμα καλόν τι
κοσμεῖν τὰν βασίλισσαν.

ΠΡΑΞΙΝΟΑ.

Ἐν ὀλβίω ὄλβια πάντα.
ἠνίδ' ἐγών. εἴπαις κεν ἰδοῖσα τὺ τῷ μὴ ἰδόντι.

ΓΟΡΓΩ.

Ἕρπειν ὥρα κ' εἴη.

ΠΡΑΞΙΝΟΑ.

Ἀεργοῖς αἰὲν ἑορτά.
Εὐνόα, αἶρε τὸ βᾶμα καὶ ἐς μέσον ἀνιόδρυπτε
θές. πάλιν αἱ γαλέαι μαλακῶς χρῄζοντι καθεύδειν.
κινεῦ δή, φέρε θᾶσσον ὕδωρ. ὕδατος πρότερον δεῖ.
ἃ δὲ σμᾶμα φέρει. δὸς ὅμως. σμῆ δή ποκ'. ἄπληστε,
ἔγχει ὕδωρ. δύστανε, τί μευ τὸ χιτώνιον ἄρδεις;
παύε', ὄχ' οἷα θεοῖς ἐδόκει, τοιαῦτα νένιμμαι.
ἁ κλὰξ τᾶς μεγάλας πεῖ λάρνακος; ὧδε φέρ' αὐτάν.

ΓΟΡΓΩ.

Πραξινόα, μάλα τοι τὸ καταπτυχὲς ἐμπερόναμα
τοῦτο πρέπει· λέγε μοι, πόσσω κατέβα τοι ἀφ' ἱστῶ;

ΠΡΑΞΙΝΟΑ.

Μὴ μνάσῃς Γοργοῖ· πλέον ἀργυρίω καθαρῶ μνᾶν
ἢ δύο· τοῖς δ' ἔργοις καὶ τὰν ψυχὰν προτέθεικα.

ΓΟΡΓΩ.

Ἀλλὰ κατὰ γνώμαν ἀπέβα τοι τοῦτο.

ΠΡΑΞΙΝΟΑ.

Καλ' εἶπας.
τὠμπέχονον φέρε μοι καὶ τὰν θολίαν κατὰ κόσμον
ἀμφίθες. οὐκ ἀξῶ τυ τέκνον. μορμὼ δάκνει· ἵππος—
δάκρυ', ὅσσα θέλεις, χωλὸν δ' οὐ δεῖ τυ γενέσθαι.
ἕρπωμες. Φρυγία, τὸν μικκὸν παῖσδε λαβοῖσα,
τὰν κύν' ἔσω κάλεσον, τὰν αὐλείαν ἀπόκλαξον.—
ὦ θεοί, ὅσσος ὄχλος. πῶς καί ποκα τοῦτο περᾶσαι

χρὴ τὸ κακόν; μύρμακες ἀνάριθμοι καὶ ἄμετροι.
πολλά τοι ὦ Πτολεμαῖε πεποίηται καλὰ ἔργα,
ἐξ ὦ ἐν ἀθανάτοις ὁ τεκών· οὐδεὶς κακοεργός
δαλεῖται τὸν ἰόντα παρέρπων Αἰγυπτιστί,
οἷα πρὶν ἐξαπάτας κεκροτημένοι ἄνδρες ἔπαισδον,
ἀλλάλοις ὁμαλοί, κακὰ παίγνια πάντ᾽ ἐς ἀρείω.
ἁδίστα Γοργοῖ, τί γενώμεθα; τοὶ πολεμισταί
ἵπποι τῶ βασιλῆος. ἄνερ φίλε, μή με πατήσῃς.
ὀρθὸς ἀνέστα ὁ πυρρός· ἴδ᾽ ὡς ἄγριος. κυνοθαρσής
Εὐνόα, οὐ φευξῇ; διαχρησεῖται τὸν ἄγοντα.
ὠνάθην μεγάλως, ὅτι μοι τὸ βρέφος μένει ἔνδοι.

ΓΟΡΓΩ.

Θάρσει Πραξινόα· καὶ δὴ γεγενήμεθ᾽ ὄπισθεν,
τοὶ δ᾽ ἔβαν εἰς χώραν.

ΠΡΑΞΙΝΟΑ.

Καὐτὰ συναγείρομαι ἤδη.
ἵππον καὶ τὸν ψυχρὸν ὄφιν τὰ μάλιστα δεδοίκω
ἐκ παιδός. σπεύδωμες· ὄχλος πολὺς ἁμὶν ἐπιρρεῖ.

ΓΟΡΓΩ.

Ἐξ αὐλᾶς ὦ μᾶτερ;

ΓΡΑΥΣ.

Ἐγὼν ὦ τέκνα.

ΓΟΡΓΩ.

Παρενθεῖν
εὐμαρές;

ΓΡΑΥΣ.

Ἐς Τροίαν πειρώμενοι ἦνθον Ἀχαιοί,
κάλλισται παίδων· πείρᾳ θην πάντα τελεῖται.

ΓΟΡΓΩ.

Χρησμὼς ἁ πρεσβῦτις ἀπῴχετο θεσπίξασα.

ΠΡΑΞΙΝΟΑ.

Πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἠγάγεθ' Ἥρην.

ΓΟΡΓΩ.

Θᾶσαι Πραξινόα, περὶ τὰς θύρας ὅσσος ὅμιλος
θεσπέσιος.

ΠΡΑΞΙΝΟΑ.

Γοργοῖ, δὸς τὰν χέρα μοι· λάβε καὶ τύ
Εὐνόα Εὐτυχίδος· πότεχ' αὐτᾷ, μή τι πλαναθῇς.
πᾶσαι ἅμ' εἰσένθωμες· ἀπρὶξ ἔχευ Εὐνόα ἁμῶν.
οἴμοι δειλαία, δίχα μευ τὸ θερίστριον ἤδη
ἔσχισται Γοργοῖ. πὸτ τῶ Διός, εἴ τι γένοιο
εὐδαίμων ὤνθρωπε, φυλάσσεο τὠμπέχονόν μευ.

ΞΕΝΟΣ.

Οὐκ ἐπ' ἐμὶν μέν, ὅμως δὲ φυλάξομαι.

ΠΡΑΞΙΝΟΑ.

Ὄχλος ἀθαρέως
ὠθεῦνθ' ὥσπερ ὗες.

ΞΕΝΟΣ.

Θάρσει γύναι· ἐν καλῷ εἰμές.

ΠΡΑΞΙΝΟΑ.

Κεἰς ὥρας κἤπειτα φίλ' ἀνδρῶν ἐν καλῷ εἴης
ἁμὲ περιστέλλων. χρηστῶ κοἰκτίρμονος ἀνδρός.
φλίβεται Εὐνόα ἄμιν· ἄγ' ὦ δειλὰ τὺ βιάζευ.
κάλλιστ'· ἔνδοι πᾶσαι, ὁ τὰν νυὸν εἶπ' ἀποκλάξας.

ΓΟΡΓΩ.

Πραξινόα, πόταγ' ὧδε. τὰ ποικίλα πρᾶτον ἄθρησον,
λεπτὰ καὶ ὡς χαρίεντα· θεῶν περονάματα φασεῖς.

ΠΡΑΞΙΝΟΑ.

Πότνι' Ἀθαναία· ποῖαί σφ' ἐπόνασαν ἔριθοι,

ποῖοι ζωογράφοι τἀκριβέα γράμματ' ἔγραψαν.
ὡς ἔτυμ' ἑστάκαντι, καὶ ὡς ἔτυμ' ἐνδινεῦντι,
ἔμψυχ', οὐκ ἐνυφαντά. σοφόν τοι χρῆμ' ὤνθρωπος.
αὐτὸς δ' ὡς θαητὸς ἐπ' ἀργυρέας κατάκειται
κλισμῶ, πρᾶτον ἴουλον ἀπὸ κροτάφων καταβάλλων,
ὁ τριφίλητος Ἄδων, ὃς κὴν Ἀχέροντι φιλεῖται.

ΕΤΕΡΟΣ ΞΕΝΟΣ.

Παύσασθ' ὦ δύστανοι, ἀνάνυτα κωτίλλοισαι
τρυγόνες ἐκ νασσᾶν τε πλατειάσδοισαι ἅπαντα.

ΠΡΑΞΙΝΟΑ.

Μᾶ, πόθεν ὤνθρωπος; τί δὲ τίν, εἰ κωτίλαι εἰμές;
πασάμενος ποτίτασσε. Συρακοσίαις ἐπιτάσσεις,
ὡς εἰδῇς καὶ τοῦτο· Κορίνθιαι εἰμὲς ἄνωθεν,
ὡς καὶ ὁ Βελλεροφῶν· Πελοποννασιστὶ λαλεῦμες·
δωρίσδεν δ' ἔξεστι δοκῶ τοῖς Δωριέεσσι.
μὴ φύη Μελιτῶδες, ὃς ἁμῶν καρτερὸς εἴη,
πλὰν ἑνός. οὐκ ἀλέγω. μή μοι κενεὰν ἀπομάξῃς.

ΓΟΡΓΩ.

Σιγᾷ Πραξινόα· μέλλει τὸν Ἄδωνιν ἀείδειν
ἁ τᾶς Ἀργείας θυγάτηρ πολύϊδρις ἀοιδός,
ἅτις καὶ πέρυτιν τὸν ἰάλεμον ἀρίστευσε.
φθεγξεῖταί τι σάφ' οἶδα καλόν· διαθρύπτεται ἤδη.

ΓΥΝΗ ΑΟΙΔΟΣ.

α' Δέσποιν', ἃ Γολγώς τε καὶ Ἰδάλιον ἐφίλησας,
αἰπεινόν τ' Ἔρυκ' ἂν Χρυσῷ παίζοισ' Ἀφροδίτα·
οἷόν τοι τὸν Ἄδωνιν ἀπ' ἀενάω Ἀχέροντος
μηνὶ δυωδεκάτῳ μαλακαὶ πόδας ἄγαγον Ὧραι.
βάρδισται μακάρων Ὧραι φίλαι, ἀλλὰ ποθειναὶ
ἔρχονται πάντεσσι βροτοῖς αἰεί τι φορεῦσαι.
α' Κύπρι Διωναία, τὺ μὲν ἀθανάταν ἀπὸ θνατᾶς,

ὠνθρώπων ὡς μῦθος, ἐποίησας Βερενίκαν,
ἀμβροσίαν ἐς στῆθος ἀποστάξασα γυναικός·
τὶν δὲ χαριζομένα, πολυώνυμε καὶ πολύναε,
ἁ Βερενικεία θυγάτηρ Ἑλένῃ εἰκυῖα
Ἀρσινόα πάντεσσι καλοῖς ἀτιτάλλει Ἄδωνιν.

β' Πὰρ μέν οἱ ὥρια κεῖται, ὅσα δρυὸς ἄκρα φέρονται,
πὰρ δ' ἁπαλοὶ κᾶποι πεφυλαγμένοι ἐν ταλαρίσκοις
ἀργυρέοις, Συρίω δὲ μύρω χρύσει' ἀλάβαστρα.
εἴδατα δ' ὅσσα γυναῖκες ἐπὶ πλαθάνω πονέονται,
ἄνθεα μίσγοισαι λευκῷ παντοῖα μαλεύρῳ,
ὅσσά τ' ἀπὸ γλυκερῶ μέλιτος τά τ' ἐν ὑγρῷ ἐλαίῳ,
πάντ' αὐτῷ πετεεινὰ καὶ ἑρπετὰ τεῖδε πάρεστι.

γ' Χλωραὶ δὲ σκιάδες μαλακῷ βρίθοντες ἀνήθῳ
δέδμανθ'· οἱ δ' ἔτι κῶροι ὑπερπωτῶνται Ἔρωτες,
οἷοι ἀηδονιδῆες ἀεξομενᾶν ἐπὶ δένδρει
πωτῶνται πτερύγων πειρώμενοι ὄζον ἀπ' ὄζω.

β' Ὢ ἔβενος, ὢ χρυσός, ὢ ἐκ λευκῶ ἐλέφαντος
αἰετοὶ οἰνοχόον Κρονίδᾳ Διὶ παῖδα φέροντες,
πορφύρεοι δὲ τάπητες ἄνω μαλακώτεροι ὕπνω.
ἁ Μιλατὶς ἐρεῖ χὠ τὰν Σαμίαν καταβόσκων·
„ἔστρωται κλίνα τῷ Ἀδώνιδι τῷ καλῷ ἀμά:“
τὰν μὰν Κύπρις ἔχει, τὰν δ' ὁ ῥοδόπαχυς Ἄδωνις.
οὐ κεντεῖ τὸ φίλημ', ἔτι οἱ περὶ χείλεα πυρρά.

δ' Νῦν μὰν Κύπρις ἔχοισα τὸν αὐτᾶς χαιρέτω ἄνδρα·
ἀῶθεν δ' ἀμές νιν ἅμα δρόσῳ ἀθρόαι ἔξω
οἰσεῦμες ποτὶ κύματ' ἐπ' ἀϊόνι πτύοντα,
λύσασαι δὲ κόμαν καὶ ἐπὶ σφυρὰ κόλπον ἀνεῖσαι
στήθεσι φαινομένοις λιγυρᾶς ἀρξώμεθ' ἀοιδᾶς·

γ' „Ἕρπεις ὦ φίλ' Ἄδωνι καὶ ἐνθάδε κεἰς Ἀχέροντα

ὀκτωκαιδεκέτης ἢ ἐννεακαίδεχ' ὁ γαμβρός 129

ἡμιθέων, ὡς φαντί, μονώτατος. οὔτ' Ἀγαμέμνων
τοῦτ' ἔπαθ', οὔτ' Αἴας ὁ μέγας βαρυμάνιος ἥρως,
οὔθ' Ἕκτωρ Ἑκάβας ὁ γεραίτερος εἴκατι παίδων,
δ' Οὐ Πατροκλῆς, οὐ Πύρρος ἀπὸ Τροίας πάλιν ἐνθών,
οὔθ' οἱ ἔτι πρότερον Λαπίθαι καὶ Δευκαλίωνες,
οὐ Πελοπηϊάδαι τε καὶ Ἄργεος ἄκρα Πελασγῶ.
ἵλαθι νῦν φίλ' Ἄδωνι, καὶ ἐς νέωτ' εὐθυμήσαις.
καὶ νῦν ἦνθες Ἄδωνι, καὶ ὄκκ' ἀφίκῃ, φίλος εἰξεῖς."

ΓΟΡΓΩ.

Πραξινόα, τὶ χρῆμα σοφώτερον ἁ θήλεια.
ὀλβία ὅσσα ἴσατι, πανολβία ὡς γλυκυφωνεῖ.
ὥρα ὅμως κεἰς οἶκον. ἀνάριστος Διοκλείδας.
χὠνὴρ ὄξος ἅπαν, πεινᾶντι δὲ μηδὲ ποτένθῃς.
χαῖρ' ὠ Ἄδων ἀγαπητέ· καὶ ἐς χαίροντας ἀφίκευ.

Idyll. XVI.

Χάριτες ἢ Ἱέρων.

Αἰεὶ τοῦτο Διὸς κούραις μέλει, αἰὲν ἀοιδοῖς,
ὑμνεῖν ἀθανάτους, ὑμνεῖν ἀγαθῶν κλέα ἀνδρῶν.
Μοῦσαι μὲν θεαὶ ἐντί, θεοὺς θεαὶ ἀείδοντι·
ἄμμες δὲ βροτοὶ οἵδε, βροτοὺς βροτοὶ ἀείδωμεν.
τίς γὰρ τῶν ὁπόσοι γλαυκὰν ναίουσιν ὑπ' ἠῶ,
ἡμετέρας Χάριτας πετάσας ὑποδέξεται οἴκῳ
ἀσπασίως, οὐδ' αὖθις ἀδωρήτους ἀποπέμψει;
αἳ δὲ σκυζόμεναι γυμνοῖς ποσὶν οἴκαδ' ἴασι,
πολλά με τωθάζοισαι, ὅτ' ἀλιθίαν ὁδὸν ἦνθον,
ὀκνηραὶ δὲ πάλιν κενεᾶς ἐν πυθμένι χηλοῦ

ψυχροῖς ἐν γονάτεσσι κάρη μίμνοντι βαλοῖσαι,
ἔνθ᾽ αἰεί σφισιν ἕδραι, ἐπὴν ἄπρηκτοι ἵκωνται.
τίς τῶν νῦν τοιόσδε; τίς εὖ εἰπόντα φιλήσει;
οὐκ οἶδ᾽· οὐ γὰρ ἔτ᾽ ἄνδρες ἐπ᾽ ἔργμασιν ὡς πάρος ἐσθλοῖς
αἰνεῖσθαι σπεύδοντι, νενίκηνται δ᾽ ὑπὸ κερδέων.
πᾶς δ᾽ ὑπὸ κόλπῳ χεῖρας ἔχων πόθεν οἴσεται ἀθρεῖ
ἄργυρον, οὐδέ κεν ἰὸν ἀποτρίψας τινὶ δοίη,
ἀλλ᾽ εὐθὺς μυθεῖται· „ἀπωτέρω ἢ γόνυ κνάμα·
αὐτῷ μοί τι γένοιτο· θεοὶ τιμῶσιν ἀοιδούς.
τίς δέ κεν ἄλλου ἀκούσαι; ἅλις πάντεσσιν Ὅμηρος.
οὗτος ἀοιδῶν λῷστος, ὃς ἐξ ἐμεῦ οἴσεται οὐδέν.“
Δαιμόνιοι, τί δὲ κέρδος ὁ μυρίος ἔνδοθι χρυσός
κείμενος; οὐχ ἅδε πλούτου φρονέουσιν ὄνασις,
ἀλλὰ τὸ μὲν ψυχᾷ, τὸ δέ πού τινι δοῦναι ἀοίκων,
πολλοὺς δ᾽ εὖ ἔρξαι πηῶν, πολλοὺς δὲ καὶ ἄλλων
ἀνθρώπων, αἰεὶ δὲ θεοῖς ἐπιβώμια ῥέζειν,
μηδὲ ξεινοδόκον κακὸν ἔμμεναι, ἀλλὰ τραπέζῃ
μειλίξαντ᾽ ἀποπέμψαι, ἐπὴν ἐθέλωντι νέεσθαι,
Μουσάων δὲ μάλιστα τίειν ἱεροὺς ὑποφήτας,
ὄφρα καὶ εἰν Ἀΐδαο κεκρυμμένος ἐσθλὸς ἀκούσῃς,
μηδ᾽ ἀκλεὴς μύρηαι ἐπὶ ψυχροῦ Ἀχέροντος,
ὡσεί τις μακέλᾳ τετυλωμένος ἔνδοθι χεῖρας
ἀχὴν ἐκ πατέρων πενίην ἀκτήμονα κλαίων.
πολλοὶ ἐν Ἀντιόχοιο δόμοις καὶ ἄνακτος Ἀλεύα
ἁρμαλιὴν ἔμμηνον ἐμετρήσαντο πενέσται·
πολλοὶ δὲ Σκοπάδῃσιν ἐλαυνόμενοι ποτὶ σακούς
μόσχοι σὺν κεραῇσιν ἐμυκήσαντο βόεσσι,
μυρία δ᾽ ἂμ πεδίον Κραννώνιον ἐνδιάασκον
ποιμένες ἔκκριτα μῆλα φιλοξείνοισι Κρεώνδαις·
ἀλλ᾽ οὔ σφιν τῶν ἦδος, ἐπεὶ γλυκὺν ἐξεκένωσαν
θυμὸν ἐς εὐρεῖαν σχεδίαν στυγνοῖο γέροντος,

ἄμναστοι δὲ τὰ πολλὰ καὶ ὄλβια τῆνα λιπόντες
δειλοῖς ἐν νεκύεσσι μακροὺς αἰῶνας ἔκειντο,
εἰ μὴ δεινὸς ἀοιδὸς ὁ Κήιος αἰόλα φωνεῖν
βάρβιτον ἐς πολύχορδον ἐν ἀνδράσι θῆκ' ὀνομαστοὺς
ὁπλοτέροις, τιμᾶς δὲ καὶ ὠκέες ἔλλαχον ἵπποι,
οἵ σφισιν ἐξ ἱερῶν στεφανηφόροι ἦλθον ἀγώνων.
τίς δ' ἂν ἀριστῆας Λυκίων ποτέ, τίς κομάοντας
Πριαμίδας ἢ θῆλυν ἀπὸ χροιῆς Κύκνον ἔγνω,
εἰ μὴ φυλόπιδας προτέρων ὕμνησαν ἀοιδοί;
οὐδ' Ὀδυσεὺς ἑκατόν τε καὶ εἴκοσι μῆνας ἀλαθεὶς
πάντας ἐπ' ἀνθρώπους, Ἀΐδαν τ' εἰς ἔσχατον ἐλθὼν
ζωός, καὶ σπήλυγγα φυγὼν ὀλοοῖο Κύκλωπος,
δηναιὸν κλέος ἔσχεν, ἐσιγάθη δ' ἂν ὑφορβὸς
Εὔμαιος, καὶ βουσὶ Φιλοίτιος ἀμφ' ἀγελαίαις
ἔργον ἔχων, αὐτός τε περίσπλαγχνος Λαέρτης,
εἰ μή σφεας ὤνασαν Ἰάονος ἀνδρὸς ἀοιδαί.

Ἐκ Μοισᾶν ἀγαθὸν κλέος ἔρχεται ἀνθρώποισι,
χρήματα δὲ ζώοντες ἀμαλδύνουσι θανόντων.
ἀλλ' ἶσος γὰρ ὁ μόχθος ἐπ' ἠόνι κύματα μετρεῖν,
ὅσσ' ἄνεμος χέρσον δὲ μετὰ γλαυκᾶς ἁλὸς ὠθεῖ,
ἢ ὕδατι νίζειν θολερὰν διαειδέϊ πλίνθον,
καὶ φιλοκερδείῃ βεβλαμμένον ἄνδρα παρέλκειν·
χαιρέτω ὅστις τοῖος, ἀνήριθμος δέ οἱ εἴη
ἄργυρος, αἰεὶ δὲ πλεόνων ἔχοι ἵμερος αὐτόν.
αὐτὰρ ἐγὼ τιμήν τε καὶ ἀνθρώπων φιλότητα
πολλῶν ἡμιόνων τε καὶ ἵππων πρόσθεν ἑλοίμαν.
δίζημαι δ', ὅτινι θνατῶν κεχαρισμένος ἔνθω
σὺν Μοίσαις· χαλεπαὶ γὰρ ὁδοὶ τελέθουσιν ἀοιδοῖς
κουράων ἀπάνευθε Διὸς μέγα βουλεύοντος.
οὔπω μῆνας ἄγων ἔκαμ' οὐρανὸς οὐδ' ἐνιαυτούς·
πολλοὶ κινήσουσιν ἔτι τροχὸν ἅρματος ἵπποι·
ἔσσεται οὗτος ἀνήρ, ὃς ἐμεῦ κεχρήσετ' ἀοιδοῦ,

ῥέξας ἢ Ἀχιλεὺς ὅσσον μέγας ἢ βαρὺς Αἴας
ἐν πεδίῳ Σιμόεντος, ὅθι Φρυγὸς ἠρίον Ἴλου.
ἤδη νῦν Φοίνικες ὑπ' ἠελίῳ δύνοντι
οἰκεῦντες Λιβύης ἄκρον σφυρὸν ἐρρίγαντι.
ἤδη βαστάζουσι Συρακόσιοι μέσα δοῦρα
ἀχθόμενοι σακέεσσι βραχίονας ἰτεΐνοισιν·
ἐν δ' αὐτοῖς Ἱέρων προτέροις ἴσος ἡρώεσσι
ζώννυται, ἵππειαι δὲ κόρυν σκιάουσιν ἔθειραι.
αἲ γὰρ Ζεῦ κύδιστε πάτερ καὶ πότνι' Ἀθάνα
κούρη θ', ἣ σὺν ματρὶ πολυκλήρων Ἐφυραίων
εἴληχας μέγα ἄστυ παρ' ὕδασι Λυσιμελείας,
ἐχθροὺς ἐκ νάσοιο κακὰ πέμψειεν ἀνάγκα
Σαρδόνιον κατὰ κῦμα, φίλων μόρον ἀγγέλλοντας
τέκνοις ἠδ' ἀλόχοισιν, ἀριθμητοὺς ἀπὸ πολλῶν·
ἄστεα δὲ προτέροισι πάλιν ναίοιτο πολίταις,
δυσμενέων ὅσα χεῖρες ἐλωβήσαντο κατάκρας·
ἀγροὺς δ' ἐργάζοιντο τεθαλότας· αἱ δ' ἀνάριθμοι
μήλων χιλιάδες βοτάνᾳ διαπιανθεῖσαι
ἂμ πεδίον βληχῷντο, βόες δ' ἀγελαδὸν ἐς αὖλιν
ἐρχόμεναι σκνιφαῖον ἐπισπεύδοιεν ὁδίταν·
νειοὶ δ' ἐκπονέοιντο ποτὶ σπόρον, ἀνίκα τέττιξ
ποιμένας ἐνδίους πεφυλαγμένος ὑψόθι δένδρων
ἀχεῖ ἐν ἀκρεμόνεσσιν· ἀράχνια δ' εἰς ὅπλ' ἀράχναι
λεπτὰ διαστήσαιντο, βοᾶς δ' ἔτι μηδ' ὄνομ' εἴη·
ὑψηλὸν δ' Ἱέρωνι κλέος φορέοιεν ἀοιδαί
καὶ πόντου Σκυθικοῖο πέραν καὶ ὅθι πλατὺ τεῖχος
ἀσφάλτῳ δήσασα Σεμίραμις ἐμβασίλευεν.
εἷς μὲν ἐγώ, πολλοὺς δὲ Διὸς φιλέοντι καὶ ἄλλους
θυγατέρες, τοῖς πᾶσι μέλοι Σικελὴν Ἀρέθουσαν
ὑμνεῖν, σὺν λαοῖσι καὶ αἰχμητὰν Ἱέρωνα.
ὦ Ἐτεόκλειοι Χάριτες θεαί, ὦ Μινύειον
Ὀρχομενὸν φιλέοισαι ἀπεχθόμενόν ποτε Θήβαις,

ἄκλητος μὲν ἔγωγε μένοιμί κεν, ἐς δὲ καλεύντων
θαρσήσας Μοίσαισι σὺν ἁμετέρῃσιν ἰοίμαν.
καλλείψω δ' οὐδ' ὔμμε· τί γὰρ Χαρίτων ἀγαπητόν
ἀνθρώποις ἀπάνευθεν; ἀεὶ Χαρίτεσσιν ἅμ' εἴην.

Idyll. XVII.

Ἐγκώμιον εἰς Πτολεμαῖον.

Ἐκ Διὸς ἀρχώμεσθα καὶ ἐς Δία λήγετε Μοῖσαι,
ἀθανάτων τὸν ἄριστον ἐπὴν ᾄδωμεν ἀοιδαῖς·
ἀνδρῶν δ' αὖ Πτολεμαῖος ἐνὶ πρώτοισι λεγέσθω
καὶ πύματος καὶ μέσσος· ὃ γὰρ προφερέστερος ἀνδρῶν.
ἥρωες, τοὶ πρόσθεν ἀφ' ἡμιθέων ἐγένοντο,
ῥέξαντες καλὰ ἔργα σοφῶν ἐκύρησαν ἀοιδῶν·
αὐτὰρ ἐγὼ Πτολεμαῖον ἐπιστάμενος καλὰ εἰπεῖν
ὑμνήσαιμ'· ὕμνοι δὲ καὶ ἀθανάτων γέρας αὐτῶν.
Ἴδαν ἐς πολύδενδρον ἀνὴρ ὑλατόμος ἐλθών
παπταίνει, παρεόντος ἅδην, πόθεν ἄρξεται ἔργου.
τί πρῶτον καταλέξω; ἐπεὶ πάρα μυρία εἰπεῖν,
οἷσι θεοὶ τὸν ἄριστον ἐτίμησαν βασιλήων.
Ἐκ πατέρων οἷος μὲν ἔην τελέσαι μέγα ἔργον
Λαγείδας Πτολεμαῖος, ὅτε φρεσὶν ἐγκατάθοιτο
βουλάν, ἃν οὐκ ἄλλος ἀνὴρ οἷός τε νοῆσαι.
τῆνον καὶ μακάρεσσι πατὴρ ὁμότιμον ἔθηκεν
ἀθανάτοις, καί οἱ χρύσεος θρόνος ἐν Διὸς οἴκῳ
δέδμηται· παρὰ δ' αὐτὸν Ἀλέξανδρος φίλα εἰδώς
ἑδριάει, Πέρσῃσι βαρὺς θεὸς αἰολομίτροις.
ἀντία δ' Ἡρακλῆος ἕδρα κενταυροφόνοιο

ἵδρυται στερεοῖο τετυγμένα ἐξ ἀδάμαντος·
ἔνθα σὺν ἄλλοισιν θαλίας ἔχει Οὐρανίδῃσι,
χαίρων υἱωνῶν περιώσιον υἱωνοῖσιν,
ὅττί σφεων Κρονίδης μελέων ἐξείλετο γῆρας,
ἀθάνατοι δὲ καλεῦνται ἑοὶ νέποδες γεγαῶτες.
ἄμφω γὰρ πρόγονός σφιν ὁ καρτερὸς Ἡρακλείδας,
ἀμφότεροι δ' ἀριθμεῦνται ἐς ἔσχατον Ἡρακλῆα.
τῷ καὶ ἐπεὶ δαίτηθεν ἴοι κεκορημένος ἤδη
νέκταρος εὐόδμοιο φίλας ἐς δῶμ' ἀλόχοιο,
τῷ μὲν τόξον ἔδωκεν ὑπωλένιόν τε φαρέτρην,
τῷ δὲ σιδάρειον σκύταλον κεχαραγμένον ὄζοις.
οἳ δ' εἰς ἀμβρόσιον θάλαμον λευκοσφύρου Ἥβας
ὅπλα καὶ αὐτὸν ἄγουσι γενειήταν Διὸς υἱόν.
οἵα δ' ἐν πινυταῖσι περικλειτὰ Βερενίκα
ἔπρεπε θηλυτέρῃσ', ὄφελος μέγα γειναμένοισι.
τᾷ μὲν Κύπρον ἔχοισα Διώνας πότνια κούρα
κόλπον ἐς εὐώδη ῥαδινὰς ἐσεμάξατο χεῖρας.
τῷ οὔπώ τινα φαντὶ ἁδεῖν τόσον ἀνδρὶ γυναικῶν,
ὅσσόν περ Πτολεμαῖος ἑὴν ἐφίλησεν ἄκοιτιν.
ἦ μὰν ἀντεφιλεῖτο πολὺ πλέον· ὧδέ κε παισί
θαρσήσας σφετέροισιν ἐπιτρέποι οἶκον ἅπαντα,
ὁππότε κεν φιλέων βαίνῃ λέχος ἐς φιλεούσης.
ἀστόργου δὲ γυναικὸς ἐπ' ἀλλοτρίῳ νόος αἰεί,
ῥηίδιοι δὲ γοναί, τέκνα δ' οὐ ποτεοικότα πατρί.
κάλλει ἀριστεύουσα θεάων πότν' Ἀφροδίτα,
σοὶ τήνα μεμέλητο· σέθεν δ' ἕνεκεν Βερενίκα
εὐειδὴς Ἀχέροντα πολύστονον οὐκ ἐπέρασεν,
ἀλλά μιν ἁρπάξασα, πάροιθ' ἐπὶ νᾶα κατελθεῖν
κυανέαν καὶ στυγνὸν ἀεὶ πορθμῆα καμόντων,
ἐς ναὸν κατέθηκας, ἑᾶς δ' ἀπεδάσσαο τιμᾶς.
πᾶσιν δ' ἤπιος ἥδε βροτοῖς μαλακοὺς μὲν ἔρωτας
προσπνείει, κούφας δὲ διδοῖ ποθέοντι μερίμνας.

Ἀργεία κυάνοφρυ, σὺ λαοφόνον Διομήδεα
μισγομένα Τυδῆι τέκες, Καλυδώνιον ἄνδρα,
ἀλλὰ Θέτις βαθύκολπος ἀκοντιστὰν Ἀχιλῆα
Αἰακίδᾳ Πηλῆι, σὲ δ' αἰχμητὰ Πτολεμαῖε
αἰχμητᾷ Πτολεμαίῳ ἀρίζηλος Βερενίκα.
καί σε Κόως ἀτίταλλε βρέφος νεογιλλὸν ἐόντα,
δεξαμένα παρὰ ματρός, ὅτε πρώταν ἴδες ἀῶ.
ἔνθα γὰρ Εἰλείθυιαν ἐβώσατο λυσίζωνον
Ἀντιγόνας θυγάτηρ βεβαρημένα ὠδίνεσσιν·
ἣ δέ οἱ εὐμενέοισα παρίστατο, κὰδ δ' ἄρα πάντων
νωδυνίην κατέχευε μελῶν· ὃ δὲ πατρὶ ἐοικὼς
παῖς ἀγαπητὸς ἔγεντο. Κόως δ' ὀλόλυξεν ἰδοῖσα,
φᾶ δὲ καθαπτομένα βρέφεος χείρεσσι φίλησιν·
„Ὄλβιε κοῦρε γένοιο, τίοις δέ με τόσσον, ὅσον περ
Δᾶλον ἐτίμησεν κυανάμπυκα Φοῖβος Ἀπόλλων·
ἐν δὲ μιᾷ τιμῇ Τρίοπον κατθεῖο κολώναν,
[ἶσον Δωριέεσσι νέμων γέρας ἐγγὺς ἐοῦσιν,]
ἶσον καὶ Ῥήναιαν ἄναξ ἐφίλησεν Ἀπόλλων."
Ὣς ἄρα νᾶσος ἔειπεν· ὃ δ' ὑψόθεν ἔκλαγε φωνᾷ
ἐς τρὶς ὑπὸ νεφέων μέγας αἰετὸς αἴσιος ὄρνις.
Ζηνός που τόδε σᾶμα. Διὶ Κρονίωνι μέλοντι
αἰδοῖοι βασιλῆες· ὃ δ' ἔξοχος, ὅν κε φιλήσῃ
γεινόμενον τὰ πρῶτα· πολὺς δέ οἱ ὄλβος ὀπηδεῖ,
πολλᾶς δὲ κρατέει γαίας, πολλᾶς δὲ θαλάσσας.
μυρίαι ἄπειροί τε καὶ ἔθνεα μυρία φωτῶν
λήϊον ἀλδήσκουσιν ὀφελλόμεναι Διὸς ὄμβρῳ·
ἀλλ' οὔτις τόσα φύει ὅσα χθαμαλὰ Αἴγυπτος,
Νεῖλος ἀναβλύζων διερὰν ὅτε βώλακα θρύπτει.
οὐδέ τις ἄστεα τόσσα βροτῶν ἔχει ἔργα δαέντων.
τρεῖς μέν οἱ πολίων ἑκατοντάδες ἐνδέδμηνται,
τρεῖς δ' ἄρα χιλιάδες τρισσαῖς ἐπὶ μυριάδεσσι,
δοιαὶ δὲ τριάδες, μετὰ δέ σφισιν ἐννεάδες τρεῖς·

τῶν πάντων Πτολεμαῖος ἀγήνωρ ἐμβασιλεύει.
καὶ μὴν Φοινίκας ἀποτέμνεται Ἀῤῥαβίας τε
καὶ Συρίας Λιβύας τε κελαινῶν τ' Αἰθιοπήων.
Παμφύλοισί τε πᾶσι καὶ αἰχμηταῖς Κιλίκεσσι
σαμαίνει, Λυκίοις τε φιλοπτολέμοισί τε Καρσί,
καὶ νάσοις Κυκλάδεσσιν, ἐπεί οἱ νᾶες ἄρισται
πόντον ἐπιπλώοντι, θάλασσα δὲ πᾶσα καὶ αἶα
καὶ ποταμοὶ κελάδοντες ἀνάσσονται Πτολεμαίῳ.
πολλοὶ δ' ἱππῆες, πολλοὶ δέ μιν ἀσπιδιῶται
χαλκῷ μαρμαίροντι σεσαγμένοι ἀμφαγέρονται.
ὄλβῳ μὲν πάντας κε καταβρίθοι βασιλῆας·
τόσσον ἐπ' ἆμαρ ἕκαστον ἐς ἀφνεὸν ἔρχεται οἶκον
πάντοθε. λαοὶ δ' ἔργα περιστέλλουσιν ἕκηλοι.
οὐ γάρ τις δηίων πολυκήτεα Νεῖλον ὑπερβάς
πεζὸς ἐν ἀλλοτρίαισι βοὰν ἐστάσατο κώμαις,
οὐδέ τις αἰγιαλὸν δὲ θοᾶς ἐξάλατο ναός
θωρηχθεὶς ἐπὶ βουσὶν ἀνάρσιος Αἰγυπτίῃσι·
τοῖος ἀνὴρ πλατέεσσιν ἐνίδρυται πεδίοισι
ξανθοκόμας Πτολεμαῖος, ἐπιστάμενος δόρυ πάλλειν.
ᾧ ἔτι πάγχυ μέλει πατρώια πάντα φυλάσσειν,
οἷ' ἀγαθῷ βασιλῆι, τὰ δὲ κτεατίζεται αὐτός.
οὐ μὰν ἀχρεῖός γε δόμῳ ἔνι πίονι χρυσός
μυρμάκων ἅτε πλοῦτος ἀεὶ κέχυται μογεόντων·
ἀλλὰ πολὺν μὲν ἔχοντι θεῶν ἐρικυδέες οἶκοι,
αἰὲν ἀπαρχομένοιο σὺν ἄλλοισιν γεράεσσι,
πολλὸν δ' ἰφθίμοισι δεδώρηται βασιλεῦσι,
πολλὸν δὲ πτολίεσσι, πολὺν δ' ἀγαθοῖσιν ἑταίροις.
οὐδὲ Διωνύσου τις ἀνὴρ ἱεροὺς κατ' ἀγῶνας
ἵκετ' ἐπιστάμενος λιγυρὰν ἀναμέλψαι ἀοιδάν,
ᾧ οὐ δωτίναν ἀντάξιον ὤπασε τέχνας.
Μουσάων δ' ὑποφῆται ἀείδοντι Πτολεμαῖον
ἀντ' εὐεργεσίης. τί δὲ κάλλιον ἀνδρί κεν εἴη

ὀλβίῳ ἢ κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἀρέσθαι;
τοῦτο καὶ Ἀτρείδαισι μένει· τὰ δὲ μυρία τῆνα,
ὅσσα μέγαν Πριάμοιο δόμον κτεάτισσαν ἑλόντες
ἄορι, γᾷ κέκρυπται, ὅθεν πάλιν οὐκέτι νόστος.
μοῦνος ὅδε προτέρων τε καὶ ὧν ἔτι θερμὰ κονίη
στειβομένα καθύπερθε ποδῶν ἐκμάσσεται ἴχνη,
ματρὶ φίλᾳ καὶ πατρὶ θυώδεας εἵσατο ναούς·
ἐν δ' αὐτοὺς χρυσῷ περικαλλέας ἠδ' ἐλέφαντι
ἵδρυται πάντεσσιν ἐπιχθονίοισιν ἀρωγούς.
πολλὰ δὲ πιανθέντα βοῶν ὅγε μηρία καίει
μησὶ περιπλομένοισιν ἐρευθομένων ἐπὶ βωμῶν,
αὐτός τ' ἰφθίμα τ' ἄλοχος, τᾶς οὔτις ἀρείων
νυμφίον ἐν μεγάροισι γυνὰ περιβάλλετ' ἀγοστῷ,
ἐκ θυμοῦ στέργοισα κασίγνητόν τε πόσιν τε.
ὧδε καὶ ἀθανάτων ἱερὸς γάμος ἐξετελέσθη,
οὓς τέκετο κρείουσα Ῥέα βασιλῆας Ὀλύμπου·
ἄγνον δὲ στόρνυσιν ἰαύειν Ζηνὶ καὶ Ἥρῃ
χεῖρας φοιβήσασα μύροις ἔτι παρθένος Ἶρις.
χαῖρε ἄναξ Πτολεμαῖε· σέθεν δ' ἐγὼ ἶσα καὶ ἄλλων
μνάσομαι ἡμιθέων, δοκέω δ' ἔπος οὐκ ἀπόβλητον
φθέγξομαι ἐσσομένοις· ἀρετήν γέ μεν ἐκ Διὸς αἰτέω.

Idyll. XVIII.

Ἑλένης Ἐπιθαλάμιος.

Ἔν ποκ' ἄρα Σπάρτᾳ ξανθότριχι πὰρ Μενελάῳ
παρθενικαὶ θάλλοντα κόμαις ὑάκινθον ἔχοισαι
πρόσθεν ἐϋγράπτω θαλάμω χορὸν ἐστάσαντο,
δώδεκα ταὶ πρᾶται πόλιος, μέγα χρῆμα Λακαινᾶν,

ἁνίκα Τυνδαριδᾶν κάσιν ἄγετο τὰν ἀγαπατάν
μναστεύσας Ἑλέναν ὁ νεώτερος Ἀτρέος υἱῶν.
ἄειδον δ' ἄρα πᾶσαι ἐς ἓν μέλος ἐγκροτέοισαι
ποσσί περ εἰλικτοῖς, ὑπὸ δ' ἴαχε δῶμ' ὑμεναίῳ.

(*Ὑμέναιος.*)

α' *Οὕτω δὴ πρῳιζὲ κατέδραθες ὦ φίλε γαμβρέ;*
ἦρά τις ἐσσὶ λίαν βαρυγώνατος, ἦρα φίλυπνος·
ἦρα πολύν τιν' ἔπινες, ὅτ' εἰς εὐνὰν κατεβάλλευ.
εὕδειν μὰν σπεύδοντα καθ' ὥραν αὐτὸν ἐχρῆν τυ,
παῖδα δ' ἐᾶν σὺν παισὶ φιλοστόργῳ παρὰ ματρί
παίσδειν ἐς βαθὺν ὄρθρον, ἐπεὶ καὶ ἔνας καὶ ἐς ἀῶ
κεἰς ἔτος ἐξ ἔτεος Μενέλα τεὰ ἁ νυὸς ἅδε.

β' *Ὄλβιε γάμβρ', ἀγαθός τις ἐπέπτα σπερχομένῳ τοι*
ἐς Σπάρταν, ἅπερ ὧλλοι ἀριστέες, ὡς ἀνύσαιο.
μοῦνος ἐν ἡμιθέοις Κρονίδαν Δία πενθερὸν ἑξεῖς.

α' *Ζανός τοι θυγάτηρ ὑπὸ τὰν μίαν ἵκετο χλαῖναν,*
οἵα Ἀχαιίδα νῦν γαῖαν πατεῖ οὐδὲ μί' ἄλλα·
ἦ μέγα κά τι τέκοιτ', εἰ ματέρι τίκτοι ὁμοῖον.
ἄμμες δ' αἱ πᾶσαι συνομάλικες, αἷς δρόμος ωὑτός
χρισαμέναις ἀνδριστὶ παρ' Εὐρώταο λοετροῖς,
τετράκις ἑξήκοντα κόραι, θῆλυς νεολαία,
τᾶν οὐ Δᾶν τις ἄμωμος, ἐπεί χ' Ἑλένᾳ παρισωθῇ.

γ' *Ἀὼς ἀντέλλοισα καλὸν διέφανε πρόσωπον,*
πότνια νυκτὶ σελάνα, ἔαρ χειμῶνος ἀνέντος·
ὧδε καὶ ἁ χρυσέα Ἑλένα διαφαίνετ' ἐν ἁμίν.
πιείρᾳ μέγα λᾷον ἀνέδραμε κόσμος ἀρούρᾳ
ἢ κάπῳ κυπάρισσος ἢ ἅρματι Θεσσαλὶς ἵππος·
ὧδε καὶ ἁ ῥοδόχρως Ἑλένα Λακεδαίμονι κόσμος.

γ' *Οὔτέ τις ἐκ ταλάρω πανίσδεται ἔργα τοιαῦτα,*
οὔτ' ἐπὶ δαιδαλέῳ πυκινώτερον ἄτριον ἱστῷ

5*

κερκίδι συμπλέξασα μακρῶν ἔταμ' ἐκ κελεόντων·
οὐ μὰν οὐδὲ κρόκαν τις ἐπίσταται ὧδε κροτῆσαι
Ἄρτεμιν ἀείδοισα καὶ εὐρεσίεργον Ἀθάναν,
ὡς Ἑλένα, τᾶς πάντες ἐπ' ὄμμασιν ἵμεροι ἐντί.

γ' Ὦ καλὰ ὦ χαρίεσσα κόρα, τὺ μὲν οἰκέτις ἤδη,
ἄμμες δ' ἐς δρόμον ἦρι καὶ . . . .
. . . . καὶ λειμώνια φύλλα
ἐρψοῦμες στεφάνως δρεψούμεναι ἁδὺ πνέοντας,
πολλὰ τεοῦς Ἑλένα μεμναμέναι ὡς γαλαθηναί
ἄρνες γειναμένας ὄϊος μαστὸν ποθέοισαι.

γ' Πρᾶταί τοι στέφανον λωτῶ χαμαὶ αὐξομένοιο
πλέξασαι σκιερὰν καταθήσομες ἐς πλατάνιστον,
πρᾶται δ' ἀργυρέας ἐξ ὄλπιδος ὑγρὸν ἄλειφαρ
λαζύμεναι σταξεῦμες ὑπὸ σκιερὰν πλατάνιστον·
γράμματα δ' ἐν φλοιῷ γεγράψεται, ὡς παριών τις
ἀννείμῃ· δώροις τι σέβου μ', Ἑλένας φυτὸν εἰμί.

δ' Χαίροις ὦ νύμφα, χαίροις εὐπένθερε γαμβρέ.
Λατὼ μὲν δοίη, Λατὼ κουροτρόφος ὔμμιν
εὐτεκνίαν, Κύπρις δέ, θεὰ Κύπρις ἶσον ἔρασθαι
ἀλλάλων, Ζεὺς δέ, Κρονίδας Ζεὺς ἄφθιτον ὄλβον
ὡς ἐξ εὐπατριδᾶν εἰς εὐπατρίδας πάλιν ἐνθεῖν.

δ' Εὕδετ' ἐς ἀλλάλων στέρνον φιλότατα πνέοντες
καὶ πόθον, ἔγρεσθαι δὲ πρὸς ἀῶ μὴπιλάθησθε.
νεύμεθα κἄμμες ἐς ὄρθρον, ἐπεί κα πρᾶτος ἀοιδός
ἐξ εὐνᾶς κελαδήσῃ ἀνασχὼν εὔτριχα δειράν.
Ὑμὴν ὦ Ὑμέναιε, γάμῳ ἔπι τῷδε χαρείης.

Idyll. XIX. (XXIV.)*

Ἡ ρ α κ λ ί σ κ ο ς.

Ἡρακλέα δεκάμηνον ἐόντα τόχ' ἁ Μιδεᾶτις
Ἀλκμήνα καὶ νυκτὶ νεώτερον Ἰφικλῆα,
ἀμφοτέρους λούσασα καὶ ἐμπλήσασα γάλακτος,
χαλκείαν κατέθηκεν ἐς ἀσπίδα, τὰν Πτερελάου
Ἀμφιτρύων καλὸν ὅπλον ἀπεσκύλευσε πεσόντος.
ἁπτομένα δὲ γυνὰ κεφαλᾶς μυθήσατο παίδων·
„εὕδετ' ἐμὰ βρέφεα γλυκερὸν καὶ ἐγέρσιμον ὕπνον,
εὕδετ' ἐμὰ ψυχά, δύ' ἀδελφεώ, εὔσοα τέκνα·
ὄλβιοι εὐνάζοισθε καὶ ὄλβιοι ἀῶ ἴδοιτε."
ὣς φαμένα δίνασε σάκος μέγα· τοὺς δ' ἔλαβ' ὕπνος.
ἆμος δὲ στρέφεται μεσονύκτιον ἐς δύσιν ἄρκτος
Ὠρίωνα κάτ' αὐτόν, ὃ δ' ἀμφαίνει μέγαν ὦμον,
τᾶμος ἄρ' αἰνὰ πέλωρα δύω πολυμήχανος Ἥρη
κυανέαις φρίσσοντας ὑπὸ σπείραισι δράκοντας
ὦρσεν ἐπὶ πλατὺν οὐδόν, ὅθι σταθμὰ κοῖλα θυράων
οἴκου, ἀπειλήσασα φαγεῖν βρέφος Ἡρακλῆα.
τὼ δ' ἐξειληθέντες ἐπὶ χθονὶ γαστέρας ἄμφω
αἱμοβόρως ἐκύλιον· ἀπ' ὀφθαλμῶν δὲ κακὸν πῦρ
ἐρχομένοις λάμπεσκε, βαρὺν δ' ἐξέπτυον ἰόν.
ἀλλ' ὅτε δὴ παίδων λιχμώμενοι ἐγγύθεν ἦνθον,
καὶ τότ' ἄρ' ἐξέγροντο, Διὸς νοέοντος ἅπαντα,
Ἀλκμήνας φίλα τέκνα, φάος δ' ἀνὰ οἶκον ἐτύχθη.
ἤτοι ὅγ' εὐθὺς ἄϋσεν, ὅπως κακὰ θηρί' ἀνέγνω
κοίλου ὑπὲρ σάκεος καὶ ἀναιδέας εἶδεν ὀδόντας,
Ἰφικλέης, οὔλαν δὲ ποσὶν διελάκτισε χλαῖναν,
φευγέμεν ὁρμαίνων· ὃ δ' ἐναντίος εἴχετο χερσίν
Ἡρακλέης, ἄμφω δὲ βαρεῖ ἐνεδήσατο δεσμῷ,
δραξάμενος φάρυγος, τόθι φάρμακα λυγρὰ κέκρυπται

οὐλομένοις ὀφίεσσιν, ἃ καὶ θεοὶ ἐχθαίροντι.
τὼ δ' αὖτε σπείρῃσιν ἑλισσέσθην περὶ παῖδα
ὀψίγονον γαλαθηνόν, ὑπὸ τροφῷ αἰὲν ἄδακρυν·
ἂψ δὲ πάλιν διέλυον, ἐπεὶ μογέοιεν ἀκάνθας,
δεσμοῦ ἀναγκαίου πειρώμενοι ἔκλυσιν εὑρεῖν.
Ἀλκμήνα δ' ἐσάκουσε βοᾶς καὶ ἐπέκραγε πράτα·
„ἄνσταθ' Ἀμφιτρύων· ἐμὲ γὰρ δέος ἴσχει ὀκνηρόν·
ἄνστα, μηδὲ πόδεσσιν ἑοῖς ὑπὸ σάνδαλα θείης.
οὐκ ἀΐεις, παίδων ὁ νεώτερος ὅσσον ἀϋτεῖ;
ἢ οὐ νοέεις, ὅτι νυκτὸς ἀωρί που, οἱ δέ τε τοῖχοι
πάντες ἀριφραδέες καθαρᾶς ἅπερ ἠριγενείας;
ἔστι τί μοι κατὰ δῶμα νεώτερον, ἔστι φίλ' ἀνδρῶν.“
 Ὣς φάθ'. ὃ δ' ἐξ εὐνᾶς ἀλόχῳ κατέβαινε πιθήσας·
δαιδάλεον δ' ὥρμασε μετὰ ξίφος, ὅ οἱ ὕπερθεν
κλιντῆρος κεδρίνω περὶ πασσάλῳ αἰὲν ἄωρτο.
ἤτοι ὅγ' ὠριγνᾶτο νεοκλώστου τελαμῶνος,
κουφίζων ἑτέρᾳ κολεόν, μεγαλώνυμον ἔργον.
ἀμφιλαφὴς δ' ἄρα παστὰς ἐνεπλήσθη πάλιν ὄρφνας·
δμῶας δὴ τότ' ἄϋσεν ὕπνον βαρὺν ἐκφυσῶντας·
„οἴσετε πῦρ ὅτι θᾶσσον ἀπ' ἐσχαρεῶνος ἑλόντες,
δμῶες ἐμοί, στιβαροὺς δὲ θυρᾶν ἀνακόψατ' ὀχῆας.“

(Desunt complura.)

„ἄνστατε δμῶες ταλασίφρονες. αὐτὸς ἀϋτεῖ.“
 Ἦ ῥα γυνὰ Φοίνισσα μύλαις ἔπι κοῖτον ἔχοισα.
οἳ δ' αἶψα προγένοντο λύχνοις ἅμα δαιομένοισι
δμῶες· ἐνεπλήσθη δὲ δόμος σπεύδοντος ἑκάστου.
ἤτοι ἄρ' ὡς εἶδοντ' ἐπιτίτθιον Ἡρακλῆα
θῆρε δύω χείρεσσιν ἀπρὶξ ἀπαλαῖσιν ἔχοντα,
συμπλήγδην ἰάχησαν· ὃ δ' ἐς πατέρ' Ἀμφιτρύωνα
ἑρπετὰ δεικανάασκεν, ἐπάλλετο δ' ὑψόθι χαίρων

κωροσύνᾳ, γελάσας δὲ πάρος κατέθηκε ποδοῖιν
πατρὸς ἑοῦ θανάτῳ κεκαρωμένα δεινὰ πέλωρα.
Ἀλκμήνα μὲν ἔπειτα ποτὶ σφέτερον βάλε κόλπον
ξηρὸν ὑπαὶ δείους ἀκρόχλουν Ἰφικλῆα·
Ἀμφιτρύων δὲ τὸν ἄλλον ὑπ' ἀμνείαν θέτο χλαῖναν
παῖδα, πάλιν δ' ἐς λέκτρον ἰὼν ἐμνάσατο κοίτου.
ὄρνιθες τρίτον ἄρτι τὸν ἔσχατον ὄρθρον ἄειδον·
Τειρεσίαν τόκα μάντιν ἀλαθέα πάντα λέγοντα
Ἀλκμήνα καλέσασα τέρας κατέλεξε νεοχμόν,
καί νιν ὑποκρίνεσθαι, ὅπως τελέεσθαι ἔμελλεν,
ἠνώγει. „μηδ' εἴ τι θεοὶ νοέοντι πονηρόν,
αἰδόμενος σύ με κρύπτε· καὶ ὣς οὐκ ἔστιν ἀλύξαι
ἀνθρώποις, ὅτι Μοῖρα κατὰ κλωστῆρος ἐπείγει.
ἀλλ' Εὐηρείδα, μάλα τί φρονέοντα διδάσκω;“
Τόσσ' ἔλεγεν βασίλεια· ὃ δ' ἀνταμείβετο τοίοις·
„θάρσει ἀριστοτόκεια γύναι, Περσήϊον αἷμα.
θάρσει· μελλόντων δὲ τὸ λώϊον ἐν φρεσὶ θέσθαι.
ναὶ γὰρ ἐμὸν γλυκὺ φέγγος ἀποιχόμενον πάλαι ὄσ-
σων,
πολλαὶ Ἀχαιιάδων μαλακὸν περὶ γούνατι νῆμα
χειρὶ κατατρίψοντι ἀκρέσπερον ἀείδοισαι
Ἀλκμήναν ὀνομαστί, σέβας δ' ἔσῃ Ἀργείαισι.
τοῖος ἀνὴρ ὅδε μέλλει ἐς οὐρανὸν ἄστρα φέροντα
ἀμβαίνειν τεὸς υἱός, ἀπὸ στέρνων πλατὺς ἥρως,
οὗ καὶ θηρία πάντα καὶ ἀνέρες ἥσσονες ἄλλοι.
δώδεκά οἱ τελέσαντι πεπρωμένον ἐν Διὸς οἰκῆν
μόχθους, θνητὰ δὲ πάντα πυρὰ Τραχίνιος ἑξεῖ·
γαμβρὸς δ' ἀθανάτων κεκλήσεται, οἳ τάδ' ἐπῶρσαν
κνώδαλα φωλεύοντα βρέφος διαδηλήσασθαι.
[ἔσται δὴ τοῦτ' ἆμαρ, ὁπηνίκα νεβρὸν ἐν εὐνᾷ
καρχαρόδων σίνεσθαι ἰδὼν λύκος οὐκ ἐθελήσει.]
ἀλλὰ γύναι πῦρ μέν τοι ὑπὸ σποδῷ εὔτυκον ἔστω,

κάγκανα δ' ἀσπαλάθω ξύλ' ἑτοιμάσατ' ἢ παλιούρω
ἢ βάτω ἢ ἀνέμῳ δεδονημένον αὖον ἄχερδον·
καῖε δὲ τῷδ' ἀγρίῃσιν ἐπὶ σχίζῃσι δράκοντε
νυκτὶ μέσᾳ, ὅκα παῖδα κανῆν τεὸν ἤθελον αὐτοί.
ἦρι δὲ συλλέξαισα κόνιν πυρὸς ἀμφιπόλων τις
ῥιψάτω εὖ μάλα πᾶσαν ὑπὲρ ποταμοῖο φέρουσα
ῥωγάδας ἐς πέτρας ὑπερούριον, ἂψ δὲ νεέσθω
ἄστρεπτος· καθαρῷ δὲ πυρώσατε δῶμα θεείῳ
πρᾶτον, ἔπειτα δ' ἅλεσσι μεμιγμένον, ὡς νενόμισται,
θαλλῷ ἐπιρραίνειν ἐστεμμένῳ ἀβλαβὲς ὕδωρ·
Ζηνὶ δ' ἐπιρρέξαι καθυπερτέρῳ ἄρσενα χοῖρον,
δυσμενέων αἰεὶ καθυπέρτεροι ὡς τελέθοιτε."
Φᾶ, καὶ ἐρωήσας ἐλεφάντινον ᾤχετο δίφρον
Τειρεσίας πολλοῖσι βαρύς περ ἐὼν ἐνιαυτοῖς.
Ἡρακλέης δ' ὑπὸ ματρὶ νέον φυτὸν ὣς ἐν ἀλωᾷ
ετρέφετ' Ἀργείου κεκλημένος Ἀμφιτρύωνος.
γράμματα μὲν τὸν παῖδα γέρων Λίνος ἐξεδίδαξεν,
υἱὸς Ἀπόλλωνος μελεδωνεὺς ἄγρυπνος ἥρως,
τόξον δ' ἐντανύσαι καὶ ἐπίσκοπον εἶναι ὀϊστόν
Εὔρυτος ἐκ πατέρων μεγάλαις ἀφνειὸς ἀρούραις.
αὐτὰρ ἀοιδὸν ἔθηκε καὶ ἄμφω χεῖρας ἔπλασσε
πυξίνᾳ ἐν φόρμιγγι Φιλαμμονίδας Εὔμολπος.
ὅσσα δ' ἀπὸ σκελέων ἑδροστρόφοι Ἀργόθεν ἄνδρες
ἀλλάλους σφάλλοντι παλαίσμασιν, ὅσσά τε πύκται
δεινοὶ ἐν ἱμάντεσσιν, ἅ τ' εἰς γαῖαν προπεσόντες
πάμμαχοι ἐξεύροντο παλαίσματα σύμφορα τέχνᾳ,
πάντ' ἔμαθ' Ἑρμείαο διδασκόμενος παρὰ παιδί
Αὐτολύκῳ Φανοτῆι, τὸν οὐδ' ἂν τηλόθε λεύσσων
θαρσαλέως τις ἔμεινεν ἀεθλεύοντ' ἐν ἀγῶνι·
τοῖον ἐπισκύνιον βλοσυρῷ ἐπέκειτο προσώπῳ.
ἵππους δ' ἐξελάσασθαι ὑφ' ἅρματι, καὶ περὶ νύσσαν
ἀσφαλέως κάμπτοντα τροχῶ σύριγγα φυλάξαι,

Ἀμφιτρύων ὃν παῖδα φίλα φρονέων ἐδίδαξεν
αὐτός, ἐπεὶ μάλα πολλὰ θοῶν ἐξ ἤρατ' ἀγώνων
Ἄργει ἐν ἱπποβότῳ κειμήλια, καί οἱ ἀαγεῖς
δίφροι, ἐφ' ὧν ἐπέβαινε, χρόνῳ διέλυσαν ἱμάντας.
δούρατι δὲ προβολαίῳ ὑπ' ἀσπίδι νῶτον ἔχοντα
ἀνδρὸς ὀρέξασθαι ξιφέων τ' ἀνέχεσθαι ἀμυχμόν,
κοσμῆσαί τε φάλαγγα λόχον τ' ἀναμετρήσασθαι
δυσμενέων ἐπιόντα καὶ ἱππήεσσι κελεῦσαι
Ἄκτωρ Ἱππασίδας δέδαεν, φυγὰς Ἄργεος ἐνθών,
ὁππόκα κλᾶρον ἅπαντα καὶ οἰνόπεδον μέγα Τυδεύς
ναῖε παρ' Ἀδρήστοιο λαβὼν ἱππήλατον Ἄργος.
Ἄκτορι δ' οὔτις ὁμοῖος ἐν ἡμιθέοις πολεμιστής
ἄλλος ἔην πρὶν γῆρας ἀποτρῖψαι νεότητα.
  Ὧδε μὲν Ἡρακλῆα φίλα παιδεύσατο μάτηρ.
εὐνὰ δ' ἧς τῷ παιδὶ τετυγμένα ἀγχόθι πατρός
δέρμα λεόντειον μάλα οἱ κεχαρισμένον αὐτῷ,
δεῖπνον δὲ κρέα τ' ὀπτὰ καὶ ἐν κανέῳ μέγας ἄρτος
Δωρικός· ἀσφαλέως κε φυτοσκάφον ἄνδρα κορέσσαι.
αὐτὰρ ἐπ' ἄματι τυννὸν ἄνευ πυρὸς αἴνυτο δόρπον.
εἵματα δ' οὐκ ἀσκητὰ μέσας ὑπὲρ ἕννυτο κνάμας.

(Desunt reliqua.)

Idyll. XX. (XXII.)*

Δ ι ό σ κ ο υ ρ ο ι.

Ὑμνέομεν Λήδας τε καὶ αἰγιόχου Διὸς υἱώ,
Κάστορα καὶ φοβερὸν Πολυδεύκεα πὺξ ἐρεθίζειν
χεῖρας ἐπιζεύξαντα μέσας βαρέεσσιν ἱμᾶσιν.
ὑμνέομεν καὶ δὶς καὶ τὸ τρίτον ἄρσενα τέκνα

κούρης Θεστιάδος, Λακεδαιμονίους δύ' ἀδελφεούς,
ἀνθρώπων σωτῆρας ἐπὶ ξυροῦ ἤδη ἐόντων,
ἵππων θ' αἱματόεντα ταρασσομένων καθ' ὅμιλον,
νηῶν θ', αἳ δύνοντα κατ' οὐρανοῦ ἢ ἀνιόντα
ἄστρα βιαζόμεναι χαλεποῖς ἔγκυρσαν ἀήταις.
οἳ δέ σφεων κατὰ πρύμναν ἀείραντες μέγα κῦμα,
ἠὲ καὶ ἐκ πρῴρηθεν, ἢ ὅππῃ θυμὸς ἑκάστου,
ἐς κοίλην ἔρριψαν, ἀνέρρηξαν δ' ἄρα τοίχους
ἀμφοτέρους· κρέμαται δὲ σὺν ἱστίῳ ἄρμενα πάντα
εἰκῆ ἀποκλασθέντα· πολὺς δ' ἐξ οὐρανοῦ ὄμβρος
νυκτὸς ἐφερπούσης· παταγεῖ δ' εὐρεῖα θάλασσα,
κοπτομένη πνοιαῖς τε καὶ ἀρρήκτοισι χαλάζαις.
ἀλλ' ἔμπης ὑμεῖς γε καὶ ἐκ βυθοῦ ἕλκετε νῆας
αὐτοῖσιν ναύτῃσιν ὀϊομένοις θανέεσθαι·
αἶψα δ' ἀπολήγοντ' ἄνεμοι, λιπαρὴ δὲ γαλήνη
ἂμ πέλαγος· νεφέλαι δὲ διέδραμον ἄλλυδις ἄλλαι·
ἐκ δ' ἄρκτοί τ' ἐφάνησαν, ὄνων τ' ἀνὰ μέσσον ἀμαυρή
φάτνη σημαίνουσα τὰ πρὸς πλόον εὔδια πάντα.
ὦ ἄμφω θνητοῖσι βοηθόοι, ὦ φίλοι ἄμφω,
ἱππῆες κιθαρισταί, ἀεθλητῆρες ἀοιδοί·
Κάστορος ἢ πρώτου Πολυδεύκεος ἄρξομ' ἀείδειν;
ἀμφοτέρους ὑμνέων Πολυδεύκεα πρῶτον ἀείσω.
Ἡ μὲν ἄρα προφυγοῦσα πέτρας εἰς ἓν ξυνιούσας
Ἀργὼ καὶ νιφόεντος ἀταρτηρὸν στόμα Πόντου,
Βέβρυκας εἷς ἀφίκανε θεῶν φίλα τέκνα φέρουσα.
ἔνθα μιῆς πολλοὶ κατὰ κλίμακος ἀμφοτέρων ἐξ
τοίχων ἄνδρες ἔβαινον Ἰησονίης ἀπὸ νηός.
ἐκβάντες δ' ἐπὶ θῖνα βαθὺν καὶ ὑπήνεμον ἀκτήν
εὐνάς τ' ἐστόρνυντο πυρειά τε χερσὶν ἐνώμων.
Κάστωρ δ' αἰολόπωλος ὅ τ' οἰνωπὸς Πολυδεύκης
ἄμφω ἐρημάζεσκον ἀποπλαγχθέντες ἑταίρων,
παντοίην ἐν ὄρει θηεύμενοι ἄγριον ὕλην.

εὗρον δ' ἀέναον κρήνην ὑπὸ λισσάδι πέτρῃ
ὕδατι πεπληθυῖαν ἀκηράτῳ· αἱ δ' ὑπένερθεν
λάλλαι κρυστάλλῳ ἠδ' ἀργύρῳ ἰνδάλλοντο
ἐκ βυθοῦ· ὑψηλαὶ δὲ πεφύκεσαν ἀγχόθι πεῦκαι
λεῦκαί τε πλάτανοί τε καὶ ἀκρόκομοι κυπάρισσοι,
ἄνθεά τ' εὐώδη, λασίαις φίλα ἔργα μελίσσαις,
ὅσσ' ἔαρος λήγοντος ἐπιβρύει ἀν λειμῶνας.
ἔνθα δ' ἀνὴρ ὑπέροπλος ἐνήμενος ἐνδιάασκε,
δεινὸς ἰδεῖν, σκληρῇσι τεθλασμένος οὔατα πυγμαῖς·
στήθεα δ' ἐσφαίρωτο πελώρια καὶ πλατὺ νῶτον
σαρκὶ σιδηρείῃ σφυρήλατος οἷα κολοσσός.
ἐν δὲ μύες στερεοῖσι βραχίοσιν ἄκρον ὑπ' ὦμον
ἔστασαν ἠΰτε πέτροι ὀλοοίτροχοι, οὕστε κυλίνδων
χειμάρρους ποταμὸς μεγάλαις περιέξεσε δίναις·
αὐτὰρ ὑπὲρ νώτοιο καὶ αὐχένος ᾐωρεῖτο
ἄκρων δέρμα λέοντος ἀφημμένον ἐκ ποδεώνων.
τὸν πρότερος προσέειπεν ἀεθλοφόρος Πολυδεύκης.

ΠΟΛΥΔΕΥΚΗΣ.

χαῖρε ξεῖν', ὅτις ἐσσί. τίνες βροτοί, ὧν ὅδε χῶρος;

ΑΜΥΚΟΣ.

χαίρω πῶς, ὅτε τ' ἄνδρας ὁρῶ, τοὺς μὴ πρὶν ὄπωπα;

ΠΟΛΥΔΕΥΚΗΣ.

θάρσει. μήτ' ἀδίκους μήτ' ἐξ ἀδίκων φάθι λεύσσειν.

ΑΜΥΚΟΣ.

θαρσέω, κοὐκ ἐκ σεῦ με διδάσκεσθαι τόδ' ἔοικεν.

ΠΟΛΥΔΕΥΚΗΣ.

ἄγριος εἶ πρὸς πάντα παλίγκοτος, ἢ ὑπερόπτης;

ΑΜΥΚΟΣ.

τοιόσδ' οἷον ὁρᾷς· τῆς σῆς γέ μεν οὐκ ἐπιβαίνω.

ΠΟΛΥΔΕΥΚΗΣ.

ἔλθοις, καὶ ξενίων κε τυχὼν πάλιν οἴκαδ' ἱκάνοις.

ΑΜΥΚΟΣ.

μήτε σύ με ξείνιζε, τά τ' ἐξ ἐμεῦ οὐκ ἐν ἑτοίμῳ.

ΠΟΛΥΔΕΥΚΗΣ.

δαιμόνι', οὐδ' ἂν τοῦδε πιεῖν ὕδατος σύγε δοίης;

ΑΜΥΚΟΣ.

γνώσεαι, εἴ σευ δίψος ἀνειμένα χείλεα τέρσει.

ΠΟΛΥΔΕΥΚΗΣ.

ἄργυρος ἢ τίς ὁ μισθός, ἐρεῖς, ᾧ κέν σε πίθοιμεν;

ΑΜΥΚΟΣ.

εἷς ἑνὶ χεῖρας ἄειρον ἐναντίος ἀνδρὶ καταστάς.

ΠΟΛΥΔΕΥΚΗΣ.

πυγμάχος, ἢ καὶ ποσσὶ θένων σκέλος, ἄμματα δ' ὀρθά;

ΑΜΥΚΟΣ.

πὺξ διατεινάμενος σφετέρης μὴ φείδεο τέχνης.

ΠΟΛΥΔΕΥΚΗΣ.

τίς γάρ, ὅτῳ χεῖρας καὶ ἐμοὺς συνερείσω ἱμάντας;

ΑΜΥΚΟΣ.

ἐγγὺς ὁρᾷς· οὐ γύννις ἐὼν κεκλήσεθ' ὁ πύκτης.

ΠΟΛΥΔΕΥΚΗΣ.

ἦ καὶ ἄεθλον ἑτοῖμον, ἐφ' ᾧ δηρισόμεθ' ἄμφω;

ΑΜΥΚΟΣ.

σὸς μὲν ἐγώ, σὺ δ' ἐμὸς κεκλήσεαι, αἴκε κρατήσω.

ΠΟΛΥΔΕΥΚΗΣ.

ὀρνίθων φοινικολόφων τοιοίδε κυδοιμοί.

ΑΜΥΚΟΣ.

εἴτ' οὖν ὀρνίθεσσιν ἐοικότες εἴτε λέουσι

γεινόμεθ', οὔ κ' ἄλλῳ γε μαχεσσαίμεσθ' ἐπ' ἀέθλῳ.
Ἦ ῥ' Ἄμυκος, καὶ κόχλον ἑλὼν μυκήσατο κοίλην.
οἳ δὲ θοῶς συνάγερθεν ὑπὸ σκιερὰς πλατανίστους
κόχλου φυσηθέντος ἀεὶ Βέβρυκες κομόωντες.
ὣς δ' αὔτως ἥρωας ἰὼν ἐκαλέσσατο πάντας
Μαγνήσσης ἀπὸ νηὸς ὑπείροχος ἐν δαῒ Κάστωρ.
οἳ δ' ἐπεὶ οὖν σπείρῃσιν ἐκαρτύναντο βοείαις
χεῖρας καὶ περὶ γυῖα μακρά σφ' εἵλιξαν ἱμάντας,
ἐς μέσσον σύναγον φόνον ἀλλήλοισι πνέοντας.
ἔνθα πολύς σφισι μόχθος ἐπειγομένοισιν ἐτύχθη,
ὁππότερος κατὰ νῶτα λάβοι φάος ἠελίοιο·
ἰδρίῃ μέγα δ' ἄνδρα παρήλυθες ὦ Πολύδευκες,
βάλλετο δ' ἀκτίνεσσιν ἅπαν Ἀμύκοιο πρόσωπον.
αὐτὰρ ὅγ' ἐν θυμῷ κεχολωμένος ἵετο πρόσσω,
χερσὶ τιτυσκόμενος. τοῦ δ' ἄκρον τύψε γένειον
Τυνδαρίδης ἐπιόντος· ὀρίνθη δὲ πλέον ἢ πρίν,
σὺν δὲ μάχην ἐτάραξε, πολὺς δ' ἐνέκειτο νενευκὼς
ἐς γαῖαν. Βέβρυκες δ' ἐπαΰτεον, οἳ δ' ἑτέρωθεν
ἥρωες κρατερὸν Πολυδεύκεα θαρσύνεσκον,
δειδιότες μή πώς μιν ἐπιβρίσας δαμάσειε
χώρῳ ἔνι στεινῷ Τιτυῷ ἐναλίγκιος ἀνήρ.
ἤτοι ὅγ' ἔνθα καὶ ἔνθα παριστάμενος Διὸς υἱός
ἀμφοτέρῃσιν ἄμυσσεν ἀμοιβαδίς, ἔσχεθε δ' ὁρμῆς
παῖδα Ποσειδάωνος ὑπερφίαλόν περ ἐόντα.
ἔστη δὲ πληγαῖς μεθύων, ἐκ δ' ἔπτυσεν αἷμα
φοίνιον· οἳ δ' ἅμα πάντες ἀριστῆες κελάδησαν,
ὡς ἴδον ἕλκεα λυγρὰ περὶ στόμα τε γναθμούς τε·
ὄμματα δ' οἰδήσαντος ἀπεστείνωτο προσώπου.
τὸν μὲν ἄναξ ἐτάρασσεν ἐτώσια χερσὶ προδεικνύς
πάντοθεν· ἀλλ' ὅτε δή μιν ἀμηχανέοντ' ἐνόησε,
μέσσης ῥινὸς ὕπερθε κατ' ὀφρύος ἤλασε πυγμῇ,
πᾶν δ' ἀπέσυρε μέτωπον ἐς ὀστέον. αὐτὰρ ὁ πληγείς

ὕπτιος ἐν φύλλοισι τεθηλόσιν ἐξετανύσθη.
ἔνθα μάχη δριμεῖα πάλιν γένετ' ὀρθωθέντος·
ἀλλήλους δ' ὄλεκον στερεοῖς θείνοντες ἱμᾶσιν.
ἀλλ' ὃ μὲν ἐς στῆθός τε καὶ ἰξὺν χεῖρας ἐνώμα
αὐχένα τ' ἀρχηγὸς Βεβρύκων· ὃ δ' ἀεικέσι πληγαῖς
πᾶν συνέφυρε πρόσωπον ἀνίκητος Πολυδεύκης.
σάρκες δ' ᾧ μὲν ἱδρῶτι συνίζανον, ἐκ μεγάλου δέ
αἶψ' ὀλίγος γένετ' ἀνδρός· ὃ δ' αἰεὶ μάσσονα γυῖα
ἁπτομένου φορέεσκε πόνου χροιῇ δέ τ' ἀμείνω.
πῶς γὰρ δὴ Διὸς υἱὸς ἀδηφάγον ἄνδρα καθεῖλεν;
εἰπὲ θεά, σὺ γὰρ οἶσθα· ἐγὼ δ' ἑτέροις ὑποφήτης
φθέγξομαι, ὅσσ' ἐθέλεις σύ, καὶ ὅππως τοι φίλον αὐτῇ.

Ἤτοι ὅγε ῥέξαί τι λιλαιόμενος μέγα ἔργον
σκαιῇ μὲν σκαιὴν Πολυδεύκεος ἔλλαβε χεῖρα,
δοχμὸς ἀπὸ προβολῆς κλινθείς, ἑτέρῃ δ' ἐπιβαίνων
δεξιτερῆς ἤνεγκεν ἐπὶ λαγόνας πλατὺ γυῖον.
[καί κε τυχὼν ἔβλαψεν Ἀμυκλαίων βασιλῆα·]
ἀλλ' ὅγ' ὑπεξανέδυ, κεφαλὴν στιβαρῇ δ' ἅμα χειρί
πλῆξεν ὑπὸ σκαιὸν κρόταφον καὶ ἐπέμπεσεν ὤμῳ·
ἐκ δ' ἐχύθη μέλαν αἷμα θοῶς κροτάφοιο χανόντος·
ἄλλῃ δὲ στόμα κόψε, πυκνοὶ δ' ἀράβησαν ὀδόντες·
αἰεὶ δ' ὀξυτέρῳ πιτύλῳ δηλεῖτο πρόσωπον,
μέχρι συνηλοίησε παρήια. πᾶς δ' ἐπὶ γαίῃ
κεῖτ' ἀλλοφρονέων, καὶ ἀνέσχεθε νεῖκος ἀπαυδῶν
ἀμφοτέρας ἅμα χεῖρας, ἐπεὶ θανάτου σχεδὸν ἦεν.
τὸν μὲν ἄρα κρατέων περ ἀτάσθαλον οὐδὲν ἔρεξας,
ὦ πύκτη Πολύδευκες· ὄμοσσε δέ τοι μέγαν ὅρκον,
ὃν πατέρ' ἐκ πόντοιο Ποσειδάωνα κικλήσκων,
μήποτ' ἔτι ξείνοισιν ἑκὼν ἀνιηρὸς ἔσεσθαι.

Καὶ σὺ μὲν ὕμνησαί μοι ἄναξ. σὲ δὲ Κάστορ ἀείσω,
Τυνδαρίδη ταχύπωλε δορυσσόε χαλκεοθώρηξ.

Τὼ μὲν ἀναρπάξαντε δύω φερέτην Διὸς υἱώ
δοιὰς Λευκίπποιο κόρας· δισσὼ δ' ἄρα τώγε
ἐσσυμένως ἐδίωκον ἀδελφεὼ υἶ' Ἀφαρῆος,
γαμβρὼ μελλογάμω, Λυγκεὺς καὶ ὁ καρτερὸς Ἴδας.
ἀλλ' ὅτε τύμβον ἵκανον ἀποφθιμένου Ἀφαρῆος,
ἐκ δίφρων ἄρα βάντες ἐπ' ἀλλήλοισιν ὄρουσαν,
ἔγχεσι καὶ κοίλοισι βαρυνόμενοι σακέεσσι.
Λυγκεὺς δ' αὖ μετέειπεν ὑπὲκ κόρυθος μέγ' ἀΰσας·
Δαιμόνιοι, τί μάχης ἱμείρετε; πῶς δ' ἐπὶ νύμφαις
ἀλλοτρίαις χαλεποί, γυμναὶ δ' ἐν χερσὶ μάχαιραι;
ἡμῖν τοι Λεύκιππος ἑὰς ἔδνωσε θύγατρας
τᾶσδε πολὺ προτέροις, ἡμῖν γάμος οὗτος ἐν ὅρκῳ·
ὑμεῖς δ' οὐ κατὰ κόσμον ἐπ' ἀλλοτρίοισι λέχεσσι
βουσὶ καὶ ἡμιόνοισι καὶ ἄλλοισι κτεάτεσσιν
ἄνδρα παρετρέψασθε, γάμον δ' ἐκλέπτετε δώροις.
ἦ μὴν πολλάκις ὔμμιν ἐνώπιον ἀμφοτέροισιν
αὐτὸς ἐγὼ τάδ' ἔειπα καὶ οὐ πολύμυθος ἐών περ·
„οὐχ οὕτω φίλοι ἄνδρες ἀριστήεσσιν ἔοικε
μνηστεύειν ἀλόχους, αἷς νυμφίοι ἤδη ἑτοῖμοι.
πολλή τοι Σπάρτη, πολλὴ δ' ἱππήλατος Ἦλις,
Ἀρκαδίη τ' εὔμηλος Ἀχαιῶν τε πτολίεθρα,
Μεσσήνη τε καὶ Ἄργος ἅπασά τε Σισυφὶς ἀκτή·
ἔνθα κόραι τοκέεσσιν ὕπο σφετέροισι τρέφονται
μυρίαι οὔτε φυῆς ἐπιδευέες οὔτε νόοιο,
τάων εὐμαρὲς ὔμμιν ὀπυίειν ἅς κ' ἐθέλητε·
ὡς ἀγαθοῖς πολέες βούλοιντό κε πενθεροὶ εἶναι·
ὑμεῖς δ' ἐν πάντεσσι διάκριτοι ἡρώεσσι,
καὶ πατέρες καὶ ἄνωθεν ἅπαν πατρώιον αἷμα.
ἀλλὰ φίλοι τοῦτον μὲν ἐάσατε πρὸς τέλος ἐλθεῖν
ἄμμι γάμον· σφῷν δ' ἄλλον ἐπιφραζώμεθα πάντες."
ἴσκον τοιάδε πολλά, τὰ δ' εἰς ὑγρὸν ᾤχετο κῦμα
πνοιὴ ἔχουσ' ἀνέμοιο, χάρις δ' οὐχ ἕσπετο μύθοις.

σφὼ γὰρ ἀκηλήτω καὶ ἀπηνέες. ἀλλ' ἔτι καὶ νῦν
πείθεσθ'· ἄμφω δ' ἄμμιν ἀνεψιὼ ἐκ πατρὸς ἐστόν.
εἰ δ' ὑμῖν κραδίη πόλεμον ποθεῖ, αἵματι δὲ χρή
νεῖκος ἀναρρήξαντας ὁμοίιον ἔγχεα λοῦσαι,
Ἴδας μὲν καὶ ὅμαιμος ἐός, κρατερὸς Πολυδεύκης,
χεῖρας ἐρωήσουσιν ἀπεχθομένης ὑσμίνης,
νῶι δ', ἐγὼ Κάστωρ τε, διακρινώμεθ' ἄρηι
ὁπλοτέρω γεγαῶτε. γονεῦσι δὲ μὴ πολὺ πένθος
ἡμετέροισι λίπωμεν. ἅλις νέκυς ἐξ ἑνὸς οἴκου
εἷς· ἀτὰρ ὤλλοι πάντας ἐϋφρανέουσιν ἑταίρους
νυμφίοι ἀντὶ νεκρῶν, ὑμεναιώσουσι δὲ κούρας
τάσδ'· ὀλίγῳ τοι ἔοικε κακῷ μέγα νεῖκος ἀναιρεῖν.
Εἶπε, τὰ δ' οὐκ ἄρ' ἔμελλε θεὸς μεταμώνια θήσειν.
τὼ μὲν γὰρ ποτὶ γαῖαν ἀπ' ὤμων τεύχε' ἔθεντο,
ὣ γενεῇ προφέρεσκον· ὃ δ' ἐς μέσον ἤλυθε Λυγκεύς,
σείων καρτερὸν ἔγχος ὑπ' ἀσπίδος ἄντυγα πρώτην·
ὣς δ' αὔτως ἄκρας ἐτινάξατο δούρατος ἀκμάς
Κάστωρ· ἀμφοτέροις δὲ λόφων ἐπένευον ἔθειραι.
ἔγχεσι μὲν πρώτιστα τιτυσκόμενοι πόνον εἶχον
ἀλλήλων, εἴ πού τι χροὸς γυμνωθὲν ἴδοιεν.
ἀλλ' ἤτοι τὰ μὲν ἄκρα πάρος τινὰ δηλήσασθαι
δοῦρ' ἐάγη, σακέεσσιν ἔνι δεινοῖσι παγέντα.
τὼ δ' ἄορ ἐκ κολεοῖο ἐρυσσαμένω φόνον αὖτις
τεῦχον ἐπ' ἀλλήλοισι· μάχης δ' οὐ γίνετ' ἐρωή.
πολλὰ μὲν ἐς σάκος εὐρὺ καὶ ἱππόκομον τρυφάλειαν
Κάστωρ, πολλὰ δ' ἔνυξεν ἀκριβὴς ὄμμασι Λυγκεύς
τοῖο σάκος, φοίνικα δ' ὅσον λόφον ἵκετ' ἀκωκή.
τοῦ μὲν ἄκρην ἐκόλουσεν ἐπὶ σκαιὸν γόνυ χεῖρα
φάσγανον ὀξὺ φέροντος ὑπεξαναβὰς ποδὶ Κάστωρ
σκαιῷ· ὃ δὲ πληγεὶς ξίφος ἔκβαλεν, αἶψα δὲ φεύγειν
ὡρμήθη ποτὶ σῆμα πατρός, τόθι καρτερὸς Ἴδας

κεκλιμένος θηεῖτο μάχην ἐμφύλιον ἀνδρῶν.
ἀλλὰ μεταΐξας πλατὺ φάσγανον ὦσε διαπρό
Τυνδαρίδης λαγόνος τε καὶ ὀμφαλοῦ· ἔγκατα δ' εἴσω
χαλκὸς ἄφαρ διέχευεν· ὃ δ' ἐς στόμα κεῖτο νενευκὼς
Λυγκεύς, κὰδ δ' ἄρα οἱ βλεφάρων βαρὺς ἔδραμεν ὕπνος.
οὐ μὰν οὐδὲ τὸν ἄλλον ἐφ' ἑστίῃ εἶδε πατρῴῃ
παίδων Λαοκόωσσα φίλον γάμον ἐκτελέσαντα.
ἦ γὰρ ὅγε στήλην Ἀφαρηΐου ἐξανέχουσαν
τύμβου ἀναρρήξας ταχέως Μεσσήνιος Ἴδας
μέλλε κασιγνήτοιο βαλεῖν σφετέροιο φονῆα·
ἀλλὰ Ζεὺς ἐπάμυνε, χερῶν δέ οἱ ἔκβαλε τυκτήν
μάρμαρον, αὐτὸν δὲ φλογέῳ συνέφλεξε κεραυνῷ.
οὕτως Τυνδαρίδαις πολεμιζέμεν οὐκ ἐν ἐλαφρῷ
αὐτοῖς τε κρατέουσι καὶ ἐκ κρατέοντος ἔφυσαν.
Χαίρετε Λήδας τέκνα, καὶ ἡμετέροις κλέος ὕμνοις
ἐσθλὸν ἀεὶ πέμποιτε. φίλοι δέ τε πάντες ἀοιδοί
Τυνδαρίδαις Ἑλένῃ τε καὶ ἄλλοις ἡρώεσσιν,
Ἴλιον οἳ διέπερσαν ἀρήγοντες Μενελάῳ.
ὑμῖν κῦδος ἄνακτες ἐμήσατο Χῖος ἀοιδός,
ὑμνήσας Πριάμοιο πόλιν καὶ νῆας Ἀχαιῶν
Ἰλιάδας τε μάχας Ἀχιλῆά τε πύργον ἀϋτῆς·
ὑμῖν αὖ καὶ ἐγὼ λιγεῶν μειλίγματα Μουσέων,
οἷ' αὐταὶ παρέχουσι καὶ ὡς ἐμὸς οἶκος ὑπάρχει,
τοῖα φέρω. γεράων δὲ θεοῖς κάλλιστον ἀοιδαί.

Idyll. XXI. (XXVI.)*

Λ ῆ ν α ι ἢ Β ά κ χ α ι.

Ἰνὼ κΑὐτονόα χἀ μαλοπάραυος Ἀγαύα
τρεῖς θιάσως ἐς ὄρος τρεῖς ἄγαγον αὐταὶ ἐοῖσαι.
χαΐ μὲν ἀμερξάμεναι λασίας δρυὸς ἄγρια φύλλα
κισσόν τε ζώοντα καὶ ἀσφόδελον τὸν ὑπὲρ γᾶς
ἐν καθαρῷ λειμῶνι κάμον δυοκαίδεκα βωμούς,
τὼς τρεῖς τᾷ Σεμέλᾳ, τὼς ἐννέα τῷ Διονύσῳ.
ἱερὰ δ' ἐκ κίστας πεποναμένα χερσὶν ἑλοῖσαι
εὐφάμως κατέθεντο νεοδρέπτων ἐπὶ βωμῶν,
ὡς ἐδίδασχ', ὡς αὐτὸς ἐθυμάρει Διόνυσος.
Πενθεὺς δ' ἀλιβάτου πέτρας ἄπο πάντ' ἐθεώρει,
σχῖνον ἐς ἀρχαίαν καταδύς, ἐπιχώριον ἔρνος.
Αὐτονόα πράτα νιν ἀνέκραγε δεινὸν ἰδοῖσα,
σὺν δ' ἐτάραξε ποσὶν μανιώδεος ὄργια Βάκχου,
ἐξαπίνας ἐπιοῖσα, τὰ δ' οὐχ ὁρέοντι βέβηλοι.
μαίνετο μέν θ' αὕτα, μαίνοντο δ' ἄρ' εὐθὺ καὶ ἄλλαι.
Πενθεὺς μὲν φεῦγεν πεφοβημένος, αἳ δ' ἐδίωκον,
πέπλως ἐκ ζωστῆρος ἐς ἰγνύαν ἐρύσαισαι.
Πενθεὺς μὲν τόδ' ἔειπε· „τίνος κέχρησθε γυναῖκες;“
Αὐτονόα „τόδ'“ ἔειπε „τάχα γνώσῃ πρὶν ἀκοῦσαι.“
χἀ μὲν τὰν κεφαλὰν μυκήσατο παιδὸς ἑλοῖσα,
ὅσσόν περ τοκάδος τελέθει μύκημα λεαίνας·
Ἰνὼ δ' ἐξέρρηξε σὺν ὠμοπλάτᾳ μέγαν ὦμον
λὰξ ἐπὶ γαστέρα βᾶσα, καὶ Αὐτονόας ῥυθμὸς ωὑτός·
αἱ δ' ἄλλαι τὰ περισσὰ κρεανομέοντο γυναῖκες.
ἐς Θήβας δ' ἀφίκοντο πεφυρμέναι αἵματι πᾶσαι,
ἐξ ὄρεος πένθημα καὶ οὐ Πενθῆα φέρουσαι.
οὐκ ἀλέγω· μηδ' ἄλλος ἀπεχθομένω Διονύσῳ
φροντίζοι, μηδ' εἰ χαλεπώτερα τῶνδε μογήσαι,

εἴη δ' ἐκγενέτης ἢ καὶ λέκτρω ἐπιβαίνοι·
αὐτὸς δ' εὐαγέοιμι καὶ εὐαγέεσσιν ἅδοιμι.
ἐκ Διὸς αἰγιόχω τιμὰν ἔχει αἰετὸς οὗτος.
εὐσεβέων παίδεσσι τὰ λῷα, δυσσεβέων δ' οὔ.
χαίροι μὲν Διόνυσος, ὃν ἐν Δρακάνῳ νιφόεντι
Ζεὺς ὕπατος μεγάλαν ἐπιγουνίδα κάτθετο λύσας·
χαίροι δ' εὐειδὴς Σεμέλα καὶ ἀδελφεαὶ αὐτᾶς
Καδμεῖαι ποιναῖς μεμελημέναι ἡρωῖναι,
αἳ τόδε ἔργον ἔρεξαν ὀρίναντος Διονύσου
οὐκ ἐπιμωματόν. μηδεὶς τὰ θεῶν ὀνόσαιτο.

Idyll. XXII. (XXVIII.)

Ἠ λ α κ ά τ η.

Γλαύκας ὦ φιλέριθ' ἀλακάτα δῶρον Ἀθανάας
γύναιξιν, νόος οἰκωφελίας αἶσιν ἐπάβολος,
θάρσεισ' ἄμμιν ὑμάρτη πόλιν ἐς Νείλεω ἀγλάαν,
ὅππυι Κύπριδος ἶρον καλάμῳ χλῶρον ὑπασσάλῳ.
τυῖδε γὰρ πλόον εὐάνεμον αἰτήμεθα πὰρ Δίος,
ὅππως ξέννον ἔμον τέρψομ' ἴδων κἀντιφίλησ' ἔω,
Νικίαν, Χαρίτων ἰμεροφώνων ἴερον φύτον,
καὶ σὲ τὰν ἐλέφαντος πολυμόχθω γεγενημέναν
δῶρον Νικιάας εἰς ἀλόχω χέρρας ὀπάσσομεν,
σὺν τᾷ πόλλα μὲν ἔργ' ἐκτελέσεις ἀνδρείοις πέπλοις,
πόλλα δ' οἶα γύναικες φορέοισ' ὐδάτινα βράκη.
δὶς γὰρ μάτερες ἄρνων μαλάκοις ἐν βοτάνᾳ πόκοις
πέξαιντ' αὐτοένει, Θευγένιδός γ' ἔννεκ' ἐϋσφύρω·
οὕτως ἀνυσίεργος, φιλέει δ' ὅσσα σαόφρονες.
οὐ γὰρ εἰς ἀκίδρας οὐδ' ἐς ἀέργω κεν ἐβολλόμαν

ὅπασσαί σε δόμοις ἀμμετέρας ἔσσαν ἀπὺ χθόνος.
καὶ γάρ τοι πάτρις, ἂν ὤξ Ἐφύρας κτίσσέ ποτ' Ἀρχίας
νάσω Τρινακρίας μύελον, ἄνδρων δοκίμων πόλιν.
νῦν μὰν οἶκον ἔχοισ' ἄνερος, ὃς πόλλ' ἐδάη σόφα
ἀνθρώποισι νόσοις φάρμακα λύγραις ἀπαλαλκέμεν,
οἰκήσεις κατὰ Μίλλατον ἐράνναν πέδ' Ἰαόνων,
ὡς εὐαλάκατος Θεύγενις ἐν δαμότισιν πέλη,
καί οἱ μνᾶστιν ἄει τῶ φιλαοίδω παρέχης ξένω.
κῆνο γάρ τις ἐρεῖ τὤπος ἴδων σ'· ἦ μεγάλα χάρις
δώρῳ σὺν ὀλίγῳ· πάντα δὲ τίματα τὰ πὰρ φίλων.

Idyll. XXIIII. (XXIX.)

Π α ι δ ι κ ά.

Οἶνος ὦ φίλε παῖ λέγεται καὶ ἀλάθεα·
κἄμμε χρὴ μεθύοντας ἀλαθέας ἔμμεναι.
κἠγὼ μὲν τὰ φρενῶν ἐρέω κέατ' ἐν μυχῷ.
οὐχ ὅλας φιλέειν μ' ἐθέλεισθ' ἀπὸ καρδίας,
γινώσκω· τὸ γὰρ ἄμισυ τᾶς ζοΐας ἔχω
ζὰ τὰν σὰν ἰδέαν, τὸ δὲ λοιπὸν ἀπώλετο.
χὤταν μὲν σὺ θέλης, μακάρεσσιν ἴσαν ἄγω
ἁμέραν· ὄκα δ' οὐκ ἐθέλεις τύ, μάλ' ἐν σκότῳ.
πῶς ταῦθ' ἅρμενα, τὸν φιλέοντ' ἀνίαις δίδων;
ἀλλ' εἴ μοί τι πίθοιο νέος προγενεστέρῳ,
τῶ κε λώιον αὐτὸς ἔχων ἔμ' ἐπαινέσαις.
ποίησαι καλιὰν μίαν εἰν ἑνὶ δενδρίῳ,
ὅππη μηδὲν ἀπίξεται ἄγριον ὄρπετον.
νῦν δὲ τῶδε μὲν ἄματος ἄλλον ἔχεις κλάδον,

ἄλλον δ' αὔριον, ἐξ ἑτέρω δ' ἕτερον μάλα.
καὶ μέν σευ τὸ καλόν τις ἰδὼν ῥέθος αἰνέσαι,
τῷ δ' εὐθὺς πλέον ἢ τριέτης ἐγένευ φίλος,
τὸν πρᾶτον δὲ φιλεῦντα τρίταιον ἐθήκαο.
ἀνδρῶν τῶν ὑπὲρ ἀνορέαν δοκέεις πνέειν.
φίλη δ', ἄς κε ζόης, τὸν ὔμοιον ἔχειν ἀεί.
αἱ γὰρ ὧδε πόης, ἀγαθὸς μὲν ἀκούσεαι
ἐξ ἀστῶν· ὁ δέ τοί κ' Ἔρος οὐ χαλεπῶς ἔχοι,
ὃς ἀνδρῶν φρένας εὐμαρέως ὑποδάμναται,
κἤμε μαλθακὸν ἐξ ἐπόησε σιδαρίω.
ἀλλὰ πὲρ ἀπάλω στύματός σε πεδέρχομαι
ὀμνάσθην, ὅτι πέρρυσιν ἦσθα νεώτερος,
χὤτι γηραλέοι πέλομες πρὶν ἀποπτύσαι
καὶ ῥυσσοί, νεότατα δ' ἔχειν παλινάγρετον
οὐκ ἔστι· πτέρυγας γὰρ ἐπωμαδίαις φόρει,
κἄμμες βαρδύτεροι τὰ ποτήμενα συλλαβεῖν.
ταῦτα χρὴ νοέοντα πέλειν ποτιμώτερον,
καί μοι τὠραμένῳ συνερᾶν ἀδόλως σέθεν,
ὅπως, ἀνίκα τὰν γένυν ἀνδρεΐαν ἔχεις,
ἀλλάλοισι πελώμεθ' Ἀχιλλεῖοι φίλοι.
αἱ δὲ ταῦτα φέρειν ἀνέμοισιν ἐπιτρόπεις,
ἐν θυμῷ δὲ λέγεις „τί με δαιμόνι' ἐννοχλεῖς“;
νῦν μὲν κἤπὶ τὰ χρύσεα μᾶλ' ἕνεκεν σέθεν
βαίην καὶ φύλακον νεκύων πέδα Κέρβερον,
τόκα δ' οὐδὲ καλεῦντος ἐπ' αὐλείαις θύραις
προμόλοιμί κε παυσάμενος χαλεπῶ πόθω.

THEOCRITI EPIGRAMMATA.

I. (I.)

Τὰ ῥόδα τὰ δροσόεντα καὶ ἁ κατάπυκνος ἐκείνα
ἕρπυλλος κεῖται ταῖς Ἑλικωνιάσι,
ταὶ δὲ μελάμφυλλοι δάφναι τὶν Πύθιε Παιάν,
Δελφὶς ἐπεὶ πέτρα τοῦτό τοι ἀγλάϊσε.
βωμὸν δ' αἱμαξεῖ κεραὸς τράγος οὗτος ὁ μᾶλος,
τερμίνθου τρώγων ἔσχατον ἀκρεμόνα.

II. (VII.)

Ἦλθε καὶ ἐς Μίλητον ὁ τοῦ Παιήονος υἱός,
ἰητῆρι νόσων ἀνδρὶ συνοισόμενος
Νικίᾳ, ὅς μιν ἐπ' ἦμαρ ἀεὶ θυέεσσιν ἱκνεῖται,
καὶ τόδ' ἀπ' εὐώδους γλύψατ' ἄγαλμα κέδρου,
Ἠετίωνι χάριν γλαφυρᾶς χερὸς ἄκρον ὑποστάς
μισθόν· ὃ δ' εἰς ἔργον πᾶσαν ἀφῆκε τέχνην.

III. (X.)

Ὑμῖν τοῦτο θεαὶ κεχαρισμένον ἐννέα πάσαις
τὤγαλμα Ξενοκλῆς θῆκε τὸ μαρμάρινον,
μουσικός· οὐχ ἑτέρως τις ἐρεῖ. σοφίῃ δ' ἐπὶ τῇδε
αἶνον ἔχων Μουσέων οὐκ ἐπιλανθάνεται.

IV. (XII.)

Δημομέλης ὁ χορηγός, ὁ τὸν τρίποδ' ὦ Διόνυσε
κὰρ σὲ τὸν ἥδιστον θεῶν μακάρων ἀναθείς,
μέτριος ἦν ἐν πᾶσι, χορῷ δ' ἐκτήσατο νίκην
ἀνδρῶν, καὶ τὸ καλὸν καὶ τὸ προσῆκον ὁρῶν.

V. (XIII.)

Ἡ Κύπρις οὐ πάνδημος. ἱλάσκεο τὴν θεὸν εἰπών
οὐρανίην, ἁγνῆς ἄνθεμα Χρυσογόνας
οἴκῳ ἐν Ἀμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον εἶχε
ξυνόν. ἀεὶ δέ σφιν λώιον εἰς ἔτος ἦν
ἐκ σέθεν ἀρχομένοις ὦ πότνια· κηδόμενοι γάρ
ἀθανάτων αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

VI. (XX.)

Τὸν τοῦ Ζανὸς ὅδ' ὕμιν υἱὸν ὡνήρ
τὸν λεοντομάχαν, τὸν ὀξύχειρα,
πρᾶτος τῶν ἔτ' ἄνωθε μουσοποιῶν
Πείσανδρος συνέγραψεν οὑκ Καμίρου,
χὤσσους ἐξεπόνασεν εἶπ' ἀέθλους.
τοῦτον δ' αὐτὸν ὁ δᾶμος, ὡς σάφ' εἰδῇς,
ἔστασ' ἐνθάδε χάλκεον ποήσας
πολλοῖς μησὶν ὄπισθε κἠνιαυτοῖς.

VII. (XVI.)

Θᾶσαι τὸν ἀνδριάντα τοῦτον ὦ ξένε
σπουδᾷ, καὶ λέγ' ἐπὴν ἐς οἶκον ἔνθῃς·
„Ἀνακρέοντος εἰκόν' εἶδον ἐν Τέῳ
τῶν πρόσθ' εἴ τι περισσὸν ᾠδοποιοῦ.“
προσθεὶς δὲ χὤτι τοῖς νέοισιν ἅδετο,
ἐρεῖς ἀτρεκέως ὅλον τὸν ἄνδρα.

VIII. (XVII.)

Ἅ τε φωνὰ Δώριος χὠνὴρ ὁ τὰν κωμῳδίαν
εὑρὼν Ἐπίχαρμος.
ὦ Βάκχε χάλκεόν νιν ἀντ' ἀλαθινοῦ
τὶν ὧδ' ἀνέθηκαν,
τοὶ Συρακόσσαις ἐνίδρυνται πελωριστᾷ πόλει,
ὧν ἀνδρὶ πολίτᾳ

σωρὸν παρεῖχες ῥημάτων μεμναμένοι
   τελεῖν ἐπίχειρα.
πολλὰ γὰρ πὸτ τὰν ζόαν τοῖς πᾶσιν εἶπε χρήσιμα.
   μεγάλα χάρις αὐτῶν.

IX. (XXI.)

Ὁ μουσοποιὸς ἐνθάδ' Ἱππῶναξ κεῖται.
κεἰ μὲν πονηρός, μὴ προσέρχευ τῷ τύμβῳ·
εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,
θαρσέων καθίζευ, κἢν θέλῃς ἀπόβριξον.

Dubia et Spuria.

X. (II.)

Δάφνις ὁ λευκόχρως, ὁ καλᾷ σύριγγι μελίσδων
   βουκολικοὺς ὕμνους, ἄνθετο Πανὶ τάδε,
τοὺς τρητοὺς δόνακας, τὸ λαγωβόλον, ὀξὺν ἄκοντα,
   νεβρίδα, τὰν πήραν, ᾇ ποκ' ἐμαλοφόρει.

XI. (III.)

Εὕδεις φυλλοστρῶτι πέδῳ Δάφνι σῶμα κεκμακός
   ἀμπαύων· στάλικες δ' ἀρτιπαγεῖς ἀν' ὄρη.
ἀγρεύει δέ τυ Πὰν καὶ ὁ τὸν κροκόεντα Πρίηπος
   κισσὸν ἐφ' ἱμερτῷ κρατὶ καθαπτόμενος,
ἄντρον ἔσω στείχοντες ὁμόρροθοι. ἀλλὰ τὺ φεῦγε,
   φεῦγε μεθεὶς ὕπνου κῶμα καὶ ἀγρεμόνας.

XII. (VI.)

Ἆ δείλαιε τὺ Θύρσι, τί τὸ πλέον, εἰ κατατάξεις
   δάκρυσι διγλήνους ὦπας ὀδυρόμενος;
οἴχεται ἁ χίμαρος, τὸ καλὸν τέκος, οἴχετ' ἐς Ἅιδαν·
   τραχὺς γὰρ χαλαῖς ἀμφεπίαξε λύκος.
αἱ δὲ κύνες κλαγγεῦντι· τί τὸ πλέον, ἁνίκα τήνας
   ὄστιον οὐδὲ τέφρα λείπεται οἰχομένας;

XIII. (V.)

Λῆς ποτὶ τᾶν Νυμφᾶν διδύμοις αὐλοῖσιν ἀεῖσαι
ἁδύ τί μοι; κἠγὼ πακτίδ' ἀειράμενος
ἀρξεῦμαί τι κρέκειν, ὁ δὲ βουκόλος ἄμμιγα θέλξει
Δάφνις, κηροδέτῳ πνεύματι μελπόμενος.
ἐγγὺς δὲ στάντες λασίας δρυὸς ἄντρου ὄπισθεν
Πᾶνα τὸν αἰγιβάταν ὀρφανίσωμες ὕπνου.

XIV. (XXII.)

Ἄλλος ὁ Χῖος· ἐγὼ δὲ Θεόκριτος, ὃς τάδ' ἔγραψα,
εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρακοσίων,
υἱὸς Πραξαγόραο περικλειτῆς τε Φιλίνης·
Μοῦσαν δ' ὀθνείην οὔτιν' ἐφελκυσάμην.

XV.

Ἀστοῖς καὶ ξείνοισιν ἴσον νέμει ἥδε τράπεζα·
θεὶς ἀνελοῦ ψήφου πρὸς λόγον ἐρχομένης.
ἄλλός τις πρόφασιν λεγέτω· τὰ δ' ὀθνεῖα Καΐκος
χρήματα καὶ νυκτὸς βουλομένοις ἀριθμεῖ.

XVI.

Ἀρχαῖ' ἐν τοῦ Ἀπόλλωνος τἀνθήματα ταῦτα
ὑπῆρχεν· ἡ βάσις δὲ τοῖς μὲν εἴκοσι,
τοῖς δ' ἑπτά, τοῖς δὲ πέντε, τοῖς δὲ δώδεκα,
τοῖς δὲ διηκοσίοισι νεωτέρη ἥδ' ἐνιαυτοῖς·
τοσσόσδε γάρ μιν ἐξέβη μετρούμενος

* * * *

XVII. (IV.)

Τήναν τὰν λαύραν τᾷ θ' αἱ δρύες αἰπόλε κάμψας
σύκινον εὑρήσεις ἀρτιγλυφὲς ξόανον,
τρισκελὲς αὐτόφλοιον ἀνούατον, ἀλλὰ φάλητι
παιδογόνῳ δυνατὸν Κύπριδος ἔργα τελεῖν.

σακὸς δ' εὐίερος περιδέδρομεν, ἀέναον δέ
ῥεῖθρον ἀπὸ σπιλάδων πάντοσε τηλεθάει
δάφναις καὶ μύρτοισι καὶ εὐώδει κυπαρίσσῳ.
ἔνθα πέριξ κέχυται βοτρυόπαις ἕλικι
ἄμπελος, εἰαρινοὶ δὲ λιγυφθόγγοισιν ἀοιδαῖς
κόσσυφοι ἀχεῦσιν ποικιλότραυλα μέλη.
ξουθαὶ δ' ἀδονίδες μινυρίσμασιν ἀνταχεῦσι
μέλπουσαι στόμασιν τὰν μελίγαρυν ὄπα.
ἕζεο δὴ τηνεῖ καὶ τῷ χαρίεντι Πριήπῳ
εὔχε' ἀποστέρξαι τοὺς Δάφνιδός με πόθους,
κεὐθὺς ἐπιρρέξειν χίμαρον καλόν. ἢν δ' ἄρα νεύσῃ,
τοῦδε τυχὼν ἐθέλω τρισσὰ θύη τελέσαι·
ῥέξω γὰρ δαμάλαν, λάσιον τράγον, ἄρνα τὸν ἴσχω
σακίταν. αἴοι δ' εὐμενέως ὁ θεός.

XVIII. (XV.)

Γνώσομαι, εἴ τι νέμεις ἀγαθοῖς πλέον, ἢ καὶ ὁ δειλός
ἐκ σέθεν ὡσαύτως ἶσον ὁδοιπόρ' ἔχει.
„χαιρέτω οὗτος ὁ τύμβος“ ἐρεῖς „ἐπεὶ Εὐρυμέδοντος
κεῖται τῆς ἱερῆς κοῦφος ὑπὲρ κεφαλῆς.“

XIX. (XIV.)

Νήπιον υἱὸν ἔλειπες, ἐν ἁλικίᾳ δὲ καὶ αὐτός
Εὐρύμεδον τύμβου τοῦδε θανὼν ἔτυχες.
σοὶ μὲν ἕδρα θείοισι μετ' ἀνδράσι· τὸν δὲ πολῖται
τιμασεῦντι, πατρὸς μνώμενοι ὡς ἀγαθοῦ.

XX. (VIII.)

Ξεῖνε, Συρακόσιός τοι ἀνὴρ τόδ' ἐφίεται Ὄρθων·
χειμερίας μεθύων μηδαμὰ νυκτὸς ἴοις.
καὶ γὰρ ἐγὼ τοιοῦτον ἔχον πόρον, ἀντὶ δὲ πολλᾶς
πατρίδος ὀθνείαν κεῖμαι ἐφεσσάμενος.

XXI. (XI.)

Εὐσθένεος τὸ μνῆμα· φυσιγνώμων ὁ σοφιστής,
δεινὸς ἀπ' ὀφθαλμοῦ καὶ τὸ νόημα μαθεῖν.
εὖ μιν ἔθαψαν ἑταῖροι ἐπὶ ξείνης ξένον ὄντα,
χὠὑμνοθέτης ἐν τοῖς δαιμονίως φίλος ὤν.
πάντων, ὧν ἐπέοικεν ἔχειν τεθνεὼθ', ὁ σοφιστής
καίπερ ἄπικυς ἐὼν εἶχ' ἄρα κηδεμόνας.

XXII.

Ἡ παῖς ᾤχετ' ἄωρος ἐν ἑβδόμῳ ἤδ' ἐνιαυτῷ
εἰς Ἀΐδην πολλοῖς ἡλικίης προτέρη,
δειλαίη, ποθέουσα τὸν εἰκοσάμηνον ἀδελφόν,
νήπιον ἀστόργου γευσάμενον θανάτου.
αἰαῖ ἐλεινὰ παθοῦσα Περιστέρη, ὡς ἐν ἑτοίμῳ
ἀνθρώποις δαίμων θῆκε τὰ λυγρότατα.

XXIII. (XVIII.)

Ὁ μικκὸς τόδ' ἔτευξε τᾷ Θραΐσσᾳ
Μήδειος τὸ μνᾶμ' ἐπὶ τᾷ ὁδῷ κἠπέγραψε Κλείτας.
ἑξεῖ τὰν χάριν ἁδὺν ἀντὶ τήνων,
ὧν τὸν κοῦρον ἔθρεψ'· ἔτι μάν, ὅτι χρησίμα καλεῖται.

XXIV. (XIX.)

Ἀρχίλοχον καὶ στᾶθι καὶ εἴσιδε τὸν πάλαι ποιητάν
τὸν τῶν ἰάμβων, οὗ τὸ μυρίον κλέος
διῆλθε κἠπὶ νύκτα καὶ πρὸς ἀῶ.
ἦρά νιν αἱ Μοῦσαι καὶ ὁ Δάλιος ἠγάπευν Ἀπόλλων,
ὡς ἐμμελής τ' ἐγένετο κἠπιδέξιος
ἔπεά τε ποιεῖν πρὸς λύραν τ' ἀείδειν.

XXV.

Αὐδήσαις τὸ γράμμα, τί σᾶμά τε καὶ τίς ὑπ' αὐτῷ.
Γλαύκης εἰμὶ τάφος τῆς ὀνομαζομένης.

XXVI. (IX.)

Ἄνθρωπε, ζωῆς περιφείδεο, μηδὲ παρ' ὥρην
ναυτίλος ἴσθι· καὶ ὧς οὐ πολὺς ἀνδρὶ βίος.
δείλαιε Κλεόνικε, σὺ δ' εἰς λιπαρὴν Θάσον ἐλθεῖν
ἠπείγευ κοίλης ἔμπορος ἐκ Συρίης,
ἔμπορος ὦ Κλεόνικε· δύσιν δ' ὑπὸ Πλειάδος αὐτήν
ποντοπορῶν αὐτῇ Πλειάδι συγκατέδυς.

THEOCRITI FRAGMENTÚM.

Ἐκ τῆς Βερενίκης.

Καἴ τις ἀνὴρ αἰτεῖται ἐπαγροσύνην τε καὶ ὄλβον,
ἐξ ἁλὸς ᾧ ζωή, τὰ δὲ δίκτυα κείνῳ ἄροτρα,
σφάζων ἀκρόνυχος ταύτῃ θεῷ ἱερὸν ἰχθῦν,
ὃν λεῦκον καλέουσιν, ὃ γὰρ φιερώτατος ἄλλων,
καί κε λίνα στήσαιτο καὶ ἐξερύσαιτο θαλάσσης
ἔμπλεα.

BIONIS RELIQUIAE.

I.

Ἐπιτάφιος Ἀδώνιδος.

Αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις,
ὤλετο καλὸς Ἄδωνις· ἐπαιάζουσιν Ἔρωτες.

Μηκέτι πορφυρέοις ἐνὶ φάρεσι Κύπρι κάθευδε·
ἔγρεο δειλαία κυανόστολε καὶ πλατάγησον
στήθεα καὶ λέγε πᾶσιν ἀπώλετο καλὸς Ἄδωνις.
αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.

Κεῖται καλὸς Ἄδωνις ἐν ὤρεσι μηρὸν ὀδόντι,
λευκὸν μηρὸν ὀδόντι τυπείς, καὶ Κύπριν ἀνιῇ
λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἴβεται αἷμα
χιονέας κατὰ σαρκός, ὑπ' ὀφρύσι δ' ὄμματα ναρκῇ,
καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ δὲ τήνῳ
θνάσκει καὶ τὸ φίλημα, τὸ μήποτε Κύπρις ἀνοίσει.
αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.

Ἄγριον ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις·
μεῖζον δ' ἁ Κυθέρηα φέρει ποτικάρδιον ἕλκος.
κεῖνον μὲν περιπολλὰ φίλοι κύνες ὠρύονται
καὶ Νύμφαι κλαίουσιν Ὀρειάδες· ἁ δ' Ἀφροδίτα
λυσαμένα πλοκαμῖδας ἀνὰ δρυμὼς ἀλάληται
πενθαλέα νήπαστος ἀσάνδαλος, αἱ δὲ βάτοι νιν
ἐρχομέναν κείρουσι καὶ ἱερὸν αἷμα δρέπονται·

Κύπριδι μὲν τὸ φίλαμα καὶ οὐ ζώοντος ἀρέσκει,
ἀλλ' οὐκ οἶδεν Ἄδωνις, ὅ μιν θνάσκοντ' ἐφίλασεν.

ὀξὺ δὲ κωκύοισα δι' ἄγκεα μακρὰ φορεῖται,
Ἀσσύριον βοόωσα πόσιν καὶ πολλὰ καλεῦσα.
ἀμφὶ δέ μιν μέλαν εἷμα παρ' ὀμφαλὸν αἰωρεῖται, 25
στήθεα δ' ἐκ χειρῶν φοινίσσεται, οἱ δ' ὑπὸ μαζοί
χιόνεοι τὸ πάροιθεν Ἀδώνιδι πορφύρονται.
αἰαῖ τὰν Κυθέρηαν ἐπαιάζουσιν Ἔρωτες.

Ὤλεσε τὸν καλὸν ἄνδρα, συνώλεσεν ἱερὸν εἶδος.
Κύπριδι μὲν καλὸν εἶδος, ὅτε ζώεσκεν Ἄδωνις· 30
κάτθανε δ' ἁ μορφὰ σὺν Ἀδώνιδι. τὰν Κύπριν αἰαῖ
ὤρεα πάντα λέγοντι, καὶ αἱ δρύες αἰαῖ Ἄδωνιν·
καὶ ποταμοὶ κλαίουσι τὰ πένθεα τᾶς Ἀφροδίτας,
καὶ παγαὶ τὸν Ἄδωνιν ἐν ὤρεσι δακρύοντι· 34
πάντας ἀνὰ κναμώς, ἀνὰ πᾶν νάπος οἰκτρὰ ἀηδών 36
αἰάζει νέον οἶτον ἀπώλετο καλὸς Ἄδωνις. 37
Κύπριδος αἰνὸν ἔρωτα τίς οὐκ ἔκλαυσεν ἄρ' αἰαῖ; 39
ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος, 40
ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
πάχεας ἀμπετάσασα κινύρετο· „μεῖνον Ἄδωνι,
δύσποτμε μεῖνον Ἄδωνι, πανύστατον ὥς σε κιχείω,
ὥς σε περιπτύξω καὶ χείλεα χείλεσι μίξω.
ἔγρεο τυτθὸν Ἄδωνι, τὸ δ' αὖ πύματόν με φίλησον, 45
τοσσοῦτόν με φίλησον, ὅσον ζώει τὸ φίλημα,
ἄχρις ἀπὸ ψυχᾶς ἐς ἐμὸν στόμα κεἰς ἐμὸν ἧπαρ
πνεῦμα τεὸν ῥεύσῃ, τὸ δέ σευ γλυκὺ φίλτρον ἀμέλξω,
ἐκ δὲ πίω τὸν ἔρωτα, φίλημα δὲ τοῦτο φυλάξω
ὡς σ' αὐτὸν τὸν Ἄδωνιν, ἐπεὶ σύ με δύσμορε φεύγεις, 50

ἄνθεα δ' ἐξ ὀδύνας ἐρυθραίνεται· ἁ δὲ Κυθήρη 35

Ἀχὼ δ' ἀντεβόασεν, ἀπώλετο καλὸς Ἄδωνις. 38

φεύγεις μακρὸν Ἄδωνι, καὶ ἔρχεαι εἰς Ἀχέροντα
πὰρ στυγνὸν βασιλῆα καὶ ἄγριον· ἁ δὲ τάλαινα
ζώω καὶ θεὸς ἐμμὶ καὶ οὐ δύναμαί σε διώκειν.
λάμβανε Περσεφόνα τὸν ἐμὸν πόσιν. ἐσσὶ γὰρ αὐτὰ
πολλὸν ἐμεῦ κρέσσων, τὸ δὲ πᾶν καλὸν ἐς σὲ καταρρεῖ.
ἐμμὶ δ' ἐγὼ πανάποτμος, ἔχω δ' ἀκόρεστον ἀνίαν,
καὶ κλαίω τὸν Ἄδωνιν, ὅ μοι θάνε, καὶ σεσόβημαι.
θνάσκεις ὦ τριπόθητε, πόθος δέ μοι ὡς ὄναρ ἔπτη.
χήρα δ' ἁ Κυθέρηα, κενοὶ δ' ἀνὰ δώματ' Ἔρωτες.
σοὶ δ' ἅμα κεστὸς ὄλωλε. τί γὰρ τολμαρὲ κυναγεῖς;
καλὸς ἐὼν τί τοσοῦτον ἐμήναο θηρὶ παλαίειν;"
ὧδ' ὀλοφύρατο Κύπρις· ἐπαιάζουσιν Ἔρωτες
αἰαῖ τὰν Κυθέρηαν, ἀπώλετο καλὸς Ἄδωνις.

Αἴαζ' ὦ τὸν Ἄδωνιν, ἀπώλετο καλὸς Ἄδωνις.

Μηκέτ' ἐνὶ δρυμοῖσι τὸν ἀνέρα μύρεο Κύπρι.
οὐκ ἀγαθὰ στιβάς ἐστιν Ἀδώνιδι, φυλλὰς ἐρήμα·
λέκτρον ἔχοι Κυθέρηα τὸ σὸν τόδε νεκρὸς Ἄδωνις.
καὶ νέκυς ὢν καλός ἐστι, καλὸς νέκυς οἷα καθεύδων.
κάτθεό νιν μαλακοῖς ἐνὶ φάρεσιν εὖ ἐνιαύεν,
τοῖς μετὰ σεῦ ἀνὰ νύκτα τὸν ἱερὸν ὕπνον ἐμίχθη,
παγχρύσῳ κλιντῆρι· ποθεῖ καὶ στυγνὸν Ἄδωνιν.
βάλλε δέ νιν στεφάνοισι καὶ ἄνθεσι· πάντα σὺν αὐτῷ,
ὡς τῆνος τέθνακε καὶ ἄνθεα ταῦτ' ἐμαράνθη.
ῥαῖνε δέ μιν Συρίοισιν ἀλείφασι, ῥαῖνε μύροισιν.
ὀλλύσθω μύρα πάντα, τὸ σὸν μύρον ὤλεθ' Ἄδωνις.
αἴαζ' ὦ τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.

δάκρυα δ' ἁ Παφίη τόσσ' ἐκχέει, ὅσσον Ἄδωνις
αἷμα χέει· τὰ δὲ πάντα ποτὶ χθονὶ γίνεται ἄνθη.
αἷμα ῥόδον τίκτει, τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.

Κέκλιται ἁβρὸς Ἄδωνις ἐν εἵμασι πορφυρέοισιν·
ἀμφὶ δέ μιν κλαίοντες ἀναστενάχουσιν Ἔρωτες
κειράμενοι χαίτας ἐφ' Ἀδώνιδι· χὢ μὲν ὀϊστώς,
ὃς δ' ἐπὶ τόξον ἔβαιν', ὃς δ' ἐπτέρυσσε φαρέτραν,
χὢ μὲν ἔλυσε πέδιλλον Ἀδώνιδος, οἳ δὲ λέβητ' ἐς
χρυσσοῖσιν φορέοισιν ὕδωρ, ὃ δὲ μηρὸν ἰαίνει,
ὃς δ' ὄπιθεν πτερύγεσσιν ἀναψύχει τὸν Ἄδωνιν.
αἰαῖ τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.

(Deest una stropha.)

αἰαῖ τὰν Κυθέρηαν ἐπαιάζουσιν Ἔρωτες.

Ἔσβεσε λαμπάδα πᾶσαν ἐπὶ φλιαῖς Ὑμέναιος,
καὶ στέφος ἐξεκέδασσε γαμήλιον· οὐκέτι δ' Ὑμήν,
Ὑμὴν οὐκέτ' ἄειδεν ἑὸν μέλος, ἀλλ' ἐπαείδει
αἰαῖ καὶ τὸν Ἄδωνιν ἔτι πλέον ἢ Ὑμέναιον.
αἱ Χάριτες κλαίοντι τὸν υἱέα τῶ Κινύραο,
ὤλετο καλὸς Ἄδωνις ἐν ἀλλάλαισι λέγοισαι.
αἰαῖ δ' ὀξὺ λέγοντι πολὺ πλέον ἢ Παιῶνα
χαἱ Μοῖσαι τὸν Ἄδωνιν, ἀνακλείοισι δ' Ἄδωνιν,
καί μιν ἐπαείδουσιν· ὁ δέ σφισιν οὐκ ἐπακούει.
οὐ μὰν οὐκ ἐθέλει, Κώρα δέ μιν οὐκ ἀπολύει.

Λῆγε γόων Κυθέρηα τὸ σάμερον, ἴσχεο κομμῶν·
δεῖ σε πάλιν κλαῦσαι, πάλιν εἰς ἔτος ἄλλο δακρῦσαι.

II. (XI.)

Ἐκ θαμινᾶς ῥαθάμιγγος, ὅπως λόγος, αἰὲν ἰοίσας
χὰ λίθος ἐς ῥωχμὸν κοιλαίνεται.

III. (IX.)

Οὐ καλὸν ὦ φίλε πάντα λόγον ποτὶ τέκτονα φοιτῆν,
μηδ' ἐπὶ πάντ' ἄλλω χρέος ἰσχέμεν· ἀλλὰ καὶ αὐτός
τεχνᾶσθαι σύριγγα· πέλει δέ τοι εὐμαρὲς ἔργον.

IV. (XIII.)

Μηδὲ λίπῃς μ' ἀγέραστον, ἐπεὶ χὠ Φοῖβος ἀείδει
μισθὸν ἑλών. τιμὰ δὲ τὰ πράγματα κρέσσονα ποιεῖ.

V. (V^a.)

Οὐκ οἶδ', οὐδ' ἐπέοικεν ἃ μὴ μάθομες πονέεσθαι.

VI. (V^b.)

Εἴ μευ καλὰ πέλει τὰ μελύδρια, καὶ τάδε μοῦνα
κῦδος ἐμοὶ θήσοντι, τά μοι πάρος ὤπασε Μοῖσα.
εἰ δ' οὐχ ἁδέα ταῦτα, τί μοι ποτὶ πλείονα μοχθεῖν;

VII. (V^c.)

Εἰ μὲν γὰρ βιότω διπλόον χρόνον ἄμμιν ἔδωκεν
ἢ Κρονίδας ἢ Μοῖρα πολύτροπος, ὥστ' ἀνύεσθαι
τὸν μὲν ἐς εὐφροσύναν καὶ χάρματα, τὸν δ' ἐνὶ μόχθῳ,
ἦν τάχα μοχθήσαντι ποθ' ὕστερον ἐσθλὰ δέχεσθαι.
εἰ δὲ θεοὶ κατένευσαν ἕνα χρόνον ἐς βίον ἐλθεῖν
ἀνθρώποις, καὶ τόνδε βραχὺν καὶ μείονα πάντων,
ὁππόσα τοὶ δειλοὶ καματώδεες ἔργα πονεῦμες,
ψυχὰν δ' ἄχρι τίνος ποτὶ κέρδεα καὶ ποτὶ τέχνας
βάλλομες, ἱμείροντες ἀεὶ πολὺ πλείονος ὄλβω;
λαθόμεθ' ἦ ἄρα πάντες, ὅτι θνατοὶ γενόμεσθα,
χὡς βραχὺν ἐκ Μοίρας λάχομες χρόνον.

VIII. (IV.)

Ταὶ Μοῖσαι τὸν Ἔρωτα τὸν ἄγριον οὐ φοβέονται
ἦκ θυμῶ φιλέοντι καὶ ἐκ ποδὸς αὐτῷ ἕπονται.
κἢν μὲν ἄρα ψυχάν τις ἔχων ἀνέραστον ἀείδῃ,
τῆνον ὑπεκφεύγοντι καὶ οὐκ ἐθέλοντι διδάσκειν·
ἢν δὲ νόον τις Ἔρωτι δονεύμενος ἁδὺ μελίσδῃ,
ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι προρέοντι.

μάρτυς ἐγών, ὅτι μῦθος ὅδ' ἔπλετο πᾶσιν ἀλαθής.
ἢν μὲν γὰρ βροτὸν ἄλλον ἢ ἀθανάτων τινὰ μέλπω,
βαμβαίνει μευ γλῶσσα καὶ ὡς πάρος οὐκέτ' ἀείδει·
ἢν δ' αὖτ' ἐς τὸν Ἔρωτα καὶ ἐς Λυκίδαν τι μελίσδω,
καὶ τόκα μοι χαίροισα διὰ στόματος ῥέει αὐδά.

IX. (III.)

Ἁ μεγάλα μοι Κύπρις ἔθ' ὑπνώοντι παρέστα,
νηπίαχον τὸν Ἔρωτα καλᾶς ἐκ χειρὸς ἄγοισα
ἐς χθόνα νευστάζοντα, τόσον δέ μοι ἔφρασε μῦθον·
„μέλπειν μοι φίλε βοῦτα λαβὼν τὸν Ἔρωτα δίδασκε."
ὣς λέγε· χὰ μὲν ἀπῆλθεν, ἐγὼ δ' ὅσα βουκολίασδον,
νήπιος ὡς ἐθέλοντα μαθεῖν τὸν Ἔρωτα δίδασκον,
ὡς εὗρε πλαγίαυλον ὁ Πάν, ὡς αὐλὸν Ἀθάνα,
ὡς χέλυν Ἑρμάων, κίθαριν ὡς ἄνυσ' Ἀπόλλων.
ταῦτά μιν ἐξεδίδασκον· ὃ δ' οὐκ ἐμπάζετο μύθων,
ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα, καί μ' ἐδίδασκε
θνατῶν ἀθανάτων τε πόθως καὶ ματέρος ἔργα.
κἠγὼν ἐκλαθόμαν μὲν ὅσων τὸν Ἔρωτ' ἐδίδασκον,
ὅσσα δ' Ἔρως μ' ἐδίδαξεν ἐρωτύλα πάντ' ἐδιδάχθην.

X. (XVI.)

Ἕσπερε, τᾶς ἐρατᾶς χρύσεον φάος Ἀφρογενείας,
Ἕσπερε κυανέας ἱερὸν φίλε νυκτὸς ἄγαλμα,
τόσσον ἀφαυρότερος μήνας, ὅσον ἔξοχος ἄστρων,
χαῖρε φίλος, καί μοι ποτὶ ποιμένα κῶμον ἄγοντι
ἀντὶ σελαναίας τὺ δίδου φάος, ὥνεκα τήνα
σάμερον ἀρχομένα τάχιον δύεν. οὐκ ἐπὶ φωράν
ἔρχομαι, οὐδ' ἵνα νυκτὸς ὁδοιπορέοντα λοχάσω·
ἀλλ' ἐράω· καλὸν δέ τ' ἐρασσαμένῳ συναρέσθαι.

XI. (VIII.)

Ὄλβιοι οἱ φιλέοντες, ἐπὴν ἴσον ἀντεράωνται.
ὄλβιος ἦν Θησεὺς τῶ Πειριθόω παρεόντος,
εἰ καὶ ἀμειλίκτοιο κατήλυθεν εἰς Ἀΐδαο.
ὄλβιος ἦν χαλεποῖσιν ἐν ἀξείνοισιν Ὀρέστας,
ὥνεκά οἱ ξυνὰς Πυλάδας ἀλῆτο κελεύθως.
ἦν μάκαρ Αἰακίδας ἑτάρω ζώοντος Ἀχιλλεύς·
ὄλβιος ἦν θνάσκων, ὅτι ἵμερον αἰνὸν ἄμυνεν.

XII. (II.)

Ἰξευτὰς ἔτι κῶρος ἐν ἄλσεϊ δενδράεντι
ὄρνεα θηρεύων τὸν ὑπόπτερον εἶδεν Ἔρωτα
ἑσδόμενον πύξοιο ποτὶ κλάδον· ὡς δ' ἐνόησε,
χαίρων ὥνεκα δὴ μέγα φαίνετο ὄρνεον αὐτῷ,
τὼς καλάμως ἅμα πάντας ἐπ' ἀλλάλοισι συνάπτων
τᾷ καὶ τᾷ τὸν Ἔρωτα μετάλμενον ἀμφεδόκευε.
χὠ παῖς ἀσχαλάων, ὅκα οἱ τέλος οὐδὲν ἀπάντη,
τὼς καλάμως ῥίψας ποτ' ἀροτρέα πρέσβυν ἵκανεν,
ὅς νιν τᾶνδε τέχναν ἐδιδάξατο, καὶ λέγεν αὐτῷ,
καί οἱ δεῖξεν Ἔρωτα καθήμενον. αὐτὰρ ὁ πρέσβυς
μειδιάων κίνησε κάρη καὶ ἀμείβετο παῖδα·
„φείδεο τᾶς θήρας, μηδ' ἐς τόδ' ἔτ' ὄρνεον ἔρχευ.
φεῦγε μακράν. κακόν ἐστι τὸ θηρίον. ὄλβιος ἐσσῇ,
εἰσόκε μή μιν ἕλῃς· ἢν δ' ἀνέρος ἐς μέτρον ἔλθῃς,
οὗτος ὁ νῦν φεύγων καὶ ἀπάλμενος αὐτὸς ἀφ' αὐτῶ
ἐλθὼν ἐξαπίνας κεφαλὰν ἔπι σεῖο καθιξεῖ."

XIII. (XVII.)

Ἅμερε Κυπρογένεια, Διὸς τέκος ἠὲ θαλάσσας,
τίπτε τόσον θνατοῖσι καὶ ἀθανάτοισι χαλέπτεις;
τυτθὸν ἔφαν· τί νυ τόσσον ἀπήχθεο καὶ τὶν αὐτᾷ,

ταλίκον ὡς πάντεσσι κακὸν τὸν Ἔρωτα τεκέσθαι,
ἄγριον ἄστοργον, μορφᾷ νόον οὐδὲν ὁμοῖον;
ἐς τί δέ νιν πτανὸν καὶ ἑκαβόλον ὤπασας ἦμεν,
ὡς μὴ πικρὸν ἐόντα δυναίμεθα τῆνον ἀλύξαι;

XIV. (XIV.)

Μορφὰ θηλυτέρῃσι πέλει καλόν, ἀνέρι δ' ἀλκά.

XV. (XII.)

Αὐτὰρ ἐγὼν βασεῦμαι ἐμὰν ὁδὸν ἐς τὸ κάταντες
τῆνο ποτὶ ψάμαθόν τε καὶ ἠϊόνα ψιθυρίσδων,
λισσόμενος Γαλάτειαν ἀπηνέα· τὰς δὲ γλυκείας
ἐλπίδας ὑστατίω μέχρι γήραος οὐκ ἀπολειψῶ.

XVI. (VII.)

Ἀμφασία τὸν Φοῖβον ἕλεν τόσον ἄλγος ἔχοντα.
δίζετο φάρμακα πάντα, σοφὰν δ' ἐπεμαίετο τέχναν·
χρῖεν δ' ἀμβροσίᾳ καὶ νέκταρι, χρῖεν ἅπασαν
ὠτειλάν· μοιραῖα δ' ἀναλθέα τραύματα πάντα.

XVII. (VI.)

ΚΛΕΟΔΑΜΟΣ.

Εἴαρος ὦ Μύρσων ἢ χείματος ἢ φθινοπώρω
ἢ θέρεος τί τοι ἁδύ; τί δὲ πλέον εὔχεαι ἐλθεῖν;
ἢ θέρος, ἁνίκα πάντα τελείεται ὅσσα μογεῦμες;
ἢ γλυκερὸν φθινόπωρον, ὅτ' ἀνδράσι λιμὸς ἐλαφρά;
ἢ καὶ χεῖμα δύσεργον; ἐπεὶ καὶ χείματι πολλοί
θαλπόμενοι θέλγονται ἀεργίᾳ τε καὶ ὄκνῳ.
ἢ τοι καλὸν ἔαρ πλέον εὔαδεν; εἰπέ, τί τοι φρήν
αἱρεῖται; λαλέειν γὰρ ἐπέτραπεν ἁ σχολὰ ἄμμιν.

ΜΥΡΣΩΝ.

Κρίνειν οὐκ ἐπέοικε θεήια ἔργα βροτοῖσι·

πάντα γὰρ ἱερὰ ταῦτα καὶ ἁδέα· σεῦ δὲ ἕκατι
ἐξερέω Κλεόδαμε, τό μοι πέλεν ἅδιον ἄλλων.
οὐκ ἐθέλω θέρος ἦμεν, ἐπεὶ τόκα μ' ἅλιος ὀπτῇ.
οὐκ ἐθέλω φθινόπωρον, ἐπεὶ νοσέρ' ὥρια τίκτει.
οὖλον χεῖμα φέρον νιφετὸν κρυμώς τε φοβεῦμαι.
εἶαρ ἐμοὶ τριπόθητον ὅλῳ λυκάβαντι παρείη,
ἁνίκα μήτε κρύος μήθ' ἅλιος ἄμμε βαρύνει.
εἴαρι πάντα κύει, πάντ' εἴαρος ἁδέα βλαστεῖ,
χἀ νὺξ ἀνθρώποισιν ἴσα καὶ ὁμοίιος ἀώς.

XVIII. (X.)

Μοίσας Ἔρως καλέοι, Μοῖσαι τὸν Ἔρωτα φέροιεν.
μολπὰν ταὶ Μοῖσαί μοι ἀεὶ ποθέοντι διδοῖεν,
τὰν γλυκερὰν μολπάν, τᾶς φάρμακον ἅδιον οὐδέν.

XIX.

Πάντα θεῶ γ' ἐθέλοντος ἐναίσιμα, πάντα βροτοῖσιν
ἐκ μακάρων ῥᾷστα καὶ οὐκ ἀτέλεστα γένοντο.

MOSCHI RELIQUIAE.

I.

Εὐρώπη.

Εὐρώπῃ ποτὲ Κύπρις ἐπὶ γλυκὺν ἧκεν ὄνειρον,
νυκτὸς ὅτε τρίτατον λάχος ἵσταται, ἐγγύθι δ' ἠώς,
ὕπνος ὅτε γλυκίων μέλιτος βλεφάροισιν ἐφίζων
λυσιμελὴς πεδάᾳ μαλακῷ κατὰ φάεα δεσμῷ,
εὖτε καὶ ἀτρεκέων ποιμαίνεται ἔθνος ὀνείρων.
τῆμος ὑπωροφίοισιν ἐνὶ κνώσσουσα δόμοισι
Φοίνικος θυγάτηρ ἔτι παρθένος Εὐρώπεια
ὠίσατ' ἠπείρους δοιὰς περὶ εἷο μάχεσθαι,
'Ασίδα τ' ἀντιπέρην τε· φυὴν δ' ἔχον οἷα γυναῖκες.
τῶν δ' ἣ μὲν ξείνης μορφὴν ἔχεν, ἣ δ' ἄρ' ἐῴκει
ἐνδαπίῃ, καὶ μᾶλλον ἑῆς περιίσχετο κούρης,
φάσκεν δ' ὥς μιν ἔτικτε καὶ ὡς ἀτίτηλέ μιν αὐτή.
ἡ δ' ἑτέρη κρατερῇσι βιωομένη παλάμῃσιν
εἴρυεν οὐκ ἀέκουσαν, ἐπεὶ φάτο μόρσιμον εἷο
ἐκ Διὸς αἰγιόχου γέρας ἔμμεναι Εὐρώπειαν.
ἡ δ' ἀπὸ μὲν στρωτῶν λεχέων θόρε δειμαίνουσα,
παλλομένη κραδίην· τὸ γὰρ ὡς ὕπαρ εἶδεν ὄνειρον.
ἑζομένη δ' ἐπὶ δηρὸν ἀκὴν ἔχεν, ἀμφοτέρας δέ
εἰσέτι πεπταμένοισιν ἐν ὄμμασιν εἶχε γυναῖκας.
ὀψὲ δὲ δειμαλέην ἀνενείκατο παρθένος αὐδήν·
„Τίς μοι τοιάδε φάσματ' ἐπουρανίων προΐηλεν;
ποῖοί με στρωτῶν λεχέων ὕπερ ἐν θαλάμοισιν
ἡδὺ μάλα κνώσσουσαν ἀνεπτοίησαν ὄνειροι,

τίς δ' ἦν ἡ ξείνη, τὴν εἴσιδον ὑπνώουσα;
ὥς μ' ἔλαβε κραδίην κείνης πόθος, ὥς με καὶ αὐτή
ἀσπασίως ὑπέδεκτο καὶ ὡς σφετέρην ἴδε παῖδα.
ἀλλά μοι εἰς ἀγαθὸν μάκαρες κρήνειαν ὄνειρον."
Ὣς εἰποῦσ' ἀνόρουσε, φίλας δ' ἐπεδίζεθ' ἑταίρας
ἥλικας οἰέτεας θυμήρεας εὐπατερείας,
τῇσιν ἀεὶ συνάθυρεν, ὅτ' ἐς χορὸν ἐντύναιτο,
ἢ ὅτε φαιδρύνοιτο χρόα προχοῇσιν ἀναύρων,
ἢ ὁπότ' ἐκ λειμῶνος ἐΰπνοα λείρι' ἀμέργοι.
αἳ δέ οἱ αἶψα φάανθεν· ἔχον δ' ἐν χερσὶν ἑκάστη
ἀνθοδόκον τάλαρον· ποτὶ δὲ λειμῶνας ἔβαινον
ἀγχιάλους, ὅθι τ' αἰὲν ὁμιλαδὸν ἠγερέθοντο
τερπόμεναι ῥοδέῃ τε φυῇ καὶ κύματος ἠχῇ.
αὐτὴ δὲ χρύσεον τάλαρον φέρεν Εὐρώπεια,
θηητὸν μάλα θαῦμα, μέγαν πόνον Ἡφαίστοιο,
ὃν Λιβύῃ πόρε δῶρον, ὅτ' ἐς λέχος Ἐννοσιγαίου
ἤιεν· ἣ δὲ πόρεν περικαλλέϊ Τηλεφαάσσῃ,
ἥτέ οἱ αἵματος ἔσκεν· ἀνύμφῳ δ' Εὐρωπείῃ
μήτηρ Τηλεφάασσα περικλυτὸν ὤπασε δῶρον.
ἐν τῷ δαίδαλα πολλὰ τετεύχατο μαρμαίροντα.
ἐν μὲν ἔην χρυσοῖο τετυγμένη Ἰναχὶς Ἰώ,
εἰσέτι πόρτις ἐοῦσα, φυὴν δ' οὐκ εἶχε γυναίην.
φοιταλέη δὲ πόδεσσιν ἐφ' ἁλμυρὰ βαῖνε κέλευθα,
νηχομένῃ ἰκέλη· κυάνου δ' ἐτέτυκτο θάλασσα.
δοιοῦ δ' ἕστασαν ὑψοῦ ἐπ' ὀφρύος αἰγιαλοῖο
φῶτες ἀολλήδην, θηεῦντο δὲ ποντοπόρον βοῦν.
ἐν δ' ἦν Ζεὺς Κρονίδης ἐπαφώμενος ἠρέμα χερσί
πόρτιος Ἰναχίης, τὴν δ' ἑπταπόρῳ παρὰ Νείλῳ
ἐκ βοὸς εὐκεράοιο πάλιν μετάμειβε γυναῖκα.
ἀργύρεος μὲν ἔην Νείλου ῥόος, ἡ δ' ἄρα πόρτις
χαλκείη, χρυσοῦ δὲ τετυγμένος αὐτὸς ἔην Ζεύς.
ἀμφὶ δὲ δηνήεντος ὑπὸ στεφάνην ταλάροιο

Ἑρμείης ἤσκητο· πέλας δέ οἱ ἐκτετάνυστο
Ἄργος ἀκοιμήτοισι κεκασμένος ὀφθαλμοῖσι.
τοῖο δὲ φοινήεντος ἀφ' αἵματος ἐξανέτελλεν
ὄρνις ἀγαλλόμενος πτερύγων πολυανθέϊ χροιῇ,
τάρσ' ὃς ἀναπλώσας ὡσείτέ τις ὠκύαλος νηῦς
χρυσείου ταλάροιο περίσκεπε χείλεα ταρσοῖς.
τοῖος ἔην τάλαρος περικαλλέος Εὐρωπείης.
Αἳ δ' ἐπεὶ οὖν λειμῶνας ἐς ἀνθεμόεντας ἵκανον,
ἄλλη ἐπ' ἀλλοίοισι τότ' ἄνθεσι θυμὸν ἔτερπον.
τῶν ἣ μὲν νάρκισσον ἐΰπνοον, ἣ δ' ὑάκινθον,
ἣ δ' ἴον, ἣ δ' ἕρπυλλον ἀπαίνυτο· πολλὰ δ' ἔραζε
λειμώνων ἐαροτρεφέων θάλε' ἔσκε πετηλά.
αἳ δ' αὖτε ξανθοῖο κρόκου θυόεσσαν ἔθειραν
δρέπτον ἐριδμαίνουσαι· ἀτὰρ μέσσησιν ἄνασσα,
ἀγλαΐην πυρσοῖο ῥόδου χείρεσσι λέγουσα,
οἷά περ ἐν Χαρίτεσσι διέπρεπεν Ἀφρογένεια.
οὐ μὴν δηρὸν ἔμελλεν ἐπ' ἄνθεσι θυμὸν ἰαίνειν,
οὐδ' ἄρα παρθενίην μίτρην ἄχραντον ἔρυσθαι.
ἦ γὰρ δὴ Κρονίδης ὥς μιν φράσαθ', ὡς ἐόλητο
θυμὸν ἀνωΐστοισιν ὑποδμηθεὶς βελέεσσι
Κύπριδος, ἣ μούνη δύναται καὶ Ζῆνα δαμάσσαι.
δὴ γὰρ ἀλευόμενός τε χόλον ζηλήμονος Ἥρης
παρθενικῆς τ' ἐθέλων ἀταλὸν νόον ἐξαπατῆσαι
κρύψε θεὸν καὶ τρέψε δέμας καὶ γείνετο ταῦρος,
οὐχ οἷος σταθμοῖς ἔνι φέρβεται, οὐδέ μεν οἷος
ὦλκα διατμήγει σύρων εὐκαμπὲς ἄροτρον,
οὐδ' οἷος ποίμνης ἔπι βόσκεται, οὐδέ μεν οἷος
ὅστις ὑποδμηθεὶς ἐρύει πολύφορτον ἀπήνην.
τοῦ δή τοι τὸ μὲν ἄλλο δέμας ξανθόχροον ἔσκε,
κύκλος δ' ἀργύφεος μέσσῳ μάρμαιρε μετώπῳ,
ὄσσε δ' ὑπὸ γλαύσσεσκε καὶ ἵμερον ἀστράπτεσκεν.
ἶσά τ' ἐπ' ἀλλήλοισι κέρα ἀνέτελλε καρήνου

ἄντυγος ἡμιτόμου κεραῆς ἅτε κύκλα σελήνης.
ἤλυθε δ' ἐς λειμῶνα καὶ οὐκ ἐφόβησε φαανθείς
παρθενικάς, πάσῃσι δ' ἔρως γένετ' ἐγγὺς ἱκέσθαι,
ψαῦσαι δ' ἱμερτοῖο βοός, τοῦ δ' ἄμβροτος ὀδμή
τηλόθι καὶ λειμῶνος ἐκαίνυτο λαρὸν ἀϋτμήν.
στῆ δὲ ποδῶν προπάροιθεν ἀμύμονος Εὐρωπείης,
καί οἱ λιχμάζεσκε δέριν, κατέθελγε δὲ κούρην.
ἡ δέ μιν ἀμφαφάασκε καὶ ἠρέμα χείρεσιν ἀφρόν
πολλὸν ἀπὸ στομάτων ἀπομόργνυτο καὶ κύσε ταῦρον.
αὐτὰρ ὃ μειλίχιον μυκήσατο· φαΐό κεν αὐλοῦ
Μυγδονίου γλυκὺν ἦχον ἀνηπύοντος ἀκούειν.
ὤκλασε δὲ πρὸ ποδοῖιν, ἐδέρκετο δ' Εὐρώπειαν
αὐχέν' ἐπιστρέψας καί οἱ πλατὺ δείκνυε νῶτον.
ἣ δὲ βαθυπλοκάμοισι μετέννεπε παρθενικῇσι·
„Δεῦθ' ἑτάραι φίλιαι καὶ ὁμήλικες, ὄφρ' ἐπὶ τῷδε
ἑζόμεναι ταύρῳ τερπώμεθα· δὴ γὰρ ἁπάσας
νῶτον ὑποστορέσας ἀναδέξεται οἷά τ' ἐνηής
πρηΰς τ' εἰσιδέειν καὶ μείλιχος, οὐδέ τι ταύροις
ἄλλοισι προσέοικε· νόος δέ οἱ ἠΰτε φωτός
αἴσιμος ἀμφὶ θέῃ, μούνης δ' ἐπιδεύεται αὐδῆς.“
Ὣς φαμένη νώτοισιν ἐφίζανε μειδιόωσα,
αἱ δ' ἄλλαι μέλλεσκον. ἄφαρ δ' ἀνεπήλατο ταῦρος,
ἣν θέλεν ἁρπάξας· ὠκὺς δ' ἐπὶ πόντον ἵκανεν.
ἣ δὲ μεταστρεφθεῖσα φίλας καλέεσκεν ἑταίρας
χεῖρας ὀρεγνυμένη, ταὶ δ' οὐκ ἐδύναντο κιχάνειν.
ἀγάων δ' ἐπιβὰς πρόσσω θέεν ἠΰτε δελφίς,
χηλαῖς ἀβρεκτοῖσιν ἐπ' εὐρέα κύματα βαίνων.
ἣ δὲ τότ' ἐρχομένοιο γαληνιάασκε θάλασσα,
κήτεα δ' ἀμφὶς ἄταλλε Διὸς προπάροιθε ποδοῖιν,
γηθόσυνος δ' ὑπὲρ οἶδμα κυβίστεε βυσσόθε δελφίς.
Νηρεΐδες δ' ἀνέδυσαν ὑπὲξ ἁλός, αἳ δ' ἄρα πᾶσαι
κητείοις νώτοισιν ἐφήμεναι ἐστιχόωντο.

καὶ δ' αὐτὸς βαρύδουπος ὑπεὶρ ἅλα Ἐννοσίγαιος
κῦμα κατιθύνων ἁλίης ἡγεῖτο κελεύθου
αὐτοκασιγνήτῳ· τοὶ δ' ἀμφί μιν ἠγερέθοντο
Τρίτωνες, πόντοιο βαρύθροοι αὐλητῆρες,
κόχλοισιν ταναοῖς γάμιον μέλος ἠπύοντες.
ἡ δ' ἄρ' ἐφεζομένη Ζηνὸς βοέοις ἐπὶ νώτοις
τῇ μὲν ἔχεν ταύρου δολιχὸν κέρας, ἐν χερὶ δ' ἄλλῃ
εἴρυε πορφυρέην στολμοῦ πτύχα, ὄφρά κε μή μιν
δεύοι ἐφελκόμενον πολιῆς ἁλὸς ἄσπετον ὕδωρ.
κολπώθη δ' ἀνέμοισι πέπλος βαθὺς Εὐρωπείης,
ἱστίον οἷά τε νηός, ἐλαφρίζεσκε δὲ κούρην.
ἡ δ' ὅτε δὴ γαίης ἄπο πατρίδος ἦεν ἄνευθεν,
φαίνετο δ' οὔτ' ἀκτή τις ἁλίρροθος οὔτ' ὄρος αἰπύ,
ἀλλ' ἀὴρ μὲν ἄνωθεν, ἔνερθε δὲ πόντος ἀπείρων,
ἀμφί ἓ παπτήνασα τόσην ἀνενείκατο φωνήν·
„Πῆ με φέρεσθ' ὦ ταῦρε φίλ' ἔπλετο; πῶς δὲ κέλευθα
ἀργαλέ' εἰλιπόδεσσι διέρχεαι, οὐδὲ θάλασσαν
δειμαίνεις; νηυσὶν γὰρ ἐπίδρομός ἐστι θάλασσα
ὠκυάλοις, ταῦροι δ' ἁλίην τρομέουσιν ἀταρπόν.
ποῖόν τοι ποτὸν ἡδύ; τίς ἐξ ἁλὸς ἔσσετ' ἐδωδή;
ἦ ἄρα τις θεός ἐσσι· θεοῖς δ' ἐπεοικότα ῥέξεις.
οὔθ' ἅλιοι δελφῖνες ἐπὶ χθονὸς οὔτέ τι ταῦροι
ἐν πόντῳ στιχόωσι, σὺ δὲ χθόνα καὶ κατὰ πόντον
ἄτρομος ἀΐσσεις, χηλαὶ δέ τοί εἰσιν ἐρετμά.
ἦ τάχα καὶ γλαυκῆς ὑπὲρ ἠέρος ὑψόσ' ἀερθεὶς
εἴκελος αἰψηροῖσι πετήσεαι οἰωνοῖσιν.
ὤμοι ἐγὼ μέγα δή τι δυσάμμορος, ἥ ῥά τε δῶμα
πατρὸς ἀποπρολιποῦσα καὶ ἑσπομένη βοῒ τῷδε
ξείνην ναυτιλίην ἐφέπω καὶ πλάζομαι οἴη.
ἀλλὰ σύ μοι μεδέων πολιῆς ἁλὸς Ἐννοσίγαιε
ἵλαος ἀντήσειας, ὃν ἔλπομαι εἰσοράασθαι

τόνδε κατιθύνοντα πόρον προκέλευθον ἐμεῖο.
οὐκ ἀθεεὶ γὰρ ταῦτα διέρχομαι ὑγρὰ κέλευθα.“
Ὣς φάτο· τὴν δ' ὧδε προσεφώνεεν ἠΰκερως βοῦς·
„Θάρσει παρθενική, μὴ δείδιθι πόντιον οἶδμα.
αὐτός τοι Ζεύς εἰμι, καὶ ἐγγύθεν εἰ δοκέω μέν
ταῦρος· ἐπεὶ δύναμαί γε φανήμεναι ὅττι θέλοιμι.
σὸς δὲ πόθος μ' ἀνέηκε τόσην ἅλα μετρήσασθαι
ταύρῳ ἐειδόμενον· Κρήτη δέ σε δέξεται ἤδη,
ἥ μ' ἔθρεψε καὶ αὐτόν, ὅπη νυμφήια σεῖο
ἔσσεται· ἐξ ἐμέθεν δὲ κλυτοὺς φιτύσεαι υἷας,
οἳ σκηπτοῦχοι ἄνακτες ἐπὶ χθονίοισιν ἔσονται.“
Ὣς φάτο· καὶ τετέλεστο τά περ φάτο. φαίνετο μὲν δή
Κρήτη, Ζεὺς δὲ πάλιν σφετέρην ἀνελάζετο μορφήν,
λῦσε δέ οἱ μίτρην, καί οἱ λέχος ἔντυνον Ὧραι.
ἡ δὲ πάρος κούρη Ζηνὸς γένετ' αὐτίκα νύμφη.

II.

Ἔ ρ ω ς δ ρ α π έ τ η ς.

Ἁ Κύπρις τὸν Ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει·
ὅστις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα —
δραπετίδας ἐμός ἐστιν — ὁ μανύσας γέρας ἑξεῖς
μισθόν τοι, τὸ φίλημα τὸ Κύπριδος· ἢν δ' ἀγάγῃς νιν,
οὐ γυμνὸν τὸ φίλημα, τὺ δ' ὦ ξένε καὶ πλέον ἑξεῖς.
ἔστι δ' ὁ παῖς περίσαμος· ἐν εἴκοσι πᾶσι μαθησῇ.
χρῶτα μὲν οὐ λευκός, πυρὶ δ' εἴκελος· ὄμματα δ' αὐτῷ
δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα·

καὶ Κρονίδῃ τέκε τέκνα καὶ αὐτίκα γείνετο μήτηρ.

οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται· ὡς μέλι φωνά,
ἐν δὲ χολὰ νόος ἐστὶν ἀνάμερος· ἠπεροπευτάς,
οὐδὲν ἀλαθεύων, δόλιον βρέφος, ἄγρια παίσδων.
εὐπλόκαμον τὸ κάρανον, ἔχει δ' ἰταμὸν τὸ μέτωπον.
μικκύλα μὲν τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βάλλει,
βάλλει κεὶς Ἀχέροντα καὶ εἰς Ἀΐδεω βασιλῆα.
γυμνὸς ὅλος τό γε σῶμα, νόος δέ οἱ εὖ πεπύκασται.
καὶ πτερόεις ὡς ὄρνις ἐφίπταται ἄλλον ἐπ' ἄλλῳ,
ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται.
τόξον ἔχει μάλα βαιόν, ὑπὲρ τόξω δὲ βέλεμνον,
τυτθὸν μὲν τὸ βέλεμνον, ἐς αἰθέρα δ' ἄχρι φορεῖται.
καὶ χρύσεον περὶ νῶτα φαρέτριον, ἔνδοθι δ' ἐντί
τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἄμμε τιτρώσκει.
πάντα μὲν ἄγρια ταῦτα· πολὺ πλέον ἃ δ' ἀεὶ αὐτῷ
βαιὰ λαμπὰς ἐοῖσα τὸν Ἅλιον αὐτὸν ἀναίθει.
ἤν τις ἕλῃ τῆνον, δήσας ἄγε μηδ' ἐλεήσῃς.
κἢν ποτίδῃς κλαίοντα, φυλάσσεο μή σε πλανήσῃ.
κἢν γελάῃ, τύ νιν ἕλκε. καὶ ἢν ἐθέλῃ σε φιλῆσαι,
φεῦγε· κακὸν τὸ φίλημα, τὰ χείλεα φάρμακον ἐντί.
ἢν δὲ λέγῃ „λάβε ταῦτα, χαρίζομαι ὅσσά μοι ὅπλα“,
μὴ τὺ θίγῃς πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβαπται.

III. (V.)

Τὰν ἅλα τὰν γλαυκὰν ὅταν ὥνεμος ἀτρέμα βάλλῃ,
τὰν φρένα τὰν δειλὰν ἐρεθίζομαι, οὐδ' ἔτι μοι γᾶ
ἐστὶ φίλα, ποθίει δὲ πολὺ πλέον ἃ με γαλάνα.
ἀλλ' ὅταν ἀχήσῃ πολλὸς βυθοῖ, ἁ δὲ θάλασσα
κυρτὸν ἐπαφρίζῃ, τὰ δὲ κύματα μακρὰ μεμύκῃ,
ἐς χθόνα παπταίνω καὶ δένδρεα, τὰν δ' ἅλα φεύγω,
γᾶ δέ μοι ἀσπαστά, χἀ δάσκιος εὔαδεν ὕλα,
ἔνθα καὶ ἢν πνεύσῃ πολὺς ὥνεμος, ἁ πίτυς ᾄδει.
ἦ κακὸν ὁ γριπεὺς ζώει βίον, ᾧ δόμος ἁ ναῦς,

καὶ πόνος ἐστὶ θάλασσα, καὶ ἰχθύες ἁ πλάνος ἄγρα.
αὐτὰρ ἐμοὶ γλυκὺς ὕπνος ὑπὸ πλατάνῳ βαθυφύλλῳ,
καὶ παγᾶς φιλ' ἐμοὶ τᾶς ἐγγύθεν ἆχον ἀκούειν,
ἃ τέρπει ψοφέοισα τὸν ἄγριον, οὐχὶ ταράσσει.

IV. (VI.)

Ἤρατο Πὰν Ἀχῶς τᾶς γείτονος, ἤρατο δ' Ἀχώ
σκιρτατᾶ Σατύρω, Σάτυρος δ' ἐπεμήνατο Λύδᾳ.
ὡς Ἀχὼ τὸν Πᾶνα, τόσον Σάτυρος φλέγεν Ἀχώ,
καὶ Λύδα Σατυρίσκον· Ἔρως δ' ἔσμυχ' ἐπαμοιβά.
ὅσσον γὰρ τήνων τις ἐμίσεε τὸν φιλέοντα,
τόσσον ὁμῶς φιλέων ἠχθαίρετο, πάσχε δ' ἃ ποίει.
ταῦτα λέγω πᾶσιν τὰ διδάγματα τοῖς ἀνεράστοις·
στέργετε τὼς φιλέοντας, ἵν' ἢν φιλέητε φιλῆσθε.

V. (VII.)

Ἀλφειὸς μετὰ Πῖσαν ἐπὴν κατὰ πόντον ὁδεύῃ,
ἔρχεται εἰς Ἀρέθοισαν ἄγων κοτινηφόρον ὕδωρ,
ἕδνα φέρων καλὰ φύλλα καὶ ἄνθεα καὶ κόνιν ἱράν·
καὶ βαθὺς ἐμβαίνει τοῖς κύμασι, τὰν δὲ θάλασσαν
νέρθεν ὑποτροχάει, κοὐ μίγνυται ὕδασιν ὕδωρ,
ἁ δ' οὐκ οἶδε θάλασσα διερχομένω ποταμοῖο.
κῶρος δειλοθέτας κακομάχανος αἰνὰ διδάσκων
καὶ ποταμὸν διὰ φίλτρον Ἔρως ἐδίδαξε κολυμβῆν.

VI. (VIII.)

Λαμπάδα θεὶς καὶ τόξα βοηλάτιν εἵλετο ῥάβδον
  οὖλος Ἔρως, πήρην δ' εἶχε κατωμαδίην,
καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων
  ἔσπειρεν Δηοῦς αὔλακα πυροφόρον.
εἶπε δ' ἄνω βλέψας αὐτῷ Διί· „πῖσον ἀρούρας,
  μή σε τὸν Εὐρώπης βοῦν ὑπ' ἄροτρα βάλω.“

INCERTORUM IDYLLIA.

Idyll. I. (Mosch. III.)

Ἐπιτάφιος Βίωνος.

Αἴλινά μοι στοναχεῖτε νάπαι καὶ Δώριον ὕδωρ,
καὶ ποταμοὶ κλαίοιτε τον ἱμερόεντα Βίωνα.
νῦν φυτά μοι μύρεσθε, καὶ ἄλσεα νῦν γοάοισθε,
ἄνθεα νῦν στυγνοῖσιν ἀποπνείοιτε κορύμβοις.
νῦν ῥόδα φοινίσσεσθε τὰ πένθιμα, νῦν ἀνεμῶναι,
νῦν ὑάκινθε λάλει τὰ σὰ γράμματα καὶ πλέον αἰαῖ
λάμβανε τοῖς πετάλοισι· καλὸς τέθνακε μελικτάς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

α' *Ἀδόνες αἳ πυκινοῖσιν ὀδυρόμεναι ποτὶ φύλλοις,*
νάμασι τοῖς Σικελοῖς ἀγγείλατε τᾶς Ἀρεθοίσας,
ὅττι Βίων τέθνακεν ὁ βουκόλος, ὅττι σὺν αὐτῷ
καὶ τὸ μέλος τέθνακε καὶ ὤλετο Δωρὶς ἀοιδά.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

β' *Στρυμόνιοι μύρεσθε παρ' ὕδασιν αἴλινα κύκνοι,*
καὶ γοεροῖς στομάτεσσι μελίσδετε πένθιμον ᾠδάν,
οἵαν ἐν ὑμετέροις ποτὲ χήδεσι γῆρυς ἄειδεν.
εἴπατε δ' αὖ κούραις Οἰαγρίσιν, εἴπατε πάσαις
Βιστονίαις Νύμφαισιν „ἀπώλετο Δώριος Ὀρφεύς."
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

β' *Κεῖνος ὁ ταῖς ἀγέλαισιν ἐράσμιος οὐκέτι μέλπει,*
οὐκέτ' ἐρημαίῃσιν ὑπὸ δρυσὶν ἥμενος ᾄδει,
ἀλλὰ παρὰ Πλουτῆι μέλος Ληθαῖον ἀείδει.

ὤρεα δ' ἐστὶν ἄφωνα, καὶ αἱ βόες αἳ ποτε γαύρως
πλαζόμεναι γοάοντι καὶ οὐκ ἐθέλοντι νέμεσθαι.
    ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

γ' Σεῖο Βίων ἔκλαυσε ταχὺν μόρον αὐτὸς Ἀπόλλων,
καὶ Σάτυροι μύροντο μελάγχλαινοί τε Πρίηποι·
καὶ Πᾶνες στοναχεῦντι τὸ σὸν τέλος, αἵ τε καθ' ὕλαν
Κρανίδες ὠδύραντο, καὶ ὕδατα δάκρυα γέντο.
Ἀχὼ δ' ἐν πέτρῃσιν ὀδύρεται, ὅττι σιωπῇ
κοὐκέτι μιμεῖται τὰ σὰ χείλεα. σῷ δ' ἐπ' ὀλέθρῳ
δένδρεα καρπὸν ἔριψε, τὰ δ' ἄνθεα πάντ' ἐμαράνθη.
μάλων οὐκ ἔρρευσε καλὸν γλάγος, οὐ μέλι σίμβλων,
κάτθανε δ' ἐν κηρῷ λυπεύμενον· οὐκέτι γὰρ δεῖ
τῶ μέλιτος τῶ σῶ τεθνακότος αὐτὸ τρυγᾶσθαι.
    ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

γ' Οὐ τόσον εἰναλίῃσι παρ' ᾐόσι μύρατο δελφίν,
οὐδὲ τόσον ποκὰ κλαῦσεν ἐνὶ σκοπέλοισιν ἀητός,
ἀλκυονὶς δ' οὐ τόσσον ἐπ' αἴγεσιν ἴαχε κῆυξ,
οὐ τόσον οἰονόμοισιν ἐν ἄγκεσι παῖδα τὸν Ἀοῦς
ἱπτάμενος περὶ σᾶμα κινύρατο Μέμνονος ὄρνις,
ὅσσον ἀποφθιμένοιο κατωδύραντο Βίωνος
ἀδονίδες πᾶσαί τε χελιδόνες, ἅς ποκ' ἔτερπεν,
ἃς λαλέειν ἐδίδασκε, καθεζόμεναι δ' ἐπὶ πρέμνοις
ἀντίον ἀλλάλαισιν ἐκώκυον· αἱ δ' ὑπεφώνευν
ὄρνιθες· „λυπεῖσθ' αἱ πενθάδες; ἀλλὰ καὶ ἡμεῖς."
    ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

οὐδὲ τόσον θρήνησεν ἀν' ὤρεα μακρὰ χελιδών,

ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
οὐδὲ τόσον γλαυκοῖς ἐνὶ κύμασι κηρύλος ᾆδεν.

ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

δʹ Τίς ποτε σᾷ σύριγγι μελίξεται ὦ τριπόθητε;
τίς δ' ἐπὶ σοῖς καλάμοις θήσει στόμα; τίς θρασὺς οὕ-
τως;
εἰσέτι γὰρ πνείει τὰ σὰ χείλεα καὶ τὸ σὸν ἆσθμα,
ἀχὼ δ' ἐν δονάκεσσι τεᾶς ἔτι βόσκετ' ἀοιδᾶς.
Πανὶ φέρω τὸ μέλισμα; τάχ' ἂν καὶ κεῖνος ἐρεῖσαι
τὸ στόμα δειμαίνοι, μὴ δεύτερα σεῖο φέρηται.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

δʹ Κλαίει καὶ Γαλάτεια τὸ σὸν τέλος, ἅν ποκ' ἔτερπες
ἑζομέναν πρὸς σεῖο παρ' ἠϊόνεσσι θαλάσσας.
οὐ γὰρ ἴσον Κύκλωπι μελίσδεο· τὸν μὲν ἔφευγεν
ἁ καλὰ Γαλάτεια, σὲ δ' ἅδιον ἔβλεπεν ἅλμας.
καὶ νῦν λασαμένα τῶ κύματος ἐν ψαμάθοισιν
ἕζετ' ἐρημαίῃσι, βοᾶς δέ τι σεῖο νομεύει.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

εʹ Πάντά τοι ὦ βούτα συγκάτθανε δῶρα τὰ Μοισᾶν,
παρθενικᾶν ἐρόεντα φιλήματα, χείλεα παίδων,
καὶ στυγνὸν περὶ σῶμα τεὸν κλαίουσιν Ἔρωτες.
* * * * * * * *
ἁ Κύπρις, φιλέει δὲ πολὺ πλέον ἢ τὸ φίλημα,
τὸ πρῴαν τὸν Ἄδωνιν ἀποθνάσκοντα φίλησεν.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

εʹ Τοῦτό τοι ὦ ποταμῶν λιγυρώτατε δεύτερον ἄλγος,
τοῦτο Μέλη νέον ἄλγος. ἀπώλετο πρᾶν τοι Ὅμηρος,
τῆνο τὸ Καλλιόπας γλυκερὸν στόμα, καί σε λέγοντι
μύρασθαι καλὸν υἷα πολυκλαύτοισι ῥεέθροις,
πᾶσαν δὲ πλῆσαι φωνᾶς ἅλα· νῦν πάλιν ἄλλον
υἱέα δακρύεις, καινῷ δ' ἐπὶ πένθεϊ τάκῃ.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

ϛʹ Ἀμφότεροι παγαῖς πεφιλημένοι, ὃς μὲν ἔπινε

Παγασίδος κράνας, ὃ δ' ἔχεν πόμα τᾶς Ἀρεθοίσας.
χὢ μὲν Τυνδαρέοιο καλὰν ἄεισε θύγατρα
καὶ Θέτιδος μέγαν υἷα καὶ Ἀτρείδαν Μενέλαον·
κεῖνος δ' οὐ πολέμους, οὐ δάκρυα, Πᾶνα δ' ἔμελπε,
καὶ βούτας ἐλίγαινε καὶ ἀείδων ἐνόμευε,
καὶ σύριγγας ἔτευχε καὶ ἁδέα πόρτιν ἄμελγε,
καὶ παίδων ἐδίδασκε φιλήματα, καὶ τὸν Ἔρωτα
ἔτρεφεν ἐν κόλποισι καὶ ἤρεε τὰν Ἀφροδίταν.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

ϛ' Πᾶσα Βίων θρηνεῖ σε κλυτὴ πόλις, ἄστεα πάντα.
Ἄσκρη μὲν γοάει σε πολὺ πλέον Ἡσιόδοιο·
Πίνδαρον οὐ ποθέοντι τόσον Βοιωτίδες ὗλαι·
οὐ τόσον Ἀλκαίῳ περιμήνατο Λέσβος ἐραννά·
οὐδὲ τόσον τὸν ἀοιδὸν ἐμύρατο Τήϊον ἄστυ·
σὲ πλέον Ἀρχιλόχοιο ποθεῖ Πάρος· ἀντὶ δὲ Σαπφοῦς
εἰσέτι σεῦ τὸ μέλισμα κινύρεται ἁ Μυτιλάνα.
* * * * * * * *
* * * * * * * *
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

ζ' * * * * * * * *
* * * * * * * *
* * * * * * * *
* * * * * * * *
ἐν δὲ Συρακοσίοισι Θεόκριτος· αὐτὰρ ἐγώ τοι
Αὐσονικᾶς ὀδύνας μέλπω μέλος, οὐ ξένος ᾠδᾶς,

πάντες ὅσοις καπυρὸν τελέθει στόμα βωκολιασταί
ἐκ μοισᾶν σέο πότμον ἀνακλαίουσι θανόντος.
κλαίει Σικελίδας τὸ Σάμου κλέος· ἐν δὲ Κύδωσιν
ὁ πρὶν μειδιόωντι σὺν ὄμματι φαιδρὸς ἰδέσθαι
δάκρυα νῦν Λυκίδας κλαίων χέει· ἔν τε πολίταις
Τριοπίδαις ποταμῷ θρηνεῖ παρ' Ἄλεντι Φιλητᾶς,

βουκολικᾶς ἀλλ', ἄντε διδάξαο σεῖο μαθητάς,
κλαρονόμος μώσας, τᾶς Δωρίδος· ᾇ με γεραίρων
ἄλλοις μὲν τεὸν ὄλβον, ἐμοὶ δ' ἀπέλειπες ἀοιδάν.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

ζ' Αἰαῖ ταὶ μαλάχαι μὲν ἐπὰν κατὰ κᾶπον ὄλωνται,
ἠδὲ τὰ χλωρὰ σέλινα τό τ' εὐθαλὲς οὖλον ἄνηθον,
ὕστερον αὖ ζώοντι καὶ εἰς ἔτος ἄλλο φύοντι·
ἄμμες δ' οἱ μεγάλοι καὶ καρτεροί, οἱ σοφοὶ ἄνδρες,
ὁππότε πρᾶτα θάνωμες, ἀνάκοοι ἐν χθονὶ κοίλᾳ
εὕδομες εὖ μάλα μακρὸν ἀτέρμονα νήγρετον ὕπνον.
καὶ σὺ μὲν ὦν σιγᾷ πεπυκασμένος ἔσσεαι ἐν γᾷ,
ταῖς Νύμφαισι δ' ἔδοξεν ἀεὶ τὸν βάτραχον ᾄδειν.
πῶς δ' ἐγὼ οὐ φθονέοιμι; τὸ γὰρ μέλος οὐ καλὸν ᾄδει.
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

α' Φάρμακον ἦλθε Βίων ποτὶ σὸν στόμα φαρμακοειδές.
πῶς τευ τοῖς χείλεσσι ποτέδραμε κοὐκ ἐγλυκάνθη;
τίς δὲ βροτός, τοσσοῦτον ἀνάμερος ὡς κεράσαι τοι
ἢ δοῦναι λαλέοντι τὸ φάρμακον, οὐ φύγεν ᾠδάν;
ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.

Ἀλλὰ Δίκα κίχε πάντᾳ. ἐγὼ δ' ἐπὶ πένθεϊ τῷδε
δάκρυσι καὶ τεὸν οἶτον ὀδύρομαι. εἰ δυνάμαν δέ,
ὡς Ὀρφεὺς καταβὰς ποτὶ Τάρταρον, ὥς ποκ' Ὀδυσσεύς,
ὡς πάρος Ἀλκείδας, κἠγὼ τάχ' ἂν ἐς δόμον ἦλθον
Πλουτέος, ὥς κέ σ' ἴδοιμι, καὶ εἰ Πλουτῆι μελίσδῃ,
ὡς ἂν ἀκουσαίμαν, τί μελίσδεαι. ἀλλ' ἔτι Κώρᾳ
Σικελικόν τι λίγαινε καὶ ἁδύ τι βουκολιάζευ.
καὶ κείνα Σικελά, καὶ ἐν Αἰτναίαισιν ἔπαιζεν
ᾀόσι, καὶ μέλος ᾖδε τὸ Δώριον· οὐκ ἀγέραστος
ἔσσειθ' ἁ μολπά, χὡς Ὀρφεῖ πρόσθεν ἔδωκεν

ἁδέα φορμίζοντι παλίσσυτον Εὐρυδίκειαν,
καὶ σὲ Βίων πέμψει τοῖς ὤρεσιν. εἰ δέ τι κἠγών
συρίσδων δυνάμαν, παρὰ Πλουτέϊ κ᾽ αὐτὸς ἄειδον.

Idyll. II. (Theocr. XX.)

Β ο υ κ ο λ ί σ κ ο ς.

Εὐνείκα μ᾽ ἐγέλασσε θέλοντά μιν ἁδὺ φιλῆσαι,
καί μ᾽ ἐπικερτομέοισα τάδ᾽ ἔννεπεν· „Ἔρρ᾽ ἀπ᾽ ἐμεῖο.
βουκόλος ὢν ἐθέλεις με κύσαι τάλαν; οὐ μεμάθηκα
ἀγροίκως φιλέειν, ἀλλ᾽ ἀστικὰ χείλεα θλίβειν.
μὴ τύγε μευ κύσσῃς τὸ καλὸν στόμα μηδ᾽ ἐν ὀνείροις.
οἷα βλέπεις· ὁπότ᾽ αὖ λαλέεις, ὡς ἀστικὰ παίσδεις,
ὡς τρυφέρ᾽ αἰκάλλεις, ὡς κωτίλα ῥήματα φράσδεις·
ὡς μαλακὸν τὸ γένειον ἔχεις, ὡς ἁδέα χαίταν.
χείλεά τοι νοσέοντι, χέρες δέ τοι ἐντὶ μέλαιναι,
καὶ κακὸν ἐξόσδεις. ἀπ᾽ ἐμεῦ φύγε, μή με μολύνῃς.“
τοιάδε μυθίζοισα τρὶς εἰς ἑὸν ἔπτυσε κόλπον,
καί μ᾽ ἀπὸ τᾶς κεφαλᾶς ποτὶ τὼ πόδε συνεχὲς εἶδε
χείλεσι μυχθίζοισα καὶ ὄμμασι λοξὰ βλέποισα,
καὶ πολὺ τᾷ μορφᾷ θηλύνετο, καί τι σεσαρός
καὶ σοβαρόν μ᾽ ἐγέλασσεν. ἐμοὶ δ᾽ ἄφαρ ἔζεσεν αἷμα,
καὶ χρόα φοινίχθην ὑπὸ τὤλγεος ὡς ῥόδον ἔρσᾳ.
χἀ μὲν ἔβα με λιποῖσα· φέρω δ᾽ ὑποκάρδιον ὀργάν,
ὅττί με τὸν χαρίεντα κακὰ μωμήσαθ᾽ ἑταίρα.
ποιμένες, εἴπατέ μοι τὸ κρήγυον· οὐ καλὸς ἐμμί;
ἆρά τις ἐξαπίνας με θεὸς βροτὸν ἄλλον ἔτευξε;
καὶ γὰρ ἐμοὶ τὸ πάροιθεν ἐπάνθεεν ἁδὺς ἴουλος
ὡς κισσὸς ποτὶ πρέμνον, ἐμὰν δ᾽ ἐπύκαζεν ὑπήναν,
χαῖται δ᾽ οἷα σέλινα περὶ κροτάφοισι κέχυντο,

καὶ λευκὸν τὸ μέτωπον ἐπ' ὀφρύσι λάμπε μελαίναις·
ὄμματά μοι γλαυκᾶς χαροπώτερα πολλὸν Ἀθάνας,
καὶ δέμας αὖ πακτᾶς λιπαρώτερον, ἐκ στομάτων δέ
ἔρρεέ μοι φωνὰ γλυκερωτέρα ἢ μέλι κηρῶ.
ἁδὺ δέ μοι τὸ μέλισμα, καὶ ἢν σύριγγι μελίσδω,
κἢν αὐλῷ δονέω, κἢν δώνακι, κἢν πλαγιαύλῳ.
καὶ πᾶσαι καλόν με κατ' ὤρεα φαντὶ γυναῖκες,
καὶ πᾶσαί με φιλεῦντι· τὰ δ' ἀστικά μ' οὐκ ἐφίλησεν,
ἀλλ', ὅτι βουκόλος ἐμμί, παρέδραμεν. ἦ οὔποτ' ἀκούει,
χὠ καλὸς ὡς Διὸς υἱὸς ἐν ἄγκεσι πόρτιν ἔλαυνεν;
οὐκ ἔγνω δ', ὅτι Κύπρις ἐπ' ἀνέρι μήνατο βούτᾳ
καὶ Φρυγίοις ἐνόμευσεν ἐν ὤρεσι, καὖ τὸν Ἄδωνιν
ἐν δρυμοῖσι φίλησε καὶ ἐν δρυμοῖσιν ἔκλαυσεν;
Ἐνδυμίων δὲ τίς ἦν; οὐ βουκόλος; ὅντε Σελάνα
βουκολέοντα φίλησεν, ἀπ' Οὐλύμπω δὲ μολοῖσα
λάθριον ἂν νάπος ἦλθε καὶ εἰς ὁμὰ παιδὶ κάθευδε.
καὶ τὺ Ῥέα κλαίεις τὸν βουκόλον. οὐχὶ δὲ καὶ τύ
ὦ Κρονίδα διὰ παῖδα βοηνόμον ὄρνις ἐπλάγχθης;
Εὐνείκα δὲ μόνον τὸν βουκόλον οὐκ ἐφίλησεν,
ἁ Κυβέλας κρέσσων καὶ Κύπριδος ἠδὲ Σελάνας.
μηκέτι μηδ' ὦ Κύπρι τὸν ἁδέα μήτε κατ' ἄστυ
μήτ' ἐν ὄρει φιλέοι, μούνη δ' ἀνὰ νύκτα καθεύδοι.

Idyll. III. (Theocr. XXI.)

Ἁλιεῖς.

Ἁ πενία Διόφαντε μόνα τὰς τέχνας ἐγείρει,
αὐτὰ τῶ μόχθοιο διδάσκαλος· οὐδὲ γὰρ εὕδειν
ἀνδράσιν ἐργατίναισι κακαὶ παρέχοντι μέριμναι.

κἂν ὀλίγον νυκτός τις ἐπιμύσσησι, τὸν ὕπνον
αἰφνίδιον θορυβεῦσιν ἐπιπτάμεναι μελεδῶναι.
Ἰχθύος ἀγρευτῆρες ὁμῶς δύο κεῖντο γέροντες,
στρωσάμενοι βρύον αὖον ὑπὸ πλεκταῖς καλύβαισι,
κεκλιμένοι κοίτῳ τῷ φυλλίνῳ· ἐγγύθι δ' αὐτοῖν
κεῖτο τὰ τᾶς θήρας ἀθλήματα, τοὶ καλαθίσκοι,
τοὶ κάλαμοι, τἄγκιστρα, τὰ φυκιόεντα δέλητα,
ὁρμιαὶ κύρτοί τε καὶ ἐκ σχοίνων λαβύρινθοι,
μήρινθοι κώπα τε γέρων τ' ἐπ' ἐρείσμασι λέμβος·
νέρθεν τᾶς κεφαλᾶς φορμὸς βραχύς, εἷμα τάπης τε.
οὗτος τοῖς ἁλιεῦσιν ὁ πᾶς στόλος, οὗτος ὁ πλοῦτος.
οὐδὸς δ' οὐ κλῄθραν εἶχ', οὐ κύνα· πάντα περισσά,
πάντ' ἐδόκει τήνοις· ἁ γὰρ πενία σφας ἐτήρει.
οὐδεὶς δ' ἐν μέσσῳ γείτων πέλεν· ἁ δὲ παρ' αὐτάν
θλιβομέναν καλύβαν τραφερὰν προσέναχε θάλασσα.
κοὔπω τὸν μέσατον δρόμον ἄνυεν ἅρμα Σελάνας,
τοὺς δ' ἁλιεῖς ἤγειρε φίλος πόνος, ἐκ βλεφάρων δέ
ὕπνον ἀπωσάμενοι σφετέραις φρεσὶν ἤρεθον αὐδάν.

ΑΛΙΕΥΣ Α'.

Ψεύδοντ' ὦ φίλε πάντες, ὅσοι τὰς νύκτας ἔφασκον
τῶ θέρεος μινύθειν, ὅτε τἄματα μακρὰ φέρει Ζεύς.
ἤδη μυρί' ἐσεῖδον ὀνείρατα, κοὐδέπω ἀώς.
μὴ λαθόμαν, τί τὸ χρῆμα χρόνων ταὶ νύκτες ἔχοντι.

ΑΛΙΕΥΣ Β'.

Ἄπφ', ἀλίως μέμφῃ τὸ καλὸν θέρος; οὐ γὰρ ὁ καιρός
αὐτομάτως παρέβα τὸν ἑὸν δρόμον· ἀλλὰ τὸν ὕπνον
ἁ φροντὶς κόπτοισα μακρὰν τὰν νύκτα ποιεῖ τοι.

ΑΛΙΕΥΣ Α'.

Ἆρ' ἔμαθες κρίνειν πόκ' ἐνύπνια; χρηστὰ γὰρ εἶδον.
οὔ σε θέλω τὠμῶ φαντάσματος ἦμεν ἄμοιρον.
ὡς καὶ τὰν ἄγραν, τὠνείρατα πάντα μερίζευ.

εὖ γαρ ἂν εἰκάξαις κατὰ τὸν νόον· οὗτος ἄριστος
ἐστὶν ὀνειροκρίτας, ὁ διδάσκαλός ἐστι παρ' ᾧ νοῦς.
ἀλλ' ὡς καὶ σχολά ἐστι—τί γὰρ ποιεῖν ἂν ἔχοι τις
κείμενος ἐν φύλλοις ποτὶ κύματι μηδὲ καθεύδων,
ἀδὼν ἐν δρυμῷ, τὸ δὲ λύχνιον ἐν πρυτανείῳ·
φαντὶ γὰρ ἀγρυπνίαν τάδ' ἔχειν—θέλε δή ποτε νυκτός
ὄψιν, πᾷ τοι ἔοικε λέγειν, μανύεν ἑταίρῳ.
δειλινὸν ὡς κατέδαρθον, ἐν εἰναλίοισι πόνοισιν
— οὐκ ἦν μὰν πολύσιτος, ἐπεὶ δειπνεῦντες ἐν ὥρᾳ,
εἰ μέμνῃ, τᾶς γαστρὸς ἐφειδόμεθ' — εἶδον ἐμαυτόν
ἐν πέτρᾳ μεμαῶτα, καθεζόμενος δ' ἐδόκευον
ἰχθύας, ἐκ καλάμων δὲ πλάνον κατέσειον ἐδωδάν.
καί τις τῶν τρυφερῶν ὠρέξατο· καὶ γὰρ ἐν ὕπνοις
πᾶσα κύων ἄρκτον μαντεύεται, ἰχθύα κἠγών.
χὠ μὲν τὠγκίστρῳ ποτεφύετο, καὶ ῥέεν αἷμα,
τὸν κάλαμον δ' ὑπὸ τῶ κινήματος ἀγκύλον εἶχον·
τὼ χέρε τεινομένω περικλῶν νέμον εὐρὺν ἀγῶνα.
πῶς μὲν ἕλω μέγαν ἰχθὺν ἀφαυροτέροισι σιδάροις;
εἶθ' ὑπομιμνάσκων τῶ τρώματος ἠρέμ' ἔνυξα,
καὶ νύξας ἐχάλαξα, καὶ οὐ φεύγοντ' ἐνέτεινα.
ἤνυσ' ἑλὼν τὸν ἄεθλον, ἀνείλκυσα χρύσεον ἰχθῦν,
πάντα γέ τοι χρυσῷ πεπυκασμένον· εἶχε δὲ δεῖμα,
μήτι Ποσειδάωνι πέλει πεφιλημένος ἰχθῦς
ἢ τάχα τᾶς γλαυκᾶς κειμήλιον Ἀμφιτρίτης.
ἠρέμα δ' αὐτὸν ἐγὼν ἐκ τὠγκίστρω ἀπέλυσα,
μὴ ποτὶ τῶ στόματος τὠγκίνια χρυσὸν ἔχοντι.
καὶ τὸν μὲν σπεύσας ὄκ' ἀνάγαγον εὐσπείρατον,
ὤμοσα μηκέτι λοιπὸν ὑπὲρ πελάγους πόδα θεῖναι,
ἀλλὰ μενεῖν ἐπὶ γᾶς καὶ τῷ χρυσῷ βασιλεύσειν.
ταῦτά με κἀξήγειρε, τὺ δ' ὦ ξένε λοιπὸν ἔρειδε
τὰν γνώμαν· ὅρκον γὰρ ἐγὼ τὸν ἐπώμοσα ταρβῶ.

ΑΛΙΕΥΣ Β΄.

καὶ σύγε τί τρέσσεις; οὐκ ὤμοσας· οὐδὲ γὰρ ἰχθῦν
χρύσεον ὡς ἴδες εὗρες, ἴσα δ᾽ ἦν ψεύδεσιν ὄψις.
εἰ — μὴ γὰρ κνώσσων — τὺ τὰ χωρία ταῦτα ματεύεις
Ὄλπις τῶν ὕπνων, ζάτει τὸν σάρκινον ἰχθῦν,
μὴ σὺ θάνῃς λιμῷ κἀπὶ χρυσοῖσιν ὀνείροις.

Idyll. IV. (Theocr. XIX.)

Κ η ρ ι ο κ λ έ π τ η ς.

Τὸν κλέπταν πότ᾽ Ἔρωτα κακὰ κέντασε μέλισσα
κηρίον ἐκ σίμβλων συλεύμενον, ἄκρα δὲ χειρῶν
δάκτυλα πάνθ᾽ ὑπένυξεν. ὃ δ᾽ ἄλγεε καὶ χέρ᾽ ἐφύση
καὶ τὰν γᾶν ἐπάταξε καὶ ἅλατο, τᾷ δ᾽ Ἀφροδίτᾳ
δεῖξέ τε τὰν ὀδύναν καὶ μέμφετο, ὅττί γε τυτθόν
θηρίον ἐστὶ μέλισσα καὶ ἁλίκα τραύματα ποιεῖ.
χἀ μάτηρ γελάσασα· τί δ᾽; οὐκ ἴσος ἐσσὶ μελίσσαις,
ὡς τυτθὸν μὲν ἦς, τὰ δὲ τραύματα ἁλίκα ποιεῖς;

Idyll. V. (Theocr. XXIII.)

Ἐ ρ α σ τ ή ς.

Ἀνήρ τις πολύφιλτρος ἀπηνέος ἤρατ᾽ ἐφάβω
τὰν μορφὰν ἀγαθῶ, τὸν δὲ τρόπον οὐκέθ᾽ ὁμοίω.
μίσει τὸν φιλέοντα καὶ οὐδὲ ἓν ἅμερον εἶχε,
κοὐκ ᾔδει τὸν Ἔρωτα, τίς ἦν θεός, ἁλίκα τόξα
χερσὶ κρατεῖ, πῶς πικρὰ βέλη ποτὶ καὶ Δία βάλλει·
πάντα δὲ κἀν μύθοισι καὶ ἐν προσόδοισιν ἀτειρής.

οὐδέ τι τῶν πυρσῶν παραμύθιον, οὐκ ἀμάρυγμα
χείλεος, οὐκ ὄσσων λιπαρὸν σέλας, οὐ ῥόδα μάλων,
οὐ λόγος, οὐχὶ φιλάματ' ἐκούφιζον τὸν ἔρωτα.
οἶα δὲ θὴρ ὑλαῖος ὑποπτεύῃσι κυνάγως,
οὕτως πάντ' ἐποίει ποτὶ τὸν βροτόν· ὤρια δ' αὐτῷ
χείλεα καὶ κῶραι δεινὸν βλέπος εἶχον ἀνάγκας·
τᾷ δὲ χολᾷ τὸ πρόσωπον ἀμείβετο, φεῦγε δ' ἀπὸ χρώς
ὁ πρὶν τοῖς ῥέθεσιν περικείμενος. ἀλλὰ καὶ οὕτως
ἦν καλός· ἐξ ὀργᾶς ἐρεθίζετο μᾶλλον ἐραστάς.
λοίσθιον οὐκ ἤνεικε τόσαν φλόγα τᾶς Κυθερείας,
ἀλλ' ἐλθὼν ἔκλαιε ποτὶ στυγνοῖσι μελάθροις,
καὶ κύσε τὰν φλιάν, οὕτω δ' ἀντείνετο φωνᾷ·
„Ἄγριε παῖ καὶ στυγνέ, κακᾶς ἀνάθρεμμα λεαίνας,
λάϊνε παῖ καὶ ἔρωτος ἀνάξιε, δῶρά τοι ἦλθον
λοίσθια ταῦτα φέρων, τὸν ἐμὸν βρόχον· οὐκέτι πάρ σέ
κῶρε θέλω αὖτίς ποχ', ὁρώμενος ἀλλὰ βαδίζω,
ἔνθα τύ μευ κατέκρινας, ὅπῃ λόγος ἦμεν ἀταρπόν
ξυνάν, τοῖσιν ἐρῶσι τὸ φάρμακον ἔνθα τὸ λᾶθον.
ἀλλὰ καὶ ἦν ὅλον αὐτὸ λαβὼν ποτὶ χεῖλος ἀμέλξω,
οὐδ' οὕτως σβέσσω τὸν ἐμὸν πόθον. ἄρτι δὲ χαίρειν
τοῖσι τεοῖς προθύροις ἐπιτέλλομαι. οἶδα τὸ μέλλον.
καὶ τὸ ῥόδον καλόν ἐστι, καὶ ὁ χρόνος αὐτὸ μαραίνει·
καὶ τὸ ἴον καλόν ἐστιν ἐν εἴαρι, καὶ ταχὺ γηρᾷ·
καὶ κάλλος καλόν ἐστι τὸ παιδικόν, ἀλλ' ὀλίγον ζῇ.
ἥξει καιρὸς ἐκεῖνος, ὁπανίκα καὶ τὺ φιλάσεις,
ἁνίκα τὰν κραδίαν ὀπτεύμενος ἁλμυρὰ κλαύσεις.
ἀλλὰ τὺ παῖ καὶ τοῦτο πανύστατον ἁδύ τι ῥέξον·
ὁππόταν ἐξενθὼν ἠρτημένον ἐν προθύροισι
τοῖσι τεοῖσιν ἴδῃς τὸν τλάμονα, μή με παρένθῃς,

λευκὸν τὸ κρίνον ἐστί, μαραίνεται ἁνίκα πίπτει.
ἁ δὲ χιὼν λευκά, καὶ τάκεται ἁνίκα παχθῇ.

στᾶθι δὲ καὶ βραχὺ κλαῦσον, ἐπισπείσας δὲ τὸ δάκρυ
λῦσον τᾶς σχοίνω με καὶ ἀμφίθες ἐκ ῥεθέων σῶν
εἵματα καὶ κρύψόν με, τὸ δ' αὖ πύματόν με φίλασον,
κἂν νεκρῷ χάρισαι τὰ σὰ χείλεα. μή με φοβαθῇς·
οὐ δύναμαι σίνειν σε, διαλλάξεις με φιλάσας.
χῶμα δέ μοι χῶσόν τι, τό μευ κρύψει τὸν ἔρωτα.
κἂν ἀπίῃς, τόδε μοι τρὶς ἐπαΐασον· ὦ φίλε κεῖσαι.
ἢν δὲ θέλῃς, καὶ τοῦτο· καλὸς δέ μοι ὤλεθ' ἑταῖρος.
γράψον καὶ τόδε γράμμα, τὸ σοῖς τοίχοισι χαράξω·
τοῦτον ἔρως ἔκτεινεν. ὁδοιπόρε, μὴ παροδεύσῃς,
ἀλλὰ στὰς τόδε λέξον· ἀπηνέα εἶχεν ἑταῖρον."

Ὣδ' εἰπὼν λίθον εἷσεν, ἐρεισάμενος δ' ἐπὶ τοίχῳ
ἄχρις γεισοπόδων, φοβερὸν λόχον ἅπτετ' ἀπ' αὐτῶν,
τὰν λεπτὰν σχοινῖδα, βρόχον δ' ἔμβαλλε τραχήλῳ,
τὰν ἕδραν δ' ἐκύλισεν ἀπαὶ ποδός, ἠδ' ἐκρεμάσθη
νεκρός. ὃ δ' αὖτ' ὤϊξε θύρας καὶ τὸν νεκρὸν εἶδεν
αὐλᾶς ἐξ ἰδίας ἠρτημένον, οὐδ' ἐλυγίχθη
τὰν ψυχάν, οὐ κλαῦσεν ἑὸν φόνον, ἀλλ' ἐπὶ νεκρῷ
εἵματα πάντ' ἐμίανεν, ἐφαβικὰ βαῖνε δ' ἐς ἆθλα
γυμνασίων, καὶ τῆδε φίλων ἐπεμαίετο λουτρῶν,
καὶ ποτὶ τὸν θεὸν ἦνθε, τὸν ὕβρισε· λαϊνέας δέ
ἵπτατ' ἀπὸ κρηπῖδος ἐς ὕδατα· τῷ δ' ἐφ' ὕπερθεν
ἅλατο καὶ τὤγαλμα, κακὸν δ' ἔκτεινεν ἔφαβον·
νᾶμα δ' ἐφοινίχθη· παιδὸς δ' ἐπενάχετο φωνά·
„χαίρετε τοὶ φιλέοντες· ὁ γὰρ μισῶν ἐφονεύθη.
στέργετε δ' οἱ μισεῦντες· ὁ γὰρ θεὸς οἶδε δικάζειν."

Idyll. VI. (Bion. XV.)

Ἐπιθαλάμιος Ἀχιλλέως καὶ Δηιδαμείας.

ΜΥΡΣΩΝ.

Λῇς νύ τί μοι Λυκίδα Σικελὸν μέλος ἁδὺ λιγαίνειν,
ἱμερόεν γλυκύθυμον ἐρωτικόν, οἷον ὁ Κύκλωψ
ἄεισεν Πολύφαμος ἐπ' ἠόνι τᾷ Γαλατείᾳ;

ΛΥΚΙΔΑΣ.

κἠμοὶ συρίσδεν Μύρσων φίλον· ἀλλὰ τί μέλψω;

ΜΥΡΣΩΝ.

Σκύριον ὃν Λυκίδα ζαλώμενος ᾆδες ἔρωτα,
λάθρια Πηλείδαο φιλάματα, λάθριον εὐνάν,
πῶς παῖς ἕσσατο φᾶρος, ὁμῶς δ' ἐψεύσατο μορφάν
καὶ νόμος ἐν κώραις Λυκομηδίσιν οὐκ ἀλεγοίσαις,
οὐδ' εὗδειν κατὰ παστὸν Ἀχιλλέα Δηιδαμείας.

ΛΥΚΙΔΑΣ.

Ἅρπασε τὰν Ἑλέναν πόθ' ὁ βουκόλος, ἆγε δ' ἐς Ἴδαν,
Οἰνώνῃ κακὸν ἄλγος. ἐχώσατο δ' ἁ Λακεδαίμων,
πάντα δὲ λαὸν ἄγειρεν Ἀχαϊκόν, οὐδέ τις Ἕλλην,
οὔτε Μυκηναίων οὔτ' Ἤλιδος οὔτε Λακώνων,
μεῖνεν ἑὸν κατὰ δῶμα, φέρον δὲ σὺν αἰνὸν Ἄρηα.
λάνθανε δ' ἐν κώραις Λυκομηδίσι μοῦνος Ἀχιλλεύς,
εἴρια δ' ἀνθ' ὅπλων ἐδιδάσκετο, καὶ χερὶ λευκᾷ
παρθενικὸν κόρον εἶχεν, ἐφαίνετο δ' ἠΰτε κώρα·
καὶ γὰρ ἴσον τήναις θηλύνετο, καὶ τόσον ἄνθος
χιονέαις πόρφυρε παρηίσι, καὶ τὸ βάδισμα
παρθενικῆς ἐβάδιζε, κόμας δ' ἐπύκαζε καλύπτρῃ.
θυμὸν δ' ἀνέρος εἶχε, καὶ ἀνέρος εἶχεν ἔρωτα.
ἐξ ἀοῦς δ' ἐπὶ νύκτα παρίζετο Δηιδαμείᾳ,
καὶ ποτὲ μὲν τήνας ἐφίλει χέρα, πολλάκι δ' αὐτᾶς

στάμονα καλὸν ἄειρε, τάχ' ἀδέα δὲ κρόκ' ἐπήνει·
ἤσθιε δ' οὐκ ἄλλα σὺν ὁμάλικι, πάντα δ' ἐποίει
σπεύδων κοινὸν ἐς ὕπνον. ἔλεξέ νυ καὶ λόγον αὐτάν
ἄλλαι μὲν κνώσσουσι σὺν ἀλλήλαισιν ἀδελφαί,
αὐτὰρ ἐγὼ μούνα, μούνα σὺ δὲ νύμφα καθεύδεις.
αἱ δύο παρθενικαὶ συνομάλικες, αἱ δύο καλαί
ἁμὰ μόναι κατὰ λέκτρα καθεύδομες· ἁ δὲ πονηρά
νὺξ ἄτα δολία με κακῶς ἀπὸ σεῖο μερίσδει.
οὐ γὰρ ἐγὼ σέο . . . . . .

Idyll. VII. (Theocr. XXVII.)

Ὀ α ρ ι σ τ ύ ς.

(Deest initium.)

ΚΟΡΗ.

Τὰν πινυτὰν Ἑλέναν Πάρις ἥρπασε βουκόλος ἄλλος.

ΔΑΦΝΙΣ.

μᾶλλον ἑκοῖσ' Ἑλένα τὸν βουκόλον ἐστὶ φιλεῦσα.

ΚΟΡΗ.

μὴ καυχῶ σατυρίσκε· κενὸν τὸ φίλαμα λέγουσιν.

ΔΑΦΝΙΣ.

ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἀδέα τέρψις.

ΚΟΡΗ.

τὸ στόμα μευ πλύνω καὶ ἀποπτύω τὸ φίλαμα.

ΔΑΦΝΙΣ.

πλύνεις χείλεα σεῖο; δίδου πάλιν ὄφρα φιλάσω.

ΚΟΡΗ.

καλόν σοι δαμάλας φιλέειν, οὐκ ἄζυγα κώραν.

ΔΑΦΝΙΣ.

μὴ καυχῶ· τάχα γάρ σε παρέρχεται ὡς ὄναρ ἥβη.

ΚΟΡΗ.

ἁ σταφυλὶς σταφὶς ἔστ', οὐδὲ ῥόδον αὖον ὀλεῖται.

ΔΑΦΝΙΣ.

δεῦρ' ὑπὸ τὰς κοτίνους, ἵνα σοί τινα μῦθον ἐνίψω.

ΚΟΡΗ.

οὐκ ἐθέλω· καὶ πρίν με παρήπαφες ἁδέϊ μύθῳ.

ΔΑΦΝΙΣ.

δεῦρ' ὑπὸ τὰς πτελέας, ἵν' ἐμᾶς σύριγγος ἀκούσῃς.

ΚΟΡΗ.

τὴν σαυτοῦ φρένα τέρπ'· ὀξύθροον οὐδὲν ἀρέσκει.

ΔΑΦΝΙΣ.

φεῦ φεῦ τᾶς Παφίας χόλον ἅζεο καὶ σύ γε κώρα.

ΚΟΡΗ.

χαιρέτω ἁ Παφία· μόνον ἵλαος Ἄρτεμις εἴη.

ΔΑΦΝΙΣ.

μὴ λέγε, μὴ βάλλῃ σε καὶ ἐς λίνον ἄκριτον ἔνθῃς.

ΚΟΡΗ.

βαλλέτω ὡς ἐθέλει· πάλιν Ἄρτεμις ἄμμιν ἀρήγει. 17

ΔΑΦΝΙΣ.

οὐ φεύγεις τὸν Ἔρωτα, τὸν οὐ φύγε παρθένος ἄλλη. 19

ΚΟΡΗ.

φεύγω ναὶ τὸν Πᾶνα· σὺ δὲ ζυγὸν αἰὲν ἀείραις.

ΔΑΦΝΙΣ.

δειμαίνω, μὴ δή σε κακωτέρῳ ἀνέρι δώσει.

μὴπιβάλῃς τὴν χεῖρα, καὶ εἰσέτι χεῖλος ἀμύξω. 18

ΚΟΡΗ.

πολλοί μ' εὖ μνώοντο, νόον δ' ἐμὸν οὔτις ἐκήλει.

ΔΑΦΝΙΣ.

εἷς καὶ ἐγὼ πολλῶν μνηστὴρ τεὸς ἐνθάδ' ἱκάνω.

ΚΟΡΗ.

καὶ τί φίλος ῥέξαιμι; γάμοι πλήθουσιν ἀνίας.

ΔΑΦΝΙΣ.

οὐκ ὀδύνην, οὐκ ἄλγος ἔχει γάμος, ἀλλὰ χορείην.

ΚΟΡΗ.

ναὶ μάν φασι γυναῖκας ἑοὺς τρομέειν παρακοίτας.

ΔΑΦΝΙΣ.

μᾶλλον ἀεὶ κροτέουσι· „τίνα τρομέουσι γυναῖκες;"

ΚΟΡΗ.

ὠδίνειν τρομέω· χαλεπὸν βέλος Εἰλειθυίης.

ΔΑΦΝΙΣ.

ἀλλὰ τεὴ βασίλεια μογοστόκος Ἄρτεμίς ἐστιν.

ΚΟΡΗ.

ἀλλὰ τεκεῖν τρομέω, μὴ καὶ χροα καλὸν ὀλέσσω.

ΔΑΦΝΙΣ.

ἢν δὲ τέκῃς φίλα τέκνα, νέον φάος ὄψεαι ἥβας.

ΚΟΡΗ.

καὶ τί μοι ἕδνον ἄγεις γάμου ἄξιον, ἢν ἐπινεύσω;

ΔΑΦΝΙΣ.

πᾶσαν τὰν ἀγέλαν, πάντ' ἄλσεα καὶ νομὸν ἕξεις.

ΚΟΡΗ.

ὄμνυε μὴ μετὰ λέκτρα λιπὼν ἀέκουσαν ἀπενθεῖν.

ΔΑΦΝΙΣ.

οὐ μαὐτὸν τὸν Πᾶνα, καὶ ἢν ἐθέλῃς με διῶξαι.

ΚΟΡΗ.

τεύχεις μοι θαλάμους, τεύχεις καὶ δῶμα καὶ αὐλάς;

ΔΑΦΝΙΣ.

τεύχω σοι θαλάμους· τὰ δὲ δώματα καλὰ νομεῦσι.

ΚΟΡΗ.

πατρὶ δὲ γηραλέῳ τίνα μάν, τίνα μῦθον ἐνίψω;

ΔΑΦΝΙΣ.

αἰνήσει σέο λέκτρον, ἐπὴν ἐμὸν οὔνομ' ἀκούσῃ.

ΚΟΡΗ.

οὔνομα σὸν λέγε τῆνο· καὶ οὔνομα πολλά κε τέρποι.

ΔΑΦΝΙΣ.

Δάφνις ἐγώ, Λυκίδας τε πατήρ, μήτηρ δὲ Νομαίη.

ΚΟΡΗ.

ἐξ εὐηγενέων· ἀλλ' οὐ ἔθεν εἰμὶ χερείων.

ΔΑΦΝΙΣ.

οἶδ', ἄκρα τιμίη ἐσσί, πατὴρ δέ τοί ἐστι Μενάλκας.

(Desunt quaedam.)

ΚΟΡΗ.

δεῖξον ἐμοὶ ἔθεν ἄλσος ὅπῃ. πόθεν ἵσταται αἴας;

ΔΑΦΝΙΣ.

δεῦρ' ἴδε, πῶς ἀνθεῦσιν ἐμαὶ ῥαδιναὶ κυπάρισσοι.

ΚΟΡΗ.

αἶγες ἐμαὶ βόσκεσθε, τὰ βουκόλω ἔργα νοήσω.

ΔΑΦΝΙΣ.

ταῦροι καλὰ νέμεσθ', ἐμὰ παρθένῳ ἄλσεα δείξω.

ΚΟΡΗ.

τί ῥέζεις σατυρίσκε; τί δ' ἔνδοθεν ἅψαο μαζῶν;

ΔΑΦΝΙΣ.

μᾶλα τίνα πράτιστα τάδε χνοάοντα διδάξω.

ΚΟΡΗ.

ναρκῶ ναὶ τὸν Πᾶνα. τεὴν πάλιν ἔξελε χεῖρα.

ΔΑΦΝΙΣ.

θάρσει κῶρα φίλα. τί μοι ἔτρεμες; ὡς μάλα δειλά.

ΚΟΡΗ.

βάλλεις εἰς ἀμάραν με καὶ εἵματα καλὰ μιαίνεις.

ΔΑΦΝΙΣ.

ἀλλ' ὑπὸ σοὺς πέπλους ἁπαλὸν νάκος ἠνίδε βάλλω.

ΚΟΡΗ.

φεῦ φεῦ καὶ τὰν μίτραν ἀπ' ὀσφύος; ἐς τί δ' ἔλυσας;

ΔΑΦΝΙΣ.

τᾷ Παφίᾳ πράτιστον ἐγὼ τόδε δῶρον ὀπάζω.

ΚΟΡΗ.

μίμνε τάλαν· τάχα τίς τοι ἐπέρχεται· ἦχον ἀκούω.

ΔΑΦΝΙΣ.

ἀλλήλαις λαλέουσι τεὸν γάμον αἱ κυπάρισσοι.

ΚΟΡΗ.

ἀμπεχόνην ποίησας ὅλον ῥάκος· εἰμὶ δὲ γυμνά.

ΔΑΦΝΙΣ.

ἄλλην ἀμπεχόνην τῆς σῆς τοι μείζονα δώσω.

ΚΟΡΗ.

φῄς μοι πάντα δόμεν· τάχα δ' ὕστερον οὐδ' ἅλα δοίης.

ΔΑΦΝΙΣ.

αἴθ' αὐτὰν δυνάμαν καὶ τὰν ψυχὰν ἐπιβάλλειν.

ΚΟΡΗ.

Ἄρτεμι, μὴ νεμέσα σοῖς ῥήμασιν οὐκέτι πιστῇ.

ΔΑΦΝΙΣ.

ῥέξω πόρτιν Ἔρωτι καὶ αὐτὰν βοῦν Ἀφροδίτᾳ.

ΚΟΡΗ.

παρθένος ἔνθα βέβηκα, γυνὴ δ' εἰς οἶκον ἀφέρπω.

ΔΑΦΝΙΣ.

ἀλλὰ γυνὴ μήτηρ, τεκέων τροφός, οὐκέτι κώρα.
Ὣς οἵ μὲν χλοεροῖσιν ἰαινόμενοι μελέεσσιν
ἀλλήλοις ψιθύριζον. ἀνύετο φώριος εὐνή.
χἠ μὲν ἀνεγρομένη σῖγ' ἔστιχε μᾶλα νομεύειν
ὄμμασιν αἰδομένοις, κραδίη δέ οἱ ἔνδον ἰάνθη,
ὃς δ' ἐπὶ ταυρείας ἀγέλας κεκορημένος εὐνᾶς.

Idyll. VIII. (Mosch. IV.)

Μ ε γ ά ρ α.

„Μῆτερ ἐμή, τίφθ' ὧδε φίλον κατὰ θυμὸν ἰάπτεις
ἐκπάγλως ἀχέουσα, τὸ πρὶν δέ τοι οὐκέτ' ἔρευθος
σῴζετ' ἐπὶ ῥεθέεσσι; τί μοι τόσον ἠνίησαι;
ἦρ' ὅ τοι ἄλγεα πάσχει ἀπείριτα φαίδιμος υἱός
ἀνδρὸς ὑπ' οὐτιδανοῖο, λέων ὡσείθ' ὑπὸ νεβροῦ;
ὤμοι ἐγώ, τί νυ δή με θεοὶ τόσον ἠτίμασσαν
ἀθάνατοι; τί νύ μ' ὧδε κακῇ γονέες τέκον αἴσῃ;
δύσμορος, ἥτ' ἐπεὶ ἀνδρὸς ἀμύμονος ἐς λέχος ἦλθον,
τὸν μὲν ἐγὼ τίεσκον ἴσον φαέεσσιν ἐμοῖσιν
ἠδ' ἔτι νῦν σέβομαί τε καὶ αἰδέομαι κατὰ θυμόν·
τοῦ δ' οὔτις γένετ' ἄλλος ἀποτμότερος ζωόντων,
οὐδὲ τόσων σφετέρῃσιν ἐγεύσατο φροντίσι κηδέων.
σχέτλιος, ὃς τόξοισιν, ἅ οἱ πόρεν αὐτὸς Ἀπόλλων
ἠέ τινος Κηρῶν ἢ Ἐρινύος αἰνὰ βέλεμνα,

παῖδας ἑοὺς κατέπεφνε καὶ ἐκ φίλον εἵλετο θυμόν
μαινόμενος κατὰ οἶκον, ὃ δ' ἔμπλεος ἔσκε φόνοιο.
τοὺς μὲν ἐγὼ δύστηνος ἐμοῖς ἴδον ὀφθαλμοῖσι
βαλλομένους ὑπὸ πατρί, τὸ δ' οὐδ' ὄναρ ἤλυθεν ἄλλῳ.
οὐδέ σφιν δυνάμην ἀδινὸν καλέουσιν ἀρῆξαι
μητέρ' ἐήν, ἐπεὶ ἐγγὺς ἀνίκητον κακὸν ἦεν.
ὡς δ' ὄρνις δύρηται ἐπὶ σφετέροισι νεοσσοῖς
ὀλλυμένοις, οὕστ' αἰνὸς ὄφις ἔτι νηπιάχοντας
θάμνοις ἐν πυκινοῖσι κατεσθίῃ· ἣ δὲ κατ' αὐλάς
ποτᾶται κλάζουσα μάλα λιγὺ πότνια μήτηρ,
οὐδ' ἄρ' ἔχει τέκνοισιν ἐπαρκέσαι· ἦ γάρ οἱ αὐτῇ
ἆσσον ἴμεν μέγα τάρβος ἀμειλίκτοιο πελώρου·
ὣς ἐγὼ αἰνοτόκεια φίλον γόνον αἰάζουσα
μαινομένοισι πόδεσσι δόμον κάτα πολλὸν ἐφοίτων.
ὥς γ' ὄφελον μετὰ παισὶν ἅμα θνήσκουσα καὶ αὐτή
κεῖσθαι φαρμακόεντα δι' ἥπατος ἰὸν ἔχουσα,
* * * *

Ἄρτεμι θηλυτέρῃσι μέγα κρείουσα γυναιξί.
τῶ χ' ἡμέας κλαύσαντε φίλῃσ' ἐνὶ χερσὶ τοκῆες
πολλοῖς σὺν κτερέεσσι πυρῆς ἐπέβησαν ὁμοίης,
καί κεν ἕνα χρύσειον ἐς ὀστέα κρωσσὸν ἁπάντων
λέξαντες κατέθαψαν, ὅθι πρῶτον γενόμεσθα.
νῦν δ' οἳ μὲν Θήβην ἱπποτρόφον ἐνναίουσιν
Ἀονίου πεδίοιο βαθεῖαν βῶλον ἀροῦντες·
αὐτὰρ ἐγὼ Τίρυνθα κάτα κραναὴν πόλιν Ἥρης
πολλοῖσιν δύστηνος ἰάπτομαι ἄλγεσιν ἦτορ
αἰὲν ὁμῶς· δακρύων δὲ πάρεστί μοι οὐδ' ἴ' ἐρωή.
ἀλλὰ πόσιν μὲν ὁρῶ παῦρον χρόνον ὀφθαλμοῖσιν
οἴκῳ ἐν ἡμετέρῳ· πολέων γάρ οἱ ἔργον ἑτοῖμον
μόχθων, τοὺς ἐπὶ γαῖαν ἀλώμενος ἠδὲ θάλασσαν
μοχθίζει πέτρης ὅγ' ἔχων νόον ἠὲ σιδήρου

καρτερὸν ἐν στήθεσσι· σὺ δ' ἠΰτε λείβεται ὕδωρ,
νύκτάς τε κλαίουσα καὶ ἐκ Διὸς ἤμαθ' ὁπόσσα.
ἄλλος μὰν οὐκ ἄν τις ἐϋφρῆναι με παραστάς
κηδεμόνων· οὐ γάρ σφε δόμων κατὰ τεῖχος ἐέργει.
καὶ λίην πάντές γε πέρην πιτυώδεος Ἰσθμοῦ
ναίουσ', οὐδέ μοί ἐστι πρὸς ὅντινά κε βλέψασα
οἷα γυνὴ πανάποτμος ἀναψύξαιμι φίλον κῆρ,
νόσφί γε δὴ Πύρρης συνομαίμονος· ἣ δὲ καὶ αὐτή
ἀμφὶ πόσει σφετέρῳ πλέον ἄχνυται Ἰφικλῆι,
σῷ υἱεῖ· πάντων γὰρ ὀϊζυρώτατα τέκνα
γείνασθαί σε θεῷ τε καὶ ἀνέρι θνητῷ ἔολπα."
Ὣς ἄρ' ἔφη· τὰ δέ οἱ θαλερώτερα δάκρυα μήλων
κύκλον ἐς ἱμερόεντα κατὰ βλεφάρων ἐχέοντο,
μνησαμένῃ τέκνων τε καὶ ὧν μετέπειτα τοκήων.
ὣς δ' αὔτως δακρύοισι παρήια λεύκ' ἐδίαινεν
Ἀλκμήνη· βαρὺ δ' ἦγε καὶ ἐκ θυμοῦ στενάχουσα
μύθοισιν πυκινοῖσι φίλην νυὸν ὧδε μετηύδα·
„Δαιμονίη παίδων, τί νύ τοι φρεσὶν ἔμπεσε τοῦτο
πευκαλίμαις; πῶς ἄμμ' ἐθέλεις ὀροθυνέμεν ἄμφω
κήδε' ἄλαστα λέγουσα; τὰ δ' οὐ νῦν πρῶτα κέκλαυται.
ἦ οὐχ ἅλις, οἷς ἐχόμεσθα τὸ δεύτατον αἰὲν ἐπ' ἦμαρ
γεινομένοις; μάλα μέν γε φιλοφληνής κέ τις εἴη,
ὅστις ἀριθμήσειν ἐν ἐφ' ἡμετέροις ἀχέεσσι
θαρσοίη· τοιῆσδ' ἐκυρήσαμεν ἐκ θεοῦ αἴσης.
καὶ δ' αὐτὴν ὁρόω σε φίλον τέκος ἀτρύτοισιν
ἄλγεσι μοχθίζουσαν· ἐπιγνώμων δέ τοί εἰμι
ἀσχαλάαν, ὅτε δή γε καὶ εὐφροσύνης κόρος ἐστί.
καί σε μάλ' ἐκπάγλως ὀλοφύρομαι ἠδ' ἐλεαίρω,
οὕνεκεν ἡμετέροιο λυγροῦ μετὰ δαίμονος ἔσχες,
ὅσθ' ἡμῖν ἐφύπερθε κάρης βαρὺς αἰωρεῖται.
ἴστω γὰρ Κούρη τε καὶ εὔανος Δημήτηρ,

ἄς κε μέγα βλαφθείς τις ἑκὼν ἐπίορκον ὀμόσσαι
δυσμενέων, μηθέν σε χερειότερον φρεσὶν ᾖσι
στέργειν ἢ εἴπερ μοι ὑπὲκ νηδυιόφιν ἦλθες
καί μοι τηλυγέτη ἐνὶ δώμασι παρθένος ἦσθα.
οὐδ' αὐτήν γέ νυ πάμπαν ἔολπά σε τοῦτό γε λήθειν.
τῶ μή μ' ἐξείπῃς πότ' ἐμὸν θάλος, ὥς σευ ἀκηδέω,
μηδ' εἴ κ' ἠϋκόμου Νιόβης πυκινώτερα κλαίω.
οὐθὲν γὰρ νεμεσητὸν ὑπὲρ τέκνου γοάασθαι
μητέρι δυσπαθέοντος· ἐπεὶ δέκα μῆνας ἔκαμνον
πρὶν ἤπέρ τ' ἰδέειν μιν, ὑφ' ἥπατι εἴσω ἔχουσα,
καί με πυλάρταο σχεδὸν ἤγαγεν Αἰδωνῆος·
ὧδέ ἑ δυστοκέουσα κακὰς ὠδῖνας ἀνέτλην.
νῦν δέ μοι οἴχεται υἱὸς ἐπ' ἀλλοτρίης νέον ἆθλον
ἐκτελέων· οὐδ' οἶδα δυσάμμορος, εἴτέ μιν αὖτις
ἐνθάδε νοστήσανθ' ὑποδέξομαι, εἴτε καὶ οὐκί.
πρὸς δ' ἔτι μ' ἐπτοίησε διὰ γλυκὺν αἰνὸς ὄνειρος
ὕπνον· δειμαίνω δὲ παλίγκοτον ὄψιν ἰδοῦσα
ἐκπάγλως, μή μοί τι τέκνοις ἀποθύμιον ἕρπῃ.
εἴσατο γάρ μοι ἔχων μακέλην εὐεργέα χερσί
παῖς ἐμὸς ἀμφοτέρῃσι, βίη Ἡρακληείη·
τῇ μεγάλην ἐλάχαινε δεδεγμένος ὥς ἐπὶ μισθῷ
τάφρον τηλεθάοντος ἐπ' ἐσχατιῇ τινος ἀγροῦ,
γυμνὸς ἄτερ χλαίνης τε καὶ εὐμίτροιο χιτῶνος.
αὐτὰρ ἐπειδὴ παντὸς ἀφίκετο πρὸς τέλος ἔργου
καρτερὸν οἰνοφόροιο πονεύμενος ἕρκος ἀλωῆς,
ἤτοι ὃ λίστρον ἔμελλεν ἐπὶ προύχοντος ἐρείσας
ἀνδήρου καταδῦναι, ἃ καὶ πάρος εἵματα ἕστο·
ἐξαπίνης δ' ἀνέλαμψεν ὑπὲρ καπέτοιο βαθείης
πῦρ ἄμοτον, περὶ δ' αὐτὸν ἀθέσφατος εἰλεῖτο φλόξ.
αὐτὰρ ὅγ' αἰὲν ὄπισθε θοοῖς ἀνεχάζετο ποσσίν,
ἐκφυγέειν μεμαὼς ὀλοὸν βέλος Ἡφαίστοιο·
αἰεὶ δὲ προπάροιθεν ἑοῦ χροὸς ἠΰτε γέρρον

νώμασκεν μακέλην· περὶ δ' ὄμμασιν ἔνθα καὶ ἔνθα
πάπταινεν, μὴ δή μιν ἐπιφλέξει δήιον πῦρ.
τῷ μὲν ἀοσσῆσαι λελιημένος, ὥς μοι ἔϊκτο,
Ἰφικλέης μεγάθυμος ἐπ' οὔδεϊ κάππεσ' ὀλισθών
πρὶν ἐλθεῖν, οὐδ' ὀρθὸς ἀναστῆναι δύνατ' αὖτις,
ἀλλ' ἀστεμφὲς ἔκειτο, γέρων ὡσείτ' ἀμενηνός,
ὅντε καὶ οὐκ ἐθέλοντα βιήσατο γῆρας ἀτερπές
καππεσέειν· κεῖται δ' ὅγ' ἐπὶ χθονὸς ἔμπεδον αὔτως,
εἰσόκέ τις χειρός μιν ἀνειρύσσῃ παριόντων
αἰδεσθεὶς ὄπιδα τρομερὴν πολιοῖο γενείου.
ὣς ἐν γῇ λελίαστο σακεσπάλος Ἰφικλείης·
αὐτὰρ ἐγὼ κλαίεσκον ἀμηχανέοντας ὁρῶσα
παῖδας ἐμούς, μέχρι δή μοι ἀπέσσυτο νήδυμος ὕπνος
ὀφθαλμῶν, ἠὼς δὲ παραυτίκα φαινόλις ἦλθε.
τοῖα φίλη μοι ὄνειρα διὰ φρένας ἐπτοίησαν
παννυχίῃ· τὰ δὲ πάντα πρὸς Εὐρυσθῆα τρέποιτο
οἴκου ἄφ' ἡμετέροιο, γένοιτο δὲ μάντις ἐκείνῳ
θυμὸς ἐμός, μηδ' ἄλλο παρὲκ τελέσειέ τι δαίμων.“

Idyll. IX. (Theocr. XXV.)

Ἡρακλῆς Λεοντοφόνος.

* * * * *

Τὸν δ' ὁ γέρων προσέειπε βοῶν ἐπίουρος ἀροτρεύς
παυσάμενος ἔργοιο, τό οἱ μετὰ χερσὶν ἔκειτο·
„Ἔκ τοι ξεῖνε πρόφρων μυθήσομαι ὅσσ' ἐρεείνεις,
Ἑρμέω ἀζόμενος δεινὴν ὄπιν εἰνοδίοιο·
τὸν γάρ φασι μέγιστον ἐπουρανίων κεχολῶσθαι,
εἴ κεν ὁδοῦ ζαχρεῖον ἀνήνηταί τις ὁδίτην.
ποῖμναι μὲν βασιλῆος ἐΰτριχες Αὐγείαο

οὐ πᾶσαι βόσκονται ἴαν βόσιν οὐδ' ἕνα χῶρον·
ἀλλ' αἳ μέν ῥα νέμονται ἐπ' ὄχθαις ἀμφ' Ἐλισοῦντος,
αἳ δ' ἱερὸν θείοιο παρὰ ῥόον Ἀλφειοῖο,
αἳ δ' ἐπὶ Βουπρασίου πολυβότρυος, αἳ δὲ καὶ ὧδε·
χωρὶς δὲ σηκοί σφι τετυγμένοι εἰσὶν ἑκάσταις.
αὐτὰρ βουκολίοισι περιπλήθουσί περ ἔμπης
πάντεσσιν νομοὶ ὧδε τεθηλότες αἰὲν ἔασι
Μηνίου ἂμ μέγα τῖφος, ἐπεὶ μελιηδέα ποίην
λειμῶνες θαλέθουσιν ὑπόδροσοι εἱαμεναί τε
εἰς ἅλις, ἥ ῥα βόεσσι μένος κεραῇσιν ἀέξει.
αὖλις δέ σφισιν ἥδε τεῆς ἐπὶ δεξιὰ χειρός
φαίνεται εὖ μάλα πᾶσι πέρην ποταμοῖο ῥέοντος,
κείνῃ ὅθι πλατάνιστοι ἐπηετανοὶ πεφύασι
χλωρή τ' ἀγριέλαιος, Ἀπόλλωνος νομίοιο
ἱρὸν ἄγαλμ' ὦ ξεῖνε, τελειοτάτοιο θεοῖο.
εὐθὺς δὲ σταθμοὶ περιμήκεες ἀγροιώταις
δέδμηνθ', οἳ βασιλῆι πολὺν καὶ ἀθέσφατον ὄλβον
ῥυόμεθ' ἐνδυκέως, τριπόλοις σπόρον ἐν νειοῖσιν
ἔσθ' ὅτε βάλλοντες καὶ τετραπόλοισιν ὁμοίως.
οὔρους μὴν ἴσχουσι φυτοσκάφοι οἱ πολύεργοι,
ἐς ληνοὺς δ' ἱκνεῦνται, ἐπὴν θέρος ὥριον ἔλθῃ.
πᾶν γὰρ δὴ πεδίον τόδ' ἐπίφρονος Αὐγείαο,
πυροφόροι τε γύαι καὶ ἀλωαὶ δενδρήεσσαι,
μέχρι ἐπ' ἐσχατιὰς πολυπίδακος ἀκρωρείης,
ἃς ἡμεῖς ἔργοισιν ἐποιχόμεθα πρόπαν ἦμαρ,
ἣ δίκη οἰκήων, οἷσιν βίος ἔπλετ' ἐπ' ἀγροῦ.
ἀλλὰ σύ πέρ μοι ἔνισπε, τό τοι καὶ κέρδιον αὐτῷ
ἔσσεται, οὗτινος ὧδε κεχρημένος εἰλήλουθας,
ἠέ τι Αὐγείην ἢ καὶ δμώων τινὰ κείνου
δίζεαι, οἵ οἱ ἔασιν. ἐγὼ δέ κέ τοι σάφα εἰδὼς
ἀτρεκέως εἴποιμ', ἐπεὶ οὐ σέγέ φημι κακῶν ἒξ
ἔμμεναι οὐδὲ κακοῖσιν ἐοικότα φύμεναι αὐτόν,

οἷόν τοι μέγα εἶδος ἐπιπρέπει. ἦ ῥά νυ παῖδες
ἀθανάτων τοιοίδε μετὰ θνητοῖσιν ἔασι.“
Τὸν δ' ἀπαμειβόμενος προσέφη Διὸς ἄλκιμος υἱός·
„Ναὶ γέρον Αὐγείην ἐθέλοιμί κεν ἀρχὸν Ἐπειῶν
εἰσιδέειν· τοῦ γάρ με καὶ ἤγαγεν ἐνθάδε χρειώ.
εἰ δ' ὅ μὲν ἄρ κατὰ ἄστυ μένει παρὰ οἷσι πολίταις
δήμου κηδόμενος, διὰ δὲ κρίνουσι θέμιστας,
δμώων δή τινα πρέσβυ σύ μοι φράσον ἡγεμονεύσας,
ὅστις ἐπ' ἀγρωτῶν γεραρώτερος αἰσυμνήτης,
ᾧ κε τὸ μὲν εἴποιμι, τὸ δ' ἐκ φαμένοιο πυθοίμην.
ἄλλου δ' ἄλλον ἔθηκε θεὸς ἐπιδευέα φωτῶν.“
Τὸν δ' ὁ γέρων ἐξαῦτις ἀμείβετο δῖος ἀροτρεύς·
„Ἀθανάτων ὦ ξεῖνε φραδῇ τινος ἐνθάδ' ἱκάνεις,
ὥς τοι πᾶν ὃ θέλεις αἶψα χρέος ἐκτετέλεσται.
ὧδε γὰρ Αὐγείης, υἱὸς φίλος Ἠελίοιο,
σφωιτέρῳ σὺν παιδί, βίῃ Φυλῆος ἀγαυοῦ,
χθιζὸς δ' εἰλήλουθεν ἀπ' ἄστεος, ἤμασι πολλοῖς
κτῆσιν ἐποψόμενος, ἥ οἱ νήριθμος ἐπ' ἀγρῶν·
ὥς που καὶ βασιλεῦσιν ἐείδεται ἐν φρεσὶν ᾗσιν
αὐτοῖς κηδομένοισι σαώτερος ἔμμεναι οἶκος.
ἀλλ' ἴομεν μάλα πρός μιν· ἐγὼ δέ τοι ἡγεμονεύσω
αὖλιν ἔφ' ἡμετέρην, ἵνα κεν τέτμοιμεν ἄνακτα.“
Ὣς εἰπὼν ἡγεῖτο, νόῳ δ' ἔτι πόλλ' ἐμενοίνα,
δέρμά τε θηρὸς ὁρῶν χειροπληθῆ τε κορύνην,
ὁππόθεν ὁ ξεῖνος· μεμόνει δέ μιν αἰὲν ἔρεσθαι·
ἂψ δ' ὄκνῳ ποτὶ χεῖλος ἐλάμβανε μῦθον ἰόντα,
μή τί οἱ οὐ κατὰ καιρὸν ἔπος προτιμυθήσαιτο
σπερχομένου· χαλεπὸν δ' ἑτέρου νόον ἴδμεναι ἀνδρός.
τοὺς δὲ κύνες προσιόντας ἀπόπροθεν αἶψ' ἐνόησαν,
ἀμφότερον ὀδμῇ τε χροὸς δούπῳ τε ποδοῖιν.
θεσπέσιον δ' ὑλάοντες ἐπέδραμον ἄλλοθεν ἄλλος
Ἀμφιτρυωνιάδῃ Ἡρακλέϊ· τὸν δὲ γέροντα

ἄγριον ἀσπάζοντο περίσσαινόν θ᾽ ἑτέρωθεν.
τοὺς μὲν ὅγε λάεσσιν ἀπὸ χθονὸς ὅσσον ἀείρων
φευγέμεν ἂψ ὀπίσω δειδίσσετο, τρηχὺ δὲ φωνῇ
ἠπείλει μάλα πᾶσιν, ἐρητύσασκε δ᾽ ὑλαγμοῦ,
χαίρων ἐν φρεσὶν ᾗσιν, ὁθούνεκεν αἰὲν ἔρυντο
αὖλιν κοὺ παρεόντος· ἔπος δ᾽ ὅγε τοῖον ἔειπεν·
„Ὢ πόποι, οἷον τοῦτο θεοὶ ποίησαν ἄνακτες
θηρίον ἀνθρώποισι μετέμμεναι, ὡς ἐπιπειθές.
εἴ οἱ καὶ φρένες ὧδε νοήμονες ἔνδοθεν ἦσαν,
ᾔδει δ᾽, ᾧ τε χρὴ χαλεπαινέμεν ᾧ τε καὶ οὐκί,
οὐκ ἄν οἱ θηρῶν τις ἐδήρισεν περὶ τιμῆς·
νῦν δὲ λίην ζάκοτόν τι καὶ ἀρρηνὲς γένετ᾽ αὔτως.“
Ἦ ῥα, καὶ ἐσσυμένως ποτὶ τωὔλίον ἷξον ἰόντες.

* * *

Ἠέλιος μὲν ἔπειτα ποτὶ ζόφον ἔτραπεν ἵππους
δείελον ἦμαρ ἄγων· τὰ δ᾽ ἐπήλυθε πίονα μῆλα
ἐκ βοτάνης ἀνιόντα μετ᾽ αὐλία τε σηκούς τε.
αὐτὰρ ἔπειτα βόες μάλα μυρίαι ἄλλαι ἐπ᾽ ἄλλαις
ἐρχόμεναι φαίνονθ᾽ ὡσεὶ νέφη ὑδατόεντα,
ἅσσά τ᾽ ἐν οὐρανῷ εἶσιν ἐλαυνόμενα προτέρωσε
ἠὲ νότοιο βίῃ ἠὲ Θρῃκὸς βορέαο·
τῶν μέν τ᾽ οὔτις ἀριθμὸς ἐν ἠέρι γίνετ᾽ ἰόντων,
οὐδ᾽ ἄνυσις· τόσα γάρ τε μέγα προτέρωσε κυλίνδει
ἲς ἀνέμου, τὰ δέ τ᾽ ἄλλα κορύσσεται αὖτις ἐπ᾽ ἄλλοις·
τόσσ᾽ αἰεὶ μετόπισθε βοῶν ἐπὶ βουκόλι᾽ ᾔει.
πᾶν δ᾽ ἄρ᾽ ἐνεπλήσθη πεδίον, πᾶσαι δὲ κέλευθοι
ληΐδος ἐρχομένης — στείνοντο δὲ πίονες ἀγροί —
μυκηθμῷ· σηκοὶ δὲ βοῶν ῥεῖα πλήσθησαν
εἰλιπόδων, ὄϊες δὲ κατ᾽ αὐλὰς ηὐλίζοντο.
ἔνθα μὲν οὔτις ἔκηλος ἀπειρεσίων περ ἐόντων
εἱστήκει παρὰ βουσὶν ἀνὴρ κεχρημένος ἔργου·
ἀλλ᾽ ὃ μὲν ἀμφὶ πόδεσσιν ἐϋτμήτοισιν ἱμᾶσι

κωλοπέδας ἀράρισκε περισταδόν, ἐγγὺς ἀπέργων·
ἄλλος δ' αὖ νέα τέκνα φίλαις ὑπὸ μητράσιν ἵει
πινέμεναι λαροῖο μεμαότα πάγχυ γάλακτος,
ἄλλος ἀμόλγιον εἶχ', ἄλλος τρέφε πίονα τυρόν,
ἄλλος ἐσῆγεν ἔσω ταύρους δίχα θηλειάων.
Αὐγείης δ' ἐπὶ πάντας ἰὼν θηεῖτο βοαύλους,
ἥντινά οἱ κτεάνων κομιδὴν ἐτίθεντο νομῆες,
σὺν δ' υἱός τε βίη τε βαθύφρονος Ἡρακλῆος
ὡμάρτευν βασιλῆι διερχομένῳ μέγαν ὄλβον.
ἔνθα καὶ ἄρρηκτόν περ ἔχων ἐν στήθεσι θυμόν
Ἀμφιτρυωνιάδης καὶ ἀρηρότα νωλεμὲς αἰεί
ἐκπάγλως θαύμαζε θεῶν τόγε μυρίον ἔδνον
εἰσορόων. οὐ γάρ κεν ἔφασκέ τις οὐδὲ ἐώλπει
ἀνδρὸς ληίδ' ἑνὸς τόσσην ἔμεν οὐδὲ δέκ' ἄλλων,
οἵτε πολύρρηνες πάντων ἔσαν ἐκ βασιλήων.
Ἠέλιος δ' ᾧ παιδὶ τόγ' ἔξοχον ὤπασε δῶρον,
ἀφνειὸν μήλοις περὶ πάντων ἔμμεναι ἀνδρῶν,
καί ῥά οἱ αὐτὸς ὄφελλε διαμπερέως βοτὰ πάντα
ἐς τέλος· οὐ μὲν γάρ τις ἐπήλυθε νοῦσος ἐκείνου
βουκολίοις, αἵτ' ἔργα καταφθείρουσι νομήων,
αἰεὶ δὲ πλέονες κεραοὶ βόες, αἰὲν ἀμείνους
ἐξ ἔτεος γίνοντο μάλ' εἰς ἔτος· ἦ γὰρ ἅπασαι
ζωοτόκοι τ' ἦσαν περιώσια θηλυτόκοι τε.
ταῖς δὲ τριηκόσιοι ταῦροι συνάμ' ἐστιχόωντο
κνήμαργοί θ' ἕλικές τε, διηκόσιοι γέ μεν ἄλλοι
φοίνικες· πάντες δ' ἐπιβήτορες οἵγ' ἔσαν ἤδη.
ἄλλοι δ' αὖ μετὰ τοῖσι δυώδεκα βουκολέοντο
ἱεροὶ Ἠελίοιο· χρόην δ' ἔσαν ἠΰτε κύκνοι
ἀργησταί, πᾶσιν δὲ μετέπρεπον εἰλιπόδεσσιν·
οἳ καὶ ἀτιμαγέλαι βόσκοντ' ἐριθηλέα ποίην
ἐν νομῷ, ὧδ' ἔκπαγλον ἐπὶ σφίσι γαυριόωντες.
καί ῥ' ὁπότ' ἐκ λασίοιο θοοὶ προγενοίατο θῆρες

ἐς πεδίον δρυμοῖο βοῶν ἕνεκ' ἀγροτεράων,
πρῶτοι τοίγε μάχην δὲ κατὰ χροὸς ἧεσαν ὀσμήν,
δεινὸν δ' ἐβρυχῶντο φόνον λεῦσσόν τε προσώπῳ.
τῶν μέν τε προφέρεσκε βίηφί τε καὶ σθένεϊ ᾧ
ἠδ' ὑπεροπλίῃ Φαέθων μέγα, τόν ῥα βοτῆρες
ἀστέρι πάντες ἔϊσκον, ὁθούνεκα πολλὸν ἐν ἄλλοις
βουσὶν ἰὼν λάμπεσκεν, ἀρίζηλος δ' ἐτέτυκτο.
ὅς δή τοι σκύλος αὖον ἰδὼν χαροποῖο λέοντος
αὐτῷ ἔπειτ' ἐπόρουσεν ἐϋσκόπῳ Ἡρακλῆι
χρίμψασθαι ποτὶ πλευρὰ κάρη στιβαρόν τε μέτωπον.
τοῦ μὲν ἄναξ προσιόντος ἐδράξατο χειρὶ παχείῃ
σκαιοῦ ἄφαρ κέραος, κατὰ δ' αὐχένα νέρθ' ἐπὶ γαίης
κλάσσε βαρύν περ ἐόντα, πάλιν δέ μιν ὦσεν ὀπίσσω
ὤμῳ ἐπιβρίσας· ὁ δέ οἱ περὶ νεῦρα τανυσθείς
μυὼν ἐξ ὑπάτοιο βραχίονος ὀρθὸς ἀνέστη.
θαύμαζεν δ' αὐτός τε ἄναξ υἱός τε δαΐφρων
Φυλεὺς οἵ τ' ἐπὶ βουσὶ κορωνίσι βουκόλοι ἄνδρες,
Ἀμφιτρυωνιάδαο βίην ὑπέροπλον ἰδόντες.

* * *

Τὼ δ' εἰς ἄστυ λιπόντε καταυτόθι πίονας ἀγροὺς
ἐστιχέτην, Φυλεύς τε βίη θ' Ἡρακληείη.
λαοφόρου δ' ἐπέβησαν ὅθι πρώτιστα κελεύθου,
λεπτὴν καρπαλίμοισι τρίβον ποσὶν ἐξανύσαντες,
ἥ ῥα δι' ἀμπελεῶνος ἀπὸ σταθμῶν τετάνυστο
οὔτι λίην ἀρίσημος ἐν ὕλῃ χλωρὰ θεούσῃ,
τῇ μιν ἄρα προσέειπε Διὸς γόνον ὑψίστοιο
Αὐγείω φίλος υἱὸς ἕθεν μετόπισθεν ἰόντα,
ἦκα παρακλίνας κεφαλὴν κατὰ δεξιὸν ὦμον·
„Ξεῖνε, πάλαι τινὰ πάγχυ σέθεν πέρι μῦθον ἀκούσας,
εἴ σεῦ περ, σφετέρῃσιν ἐνὶ φρεσὶ βάλλομαι ἄρτι.

ἤλυθε γὰρ στείχων τις ἀπ' Ἄργεος ὡς μέσος ἀκμῆς
ἐνθάδ' Ἀχαιὸς ἀνὴρ Ἑλίκης ἒξ ἀγχιάλοιο,
ὅς δή τοι μυθεῖτο καὶ ἐν πλεόνεσσιν Ἐπειῶν,
οὕνεκεν Ἀργείων τις ἔθεν παρεόντος ὄλεσσε
θηρίον, αἰνολέοντα, κακὸν τέρας ἀγροιώταις,
κοίλην αὖλιν ἔχοντα Διὸς Νεμέοιο παρ' ἄλσος,
οὐκ οἶδ' ἀτρεκέως ἢ Ἄργεος ἒξ ἱεροῖο
αὐτόθεν ἢ Τίρυνθα νέμων πόλιν ἠὲ Μυκήνην,
ὡς κεῖνός γ' ἀγόρευε· γένος δέ μιν εἶναι ἔφασκεν,
εἰ ἐτεόν περ ἐγὼ μιμνήσκομαι, ἐκ Περσῆος.
ἔλπομαι οὐχ ἕτερον τόδε τλήμεναι Αἰγιαλήων
ἠὲ σέ, δέρμα δὲ θηρὸς ἀριφραδέως ἀγορεύει
χειρῶν καρτερὸν ἔργον, ὅ τοι περὶ πλευρὰ καλύπτει.
εἴπ' ἄγε νῦν μοι πρῶτον, ἵνα γνώω κατὰ θυμόν,
ἥρως, εἴτ' ἐτύμως μαντεύομαι εἴτε καὶ οὐκί,
εἰ σύγ' ἐκεῖνος, ὃν ἧμιν ἀκουόντεσσιν ἔειπεν
οὕξ Ἑλίκηθεν Ἀχαιός, ἐγὼ δέ σε φράζομαι ὀρθῶς.
εἰπὲ δ' ὅπως ὀλοὸν τόδε θηρίον αὐτὸς ἔπεφνες,
ὅππως τ' εὔυδρον Νεμέης εἰσήλυθε χῶρον·
οὐ μὲν γάρ κε τοσόνδε κατ' Ἀπίδα κνώδαλον εὕροις
ἱμείρων ἰδέειν, ἐπεὶ οὐ μάλα τηλίκα βόσκει,
ἀλλ' ἄρκτους τε σύας τε λύκων τ' ὀλοφώϊον ἔθνος.
τῷ καὶ θαυμάζεσκον ἀκούοντες τότε μῦθον·
οἳ δέ νυ καὶ ψεύδεσθαι ὁδοιπόρον ἀνέρ' ἔφαντο
γλώσσης μαψιδίοιο χαριζόμενον παρεοῦσιν.“
Ὣς εἰπὼν μέσσης ἐξηρώησε κελεύθου
Φυλεύς, ὄφρα κιοῦσιν ἅμά σφισιν ἄρκιος εἴη,
καί ῥά τε ῥηΐτερον φαμένου κλύοι Ἡρακλῆος,
ὅς μιν ὁμαρτήσας τοίῳ προσελέξατο μύθῳ·
„Ὦ Αὐγηιάδη, τὸ μὲν ὅττί με πρῶτον ἀνείρεο,
αὐτὸς καὶ μάλα ῥεῖα κατὰ στάθμην ἐνόησας.
ἀμφὶ δέ σοι τὰ ἕκαστα λέγοιμί κε τοῦδε πελώρου

ὅππως ἐκράανθεν, ἐπεὶ λελίησαι ἀκούειν,
νόσφίν γ' ἢ ὅθεν ἦλθε· τὸ γὰρ πολέων περ ἐόντων
Ἀργείων οὐδ' εἷς κεν ἔχοι σάφα μυθήσασθαι·
οἷον δ' ἀθανάτων τίν' ἐΐσκομεν ἀνδράσι πῆμα
ἱρῶν μηνίσαντα Φορωνήεσσιν ἐφεῖναι.
πάντας γάρ, πίση τις ἐπικλύζων ποταμὸς ὥς,
λῖς ἄμοτον κεράιζε, μάλιστα δὲ Βεμβιναῖοι
οἳ ἔθεν ἄγχιστα κλαῖον ἄτλητα παθόντες.
τὸν μὲν ἐμοὶ πρώτιστα τελεῖν ἐπέταξεν ἄεθλον
Εὐρυσθεύς, κτεῖναι δέ μ' ἐφίετο θηρίον αἰνόν.
αὐτὰρ ἐγὼ κέρας ὑγρὸν ἑλὼν κοίλην τε φαρέτρην
ἰῶν ἐμπλείην νεόμην, ἑτέρηφι δὲ βάκτρον
εὐπαγὲς αὐτόφλοιον ἐπηρεφέος κοτίνοιο
ἔμμητρον, τὸ μὲν αὐτὸς ὑπὸ ζαθέῳ Ἑλικῶνι
εὑρὼν σὺν πυκινῇσιν ὁλοσχερὲς ἔσπασα ῥίζαις.
αὐτὰρ ἐπεὶ τὸν χῶρον, ὅθι λῖς ἦεν, ἵκανον,
δὴ τότε τόξον ἑλὼν στρεπτὴν ἐπέλασσα κορώνῃ
νευρείην, περὶ δ' ἰὸν ἐχέστονον εἶθαρ ἔβησα.
πάντῃ δ' ὄσσε φέρων ὀλοὸν τέρας ἐσκοπίαζον,
εἴ μιν ἐσαθρήσαιμι πάρος τί με κεῖνον ἰδέσθαι.
ἤματος ἦν τὸ μεσηγύ, καὶ οὐδ' ὅπῃ ἴχνια τοῖα
φρασθῆναι δυνάμην οὐδ' ὠρυθμοῖο πυθέσθαι.
οὐδέ μεν ἀνθρώπων τις ἔην ἐπὶ βουσὶ καὶ ἔργοις
φαινόμενος σπορίμοιο δι' αὔλακος, ὅντιν' ἐροίμην·
ἀλλὰ κατὰ σταθμοὺς χλωρὸν δέος εἶχεν ἕκαστον.
οὐ μὴν πρὶν πόδας ἔσχον ὄρος τανύφυλλον ἐρευνῶν,
πρὶν ἰδέειν ἀλκῆς τε μεταυτίκα πειρηθῆναι.
ἤτοι ὃ μὲν σήραγγα προδείελος ἔστιχεν εἰς ἥν,
βεβρωκὼς κρειῶν τε καὶ αἵματος, ἀμφὶ δὲ χαίτας
αὐχμηρὰς πεπάλακτο φόνῳ χαροπόν τε πρόσωπον
στήθεά τε, γλώσσῃ δὲ περιλιχμᾶτο γένειον.
αὐτὰρ ἐγὼ θάμνοισιν ἄφαρ σκιεροῖσιν ἐκρύφθην

ἐν τρίβῳ ὑλήεντι δεδεγμένος ὁππόθ' ἵκοιτο,
καὶ βάλον ἆσσον ἰόντος ἀριστερὸν ἐς κενεῶνα
τηΰσίως· οὐ γάρ τι βέλος διὰ σαρκὸς ὄλισθεν
ὀκριόεν, χλωρῇ δὲ παλίσσυτον ἔμπεσε ποίῃ.
αὐτὰρ ὁ κρᾶτα δαφοινὸν ἀπὸ χθονὸς ὦκ' ἐπάειρε
θαμβήσας, πάντῃ δὲ διέδραμεν ὀφθαλμοῖσι
σκεπτόμενος, λαμυροὺς δὲ χανὼν ὑπ' ὀδόντας ἔφηνε.
τῷ δ' ἐγὼ ἄλλον ὀϊστὸν ἀπὸ νευρῆς προΐαλλον
ἀσχαλόων, ὥς μ' ὁ πρὶν ἐτώσιος ἔκφυγε χειρός·
μεσσηγὺς δ' ἔβαλον στηθέων, ὅθι πλεύμονος ἕδρη.
ἀλλ' οὐδ' ὣς ὑπὸ βύρσαν ἔδυ πολυώδυνος ἰός,
ἀλλ' ἔπεσε προπάροιθε ποδῶν ἀνεμώλιος αὔτως.
τὸ τρίτον αὖ μέλλεσκον ἀσώμενος ἐν φρεσὶν αἰνῶς
αὐερύειν· ὁ δέ μ' εἶδε περιγληνώμενος ὄσσοις
θὴρ ἄμοτος, μακρὴν δὲ περ' ἰγνύῃσιν ἕλιξε
κέρκον, ἄφαρ δὲ μάχης ἐμνήσατο· πᾶς δέ οἱ αὐχὴν
θυμοῦ ἐνεπλήσθη, πυρσαὶ δ' ἔφριξαν ἔθειραι
σκυζομένῳ, κυρτὴ δὲ ῥάχις γένετ' ἠΰτε τόξον,
πάντοθεν εἰληθέντος ὑπὸ λαγόνας τε καὶ ἰξύν.
ὡς δ' ὅτ' ἂν ἁρματοπηγὸς ἀνὴρ πολέων ἴδρις ἔργων
ὅρπηκας κάμπτῃσιν ἐρινεοῦ εὐκτεάνοιο,
θάλψας ἐν πυρὶ πρῶτον, ἵν' ἀξόνι' ᾖ κύκλα δίφρῳ·
τοῦ μὲν ὑπὲκ χειρῶν ἔφυγεν τανύφλοιος ἐρινεός
καμπτόμενος, τηλοῦ δὲ μιῇ πήδησε σὺν ὁρμῇ·
ὣς ἐπ' ἐμοὶ λῖς αἰνὸς ἀπόπροθεν ἀθρόος ἆλτο
μαιμώων χροὸς ἆσαι· ἐγὼ δ' ἑτέρηφι βέλεμνα
χειρὶ προεσχεθόμην καὶ ἀπ' ὤμων δίπλακα λώπην,
τῇ δ' ἑτέρῃ ῥόπαλον κόρσης ὕπερ αὖον ἀείρας
ἤλασα κὰκ κεφαλῆς, διὰ δ' ἄνδιχα τρηχὺν ἔαξα
αὐτοῦ ἐπὶ λασίοιο καρήατος ἀγριέλαιον
θηρὸς ἀμαιμακέτοιο· πέσεν δ' ὅγε πρὶν ἔμ' ἱκέσθαι
ὑψόθεν ἐν γαίῃ, καὶ ἐπὶ τρομεροῖς ποσὶν ἔστη

νευστάζων κεφαλῇ· περὶ γὰρ σκότος ὄσσέ οἱ ἄμφω
ἦλθε, βίῃ σεισθέντος ἐν ὀστέῳ ἐγκεφάλοιο.
τὸν μὲν ἐγὼν ὀδύνῃσι παραφρονέοντα βαρείαις
νωσάμενος, πρὶν αὖτις ὑπότροπον ἀμπνυνθῆναι,
αὐχένος ἀρρήκτοιο περ' ἰνίον ἤχμασα προφθάς,
ῥίψας τόξον ἔραζε πολύρραπτόν τε φαρέτρην·
ἦγχον δ' ἐγκρατέως στιβαρὰς σὺν χεῖρας ἐρείσας
ἐξόπιθεν, μὴ σάρκας ὑποδρύψῃ ὀνύχεσσι,
πρὸς δ' οὖδας πτέρνῃσι ποδῶν στερεῶς ἐπίεζον
οὐραίην ἐπιβάς, πλευρῇσί τε κῆρ' ἐφύλασσον,
μέχρι ὅγ' ἐξεκάπυσσε βραχίονα ῥόχθον ἀείρας
ἄπνευστον, ψυχὴν δὲ πελώριος ἔλλαχεν Ἅιδης.
καὶ τότε δὴ βούλευον, ὅπως λασιαύχενα βύρσαν
θηρὸς τεθνειῶτος ἀπὸ μελέων ἐρυσαίμην,
ἀργαλέον μάλα μόχθον, ἐπεὶ οὐκ ἔσκε σιδήρῳ
τμητὴ οὐδὲ λίθοις πειρωμένῳ, οὐδέ μεν ἄλλῃ.
ἔνθά μοι ἀθανάτων τις ἐπὶ φρεσὶ θῆκε νοῆσαι
αὐτοῖς δέρμα λέοντος ἀνασχίζειν ὀνύχεσσι.
τοῖσι θοῶς ἀπέδειρα, καὶ ἀμφεθέμην μελέεσσιν
ἕρκος ἐνυαλίου ταμεσίχροος ἰωχμοῖο.
οὗτός τοι Νεμέου γένετ' ὦ φίλε θηρὸς ὄλεθρος,
πολλὰ πάρος μήλοις τε καὶ ἀνδράσι κήδεα θέντος."

ΚΕΒΗΤΟΣ ΠΙΝΑΞ.

CEBETIS TABULA.

RECOGNOVIT, PRAEFATUS EST,

APPARATU CRITICO ET VERBORUM INDICE

INSTRUXIT

FRIDERICUS DROSIHN.

LIPSIAE,

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCLXXI.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PRAEFATIO.

Hic quoque libellus, si quis alius, sua fata habuit. Nam et veteribus et recentioribus temporibus cum admiratione plus quam modica lectitatus est, siquidem Lucianus eum bis citat, propinquus quidam Tertulliani materiam ejus, nisi omnia fallunt, in usum Christianorum poetice tractavit, instauratis vero literis usque ad initium hujus saeculi in usum scholarum tam saepe editus est, quam vix aliud quidquam exemplarium graecorum. Mire enim lectorum animos allexit cum propter argumentum quippe ad ethicen pertinens, tum propter allegoricam formam, ita ut Jacob. Gronovius se a prima aetate in oculis sinuque eum semper gessisse praedicaret.

Cebes autem, scriptor hujus dialogi, quis fuerit, quo tempore vixerit, adhuc sub judice lis est. Plurimi editores, in quibus est Schweighäuserus, optime omnium de textu meritus, censuerunt eum notum illum Thebanum, Socratis discipulum, esse. Eorum, qui dissenserunt, alius aliam sententiam habuit. Equidem, et argumento et forma, maxime vero verborum supellectile ductus persuasum habeo Cebetem rhetorem fuisse vel Stoicorum vel Cynicorum sectae addictum et post Dionem Chrysostomum, ante Lucianum vixisse. Cur ita statuam, quamvis Diogenes Laertius et Suidas diserte obtineant, Cebetem, scriptorem Pinacis, Thebanum esse, Socratis discipulum, hic non est locus demonstrare.

Codices manuscripti adhuc excussi sunt quatuor Parisienses, notis Pabcd a Schweighäusero insigniti et is, cujus lectionem variantem a Meibomio diligentissime exhibitam cum reliquo Meibomiano ad Enchiridion Epicteti et ad Cebetis Tabulam apparatu Hadrianus Relandus post mortem Meibomii edidit Trajecti Batav. a. 1711. Et Parisinos quidem, quorum tres Pabc jam Jacobus Gallaeus in usum Jac. Gronovii excerpserat, accuratissime Godofredus Schweighäuserus Joannis filius contulit et lectionem variantem exhibuit minori Schweighäuseri editioni adnexam. Pa teste Schweighäusero membranaceus est, ceteri chartacei sunt. Pa saeculo XII, Pb saec. XIV, Pc Jani Lascaris manu ineunte saeculo XVI, Pd. saec. XVI scripti perhibentur. De codice M. nescimus, qua aetate, a quo, qua in regione scriptus sit, nec cujus tum fuerit, cum Meibomius eum cum suae editionis exemplo compararet, quoniam nihil de his Relandus docuit. Verisimile tamen est codicem non alium esse atque Hafniensem illum, quo etiam Epicteti enchiridion continetur, cujus lectionem variantem a Meibomio exhibitam H. Relandus edidit in editione supra commemorata p. 101 sqq. Eum codicem m. Meibomius dicit non admodum antiquae, bonae tamen notae esse.

Et omnino quidem dicendum est codicum man. conditionem miserrime afflictam esse. Primum enim extrema pinacis pars graece quidem in nullo cod. man. extat, ita ut omnes plus vel minus mutili sint.

Pa jam in cap. 23, 2. desinit in verbis *ὥσπερ πρότερον*. M. Pc et codex, qui Vulgatae fundus est, desinunt in verbis *διὰ τὴν τοῦ ἀγαθοῦ ἄγνοιαν* cap. 40, 2. Extremam graeci textus partem primus Gronovius ex Pbd. edidit. Sed ipsum dialogi finem non nisi arabica paraphrasis nobis servavit, Almamone, septimo Chalifarum ex gente Abassidarum regnante, i. e. IX saec., orta, ut Salmasius quidem censet. Eam paraphrasin totam latine vertit Joannes Elichmannus, qui initio saeculi septimi decimi medicinam professus arabicae et persicae linguae cognitione magnopere excelluit. Opus

ejus, cum ipse properato fine prohiberetur, quominus ederet, cura Salmasii cum praefatione in Tabulam Cebetis arabicam Lugd. Batav. Typis Joannis Maire a. 1640 editum est. Praefatione de arabica maxime versione disseruit et quam multa Arabs male intellexerit luculentis exemplis demonstravit. Quod tamen extremam Pinacis partem adsutam et ex aliquo ethico Graeco ab Arabe paraphraste attextam esse censet, vane auguratus est. Immo graecus textus, qui est inde a cap. 40, 2. usque ad finem, post Salmasii demum aetatem ex integrioribus codicibus man. editus, quippe plane cum arabica paraphrasi consentiens, evidenter ostendit contrariam Elichmanni sententiam veram esse, qui pharaphraseos auctorem integriorem codicem Graecum nactum esse contendit, quam ex quibus Tabula graece hactenus est propagata. Ceterum ea Pinacis pars, quae graece non extat, de arabica paraphrasi latine reddita jam editionibus, quae Snecanis notis instructae sunt, — prima a. 1634 in lucem prodiit — adnecti solebat.

Ad eum codicum m. defectum accedunt multae lacunae vel minores vel majores. Singulas quidem voces v. c. in M. fere quadraginta omissae sunt, binae quinque locis, majores lacunae quinque inveniuntur, quas ut origo et natura eo facilius appareat jam ita notabo, ut voces omissae includantur.

Cap. 4, 3. *βαδίζειν* [*εἰ σώζεσθαι μέλλουσιν ἐν τῷ βίῳ· ποίαν οὖν ὁδὸν αὐτοὺς δεῖ βαδίζειν*], *ἢ πῶς;*

10, 1. [*καὶ μάλα. οὐκοῦν καὶ γυναῖκες αἰσχραὶ καὶ ῥυπαραὶ καὶ ῥάκη ἠμφιεσμέναι δοκοῦσι συνεῖναι;*] *καὶ μάλα.*

32, 4. *ἀφίκωνται·* [*κελεύει οὖν αὐτοὺς χρόνον τινὰ ἐνδιατρῖψαι καὶ λαβεῖν ὅ τι ἂν βούλωνται*] *παρ' αὐτῆς.*

37, 3. *τὸ κακῶς τοίνυν ζῆν* [*κακόν ἐστι· τὸ δὲ ζῆν*] *οὐ κακόν ἐστι.*

De lacuna, quae est c. 35, 3. vid. infra. Similes lacunae etiam in P. codicibus man. inveniuntur.

Nec desunt vitia contraria, glossas dico multifarias,

quae, ut fieri solet in libris cupide lectitatis, a lectoribus et correctoribus orationi intersertae, vel ex margine culpa librariorum in textum receptae sunt. Cujus rei exempla infra affatim suppeditabit praefatio et apparatus criticus. Et maxime quidem glossis contaminatus est Pb. et qui plerumque cum eo consentit Pd., minime M., cujus vitia admodum multa, modo non omnia, incuriae librarii tribuenda esse videntur, non codici, ex quo transscriptus est, cum codices Pbd. multis locis manum correctoris prodant. Et ita quidem rem sese habere eo quoque confirmatur quod M. saepissime consentit cum Pa.

Denique omnes codices man. variis mendis corrupti sunt, quarum multa singulis quibusque propria sunt, haud pauca ex communi omnium fonte fluxerunt.

Tali codicum man. conditione fieri non potest, quin multa non tantum leviora sed graviora etiam dubia et incerta maneant, quae etiam manebunt, donec alia meliora critices adjumenta inveniantur et adhibeantur. Ac sane duo codices m. adhuc nondum excussi extare videntur. Est enim Schweighäusero teste in bibl. Laurentiana Medicea cod. saec. XVI scriptus, desinens in verbis *γυνὴ καθεστηκυῖα εὐειδής τις κάθηται* cap. 21, 3, cujus meminit Bandinius in Catal. bibl. Laurent. Tom. II, p. 423. Alter est cod. man. bibl. Urbinatis, ex quo Ludovicus Odaxius Patavinus, magno illi literarum instauratori Angelo Politiano haud impar, Guidonis, Urbinatis Ducis, gratissimus quondam praeceptor, Tabulam Cebetis latine vertit, elegantius quidem, quam fidelius. Eam versionem Camers, ordinis Minorum, s. theologiae doctor, qui et ipse juvenis Urbini literis operam dedit et Odaxium cognovit, commentario instruxit. Is codex m. cum lectionibus, quibus a vulgata discedit, tum integritate praestat. Desinit enim in iisdem verbis quibus integerrimi Pbd. Cap. 14, 2. magnam lacunam habet: *νὴ Δία* [. . . . *νὴ Δία*]. Contra eo loco, quo omnes cdd. adhuc excussi lacunam habent, c. 35, 3. integer est, nisi Odaxius ex conjectura

eam supplevit. Utcumque res se habet, haud inutile sane fuerit hunc codicem accurate excutere.

Ad editiones quod attinet, diligenter in majore ed. Schweighäuseri recensentur, quae usque ad finem saeculi octavi decimi prodierunt. Earum una maxime commemoranda est, vulgatae lectionis fundamentum, quae sub hoc titulo prodiit: Epicteti enchiridion, hoc est pugio, sive ars humanae vitae correctrix, una cum Cebetis Thebani tabula, qua vitae humanae prudenter instituendae ratio continetur: graece et latine etc. Hieronymo Wolfio interprete. Basileae, per Joannem Oporinum (1560). Nititur ea ed. editione Basileensi ab Oporino edita et Constantini Lascaris grammaticae graeco-latinae addita, cujus textus ad maximam partem cum codice m. Pc. consentit. Schweighäuseri editio major saepius jam commemorata sub hoc titulo prodiit: Epicteti manuale et Cebetis tabula graece et latine. Graeca ad fidem veterum librorum denuo recensuit, et collata omni lectionis varietate vindicavit illustravitque, Latinam versionem, enchiridii praesertim, ad graeci exempli praescriptum diligenter recognovit Joannes Schweighäuser, priscar. liter. in schola Argentor. Prof. publ. etc. Lipsiae, in libr. Weidmanniana. 1798. Eam secuta est a. 1806 minor Schweighäuseri editio cum variante lectione codicum man. P. a Godofredo Schweigh. accuratissime exhibita. Paulo ante Corais Cebetis Tabulam ediderat, quam editionem doleo me nullo modo nancisci potuisse. Omnium editionum quae inde ab eo tempore prodierunt nulla est digna cujus mentio fiat nisi Didotiana, quae Parisiis a. 1840 prodiit cura Frederici Dübneri, qui cum satis facere sibi videretur, si majorem Schweighäuseri editionem „artis criticae docte, prudenter et circumspecte exercitae mirificum exemplar“ exprimendam curaret, tamen quamvis obiter textum recognosceret et uno certe loco emendaret.

Ad textum hac editione constitutam quod attinet omnino animadvertendum est, codicem m. M. uno loco excepto, qui est 12, 3. constanter habere formam γίνε-

σθαι, cum cdd. P. ubique praebeant γίγνεσθαι, nisi quod Pbd. 40, 2. 41, 2. habent γίνεται. Eodem modo libri P. exhibent formam γιγνώσκειν, M. γινώσκειν. Equidem libros P. sequi malui, quam M., cum Cebes in eorum numero esse videatur, qui sicut Polybius, Appianus veteres Atticos imitati sunt. (cf. Thes. gr. linguae vol. II, 621.) Nec tamen praesertim in quaestione tam impedita negare ausim, aliter posse judicari. Eadem inconstantia libri sunt in exhibendis formis οὐδείς et οὐθείς, μηδείς et μηθείς. Forma οὐδείς omnibus libris consentientibus viginti locis occurrit, οὐθείς semel. Praeterea 15, 2. hanc formam praebent Pabd., ubi M. Pc. V. οὐθείς habent, 35, 4. M. οὐθέν habet, V. οὐδέν; de P. libris dubium est, quam formam h. l. habeant. μηθέν uno loco exhibent cdd. Pbd. 41, 1. Equidem non dubitavi ubique οὐδείς et μηδείς scribere, cum credere non possim scriptorem ambabus formis permutandis lusisse. cf. Thes. gr. linguae vol. V, 2373. Quod libri saepius ποῦ, ὅπου et semel οὗ exhibent, ubi verba motum ad locum significantia ποῖ, ὅποι, οἷ requirunt, consequenter illas formas librariis relinquendas esse putavi. cf. L. Dindorfium in praef. ad Dionem Chrys, G. Dindorfium in thes. gr. linguae vol. VI, p. 1538.

Jam restat ut de singulis quibusdam locis agatur. Verbis quae 3, 3. leguntur: καθάπερ οἱ ἐπὶ τιμωρίᾳ παραδιδόμενοι notitia τῆς Τιμωρίας anticipatur, quae decimo demum capite describitur tamquam mulier, flagellum tenens. Hospes eum nondum novit, ubi primum a sene commemoratur 9, 4. Ideo interrogat senem: ποία δ' ἔστιν αὕτη; Huc accedit inconstantia librorum scripturae. Exinde admodum verisimile fit, ea verba additamentum esse alienum a scriptore, hoc vel illo modo orationi insertum.

Eodem modo 7, 3 factum est, ut μαινομένη in textum irreperet, quod verisimile est lectorem, memorem loci qui paulo infra subsequitur, ad marginem scripsisse. Nam primum quidem 30, 3. Fortunam senex

describit tamquam *γυναῖκα, ἢ δοκεῖ τυφλή τις εἶναι* una caecitate utpote imprimis insigni attributa. Tum vero verba senis, quae statim subsequuntur clare indicant illam vocem culpa librarii insertam esse. Respondet enim senex: *καλεῖται μὲν Τύχη· ἔστι δὲ οὐ μόνον τυφλή, ἀλλὰ καὶ μαινομένη καὶ κωφή*, quae quidem verba Jac. Gronovius in notis editioni additis p. 120. transponenda esse censuit: *ἐστὶ δὲ οὐ μόνον τυφλὴ καὶ μαινομένη, ἀλλὰ καὶ κωφή*, quae transpositio vix verisimilis est scriptura librorum non variante. Tertia causa, cur hic statuendum esse contendam, est locus pronominis *τίς* plane insolitus. Nam expectamus potius *τυφλή τις καὶ μαινομένη*. cf. 2, 2. 10, 1. 15, 2.

Eam ob causam eo loco, qui est 23, 3. *οὐκοῦν ἐπὶ τοῦ προπυλαίου γυνὴ καθεστηκυῖα εὐειδής τις κάθηται* vox *καθεστηκυῖα* suspecta est. Etenim si pro adjectivo accipitur, ita, ut significet constans aetate, sicut in Hippocr. aphor. 1, 13. usurpatur *οἱ καθεστηκότες* (cf. *πίν*. 18, 1. *ὅτι γυνή τις ἐστὶ καλὴ καὶ καθεστηκυῖα τὸ πρόσωπον*, formosa et constanti facie) exspectamus potius *γυνή τις καθεστηκυῖα καὶ εὐειδής*. Nam id quoque notandum est nusquam in *πίν*. duas notiones *ἀσυνδέτως*, sed ubique aut particula *καί* aut particulis *τέ–καί* conjungi, cum plures notiones aliquando quamvis rarius *ἀσυνδέτως* conjunctae inveniantur, soleat tamen *καί* repeti. cf. Reitz ad Luc. Icarom. pag. 18. l. 8. Quodsi vero pro participio *καθεστηκυῖα* accipimus, sicut Odaxius accepit, qui vertit: Mulier praecellens in vestibulo constituta super solium excelsum sedet, Dübnerus, qui Odaxii versionem paululum mutavit, alii, mihi quidem sensus nullus esse videtur. Ideo vix dubium est, quin ex similibus locis 9, 1. 16, 1. vocem *καθεστηκυῖα* culpa librarii huc illatam esse.

Similiter 11, 1. *τὴν Ἐπιθυμίαν* culpa librarii ex loco qui est 6, 2. *αὗται τοίνυν Δόξαι, καὶ Ἐπιθυμίαι, καὶ Ἡδοναὶ καλοῦνται* textui illatam esse su-

spicor. Duae enim sunt Opiniones, quas Resipiscentia tamquam comites addit homini, qui resipuit, altera, quae ad veram disciplinam (cf. 29, 2.), altera, quae ad falsam disciplinam ducit. (*Ψευδοδοξία* 11, 2.) Concupiscentiae autem, quae nonnisi in voluptatem et malam fortunam ducit (6, 2), hic non est locus. Certe in iis quae sequuntur nusquam Concupiscentia cum Opinione tamquam comes hominibus ad sanitatem reversis attributa commemoratur. cf. 35, 3.

Additamentum a Cebete alienum etiam 32, 4. deprehendisse mihi videor, ubi Schweighäuser sic interpunxit: *καὶ ἐντεῦθεν κελεύει συντόμως ἀπαλλάττεσθαι, καὶ μὴ πιστεύειν μηδὲ ταύταις μηδέν· ἕως ἂν πρὸς τὴν Ψευδοπαιδείαν ἀφίκωνται, κελεύει οὖν αὐτοῖς χρόνον τινὰ ἐνδιατρῖψαι, καὶ λαβεῖν* etc. Ac primum quidem certissimum est novum enunciatum incipere verbis *κελεύει οὖν*, id vero, quod antecedat, *ἕως ἂν-ἀφίκωνται* ad verbum *ἀπαλλάττεσθαι* construendum esse. Nam nec *ἕως ἂν* hoc loco valere potest „donec si vel postquam“, ut Schweigh. vult, nec particula *οὖν* „pleonastica ratione“ positum est, ut idem statuit. Jam patet, quantopere verba *καὶ μὴ πιστεύειν μηδὲ ταύταις μηδὲν* totum contextum turbent. Quodsi quis contendat verba tamquam parenthesin orationi interserta esse, nullum certe in pinace exemplum invenitur talis parenthesis. Ideoque equidem non dubitavi haec verba tamquam ex 31, 1. huc illata uncis includere.

Alia additamenta inconstanti librorum scriptura maxime suadente tamquam a Cebete aliena uncis inclusi, de quibus vide, quae in apparatu critico notata sunt. Unum est, quod hic paucis attingendum est. Etenim saepius libri variant de *ἔφην* vel *ἔφη*; plane omissum est hoc vel illud 5, 2. in M. Pa. 15, 1. in M. Pbcd. V. Od. 5, 3. 3, 1. in M. 25, 2. in M. Pd. de loco variant libri 10, 1. 15, 1. 32, 1. 35, 3. Jam apparet scriptorem, evitaturum repetitum illud *ἔφην* et *ἔφη*, iis locis, quibus sponte patet alterutrum interlo-

cutorem incipere, hoc signum omisisse; nam locis circiter centum quinquaginta deest, centum orationi intersertum est. Itaque suspicandum est saepius lectores vel librarios illud ad marginem scripsisse, unde in textum irrepsit. Quod quidem ita se habere, confirmatur lectione codicis M., qui 16, 9. φημί habet, cum ceteri omnes ἔφην exhibeant. Eodem pertinet locus, qui est 5, 1, ubi pro ὁρᾷς, εἶπε cum M. scripsi ὁρᾷς οὖν, cum nusquam in pinace εἰπεῖν pro φάναι sic orationi intersertum inveniatur. cf. 30, 3. 32, 3. Similiter 29, 3. voces ἔφη, οὔκ delendum vel certe uncis includendum esse duxi, cum nusquam, quod scio, ἔφη orationem incipiat, eoque magis has voces tamquam additamentum a Cebete alienum removendum esse censeo, quod eadem ellipsis particula γάρ sequente inveniatur 33, 5, ubi Meibomius suspicatus est οὐδέν ante ἔστι γάρ scribendum esse.

5, 2. et duobus aliis locis 19, 4. 22, 1. invitis libris pro dativo τῇ ἑαυτῆς δυνάμει scribendum esse duxi τὴν ἑαυτῆς δύναμιν, sicut 19, 1. recte in libris legitur. Nam mea quidem sententia τῇ ἑαυτῆς δυνάμει nil significare potest, nisi sua vi (cf. 23, 3. 23, 4.). Sed iis locis de quibus agitur δύναμις significat medicamentum et ποτίζειν semper cum accusativo rei quam quis propinat construitur.

10, 4. non est cur lectio librorum κακοδαιμονίᾳ in suspicionem vocetur. Nam quod paulo ante Κακοδαιμονία per prosopopoeiam tamquam domus repraesentatur, hic solitum significatum habet, hoc saepius fit in hoc dialogo. Etenim ita ubique scriptor allegoriam cum interpretatione contexuit, ut eadem notio modo personificetur, modo proprie dicatur. cf. ἄγνοια 5, 3. 6, 3. 40, 2. contra 19, 5. 23, 1. 25, 2. 27, 4. πλάνος 23, 1. contra 19, 5. ἰσχὺν καὶ θάρσος 16, 5. θάρσος καὶ ἀφοβία 18, 4. 19, 5.

13, 2. Pro περιπατητικοί Schweighäuser lectionem codicum man. M. Pad. περιπατικοί recepit, allegans Athen. IV, Tom. II, p. 213 sqq. Sed primum quidem

haec vox non ex usu est. Tum apparet περιπατικοί compendio scriptum esse pro περιπατητικοί. Nam nihil tali compendio usitatius est in verbalibus in -ητικοί desinentibus. cf. Wolfium ad Epict. dissert. II, 9, 3.

Vexatissimus locus est 26, 3, ubi omnes libri consentiunt in ἐχιόδηκτοι, etiam cod. man. Urbinas, Odaxio vertente: a vipera morsi, quod Salmasius dicit haud alios posse intelligere, nisi quos vipera momorderit. Salmasius probat vel ἐχιοθῆροι vel ἐχιοθῆραι, quod censet Arabem in suo codice man. invenisse. Conjecerunt praeterea Is. Casaubonus ἐχιοδεῖκται, viperarum ostentatores, quod Dübnerus recepit, Mer. Casaubonus ἐχιοδιῶκται, Johnsonus ἐχιοδέκται, viperarii, Corais ἐχιολέκται, Schneiderus in lex. gr. ἐχιοδῆκται, viperarum incantatores, Hertlein (in Fleckeis. neuen Jahrbb. 1867, S. 482.) ἐχιοθέλκται, Schlangenbeschwörer, quae quidem vocabula ex analogia sunt, sed non ex usu. Mihi quidem maxime placet, quod Caselius proposuit, ὀφιογενεῖς. Etenim vulgata fabula erat, fuisse homines in Hellesponto circa Parium, Ophiogenes vocatos, serpentum ictus contactu levare et imposita manu corpori venenum extrahere solitos. Simili modo genti Marsorum in Italia, Psyllis in Africa vim quamdam innatam esse exitialem serpentibus, qua non modo ipsi tuti essent a morsu viperarum, sed etiam a serpentibus morsis mederentur. cf. Strab. XIII, p. 588. ed. Casaub. Plin. nat. hist. 7, 2. 28, 3, 6. A. Gell. 16, 11. Jam si reputamus, quam multum hic libellus a Christianis lectitatus sit, quot glossae in textum irruerint, probabilis sane conjectura videbitur hoc quoque loco Christianum lectorem, memorem loci illius, quo agitur de morsis a serpentibus venenatis et de vi veneno contraria, Numer. 21, 9 sqq., ad marginem ascripsisse illud ἐχιόδηκτοι, quod postea a librario in textum receptum est ita, ut genuina lectio οἱ ὀφιογενεῖς vel male vel parum intellecta expelleretur.

20, 2. Schweighäuserus sic scripsit: Οὐχ' ὁρᾷς, ἔφη, ἔσω τῆς πύλης χορὸν γυναικῶν; ὡς εὐειδεῖς

δοκοῦσιν εἶναι καὶ εὔτακτοι καὶ στολὴν ἀτρύφερον καὶ ἁπλῆν ἔχουσιν· ἔτι δὲ ὡς ἄπλαστοί εἰσι —; Primum post *γυναικῶν* commate interpungendum erat, cum enunciatum particula *ὡς* connexum a verbo *ὁρᾷς* dependeat ita, ut subjectum ejus ad verbum *ὁρᾷς* tamquam objectum attractum sit, quod Cebes facere amat, cf. 16, 1. 25, 3. 16, 5. 24, 2. 28, 2. Sicut particula *ὡς*, ita etiam particula *ὅτι* talia enuntiata nectuntur. Eadem de causa etiam lectio librorum M. et P. *ὡς περιάγοντας* 6, 3. cum Wolfio emendanda est *ὡς περιάγονται*. Tum pro *ἔχουσιν* scribendum erat *ἔχουσαι* propter sermonis concinnitatem, ex qua notionem adjectivam exspectamus pro verbo finito. cf. 1, 1. 5, 1., ubi Pa. et M. pro *ἔχουσα* habent *ἔχει*, 15, 3. 18, 1. 6, 1. 9, 2. 10, 2. Similiter 18, 2. M. Pa. V. habent *δοκοῦσι* pro *δοκοῦσαι*.

35, 3. omnes codices man. adhuc excussi lacunam habent. M. Pbcd. habent: *ὅτι ἐν τῷ πρώτῳ περιβόλῳ, εἰ μηδὲν ἄλλο, ὃ προσποιοῦνταί γε ἐπίστασθαι, οὐκ οἴδασιν.* V.: *ὅτι οἱ ἐν τῷ δευτέρῳ περιβόλῳ, εἰ μηδὲν ἄλλο, προσποιοῦνταί γε ἐπίστασθαι, ἃ οὐκ οἴδασιν.* Apparet oculos librarii vel ab altero *περιβόλῳ* ad alterum *περιβόλῳ* (Pbcd. M.), vel ab altero *ἐν τῷ* ad alterum *ἐν τῷ* (V.) aberrasse. Odaxius, sive codex man., quo usus est, integer fuit, sive conjectura omissa supplevit, vertit: Quoniam in primo ambitu hoc plus habent, quod quae nesciunt, nescire se non dissimulant: in secundo vero illud certe nesciunt, quod scire se profitentur. Contextus vero alium sensum postulare mihi videtur, quam quem Odaxius exprimit, eum quidem, quem textus Vulgatae praebet. Ideo sic scribere placuit: *Ὅτι οἱ μὲν ⟦ἐν τῷ [πρώτῳ περιβόλῳ οὐ προσποιοῦνται ἐπίστασθαι, ἃ οὐκ οἴδασιν, οἱ δ'⟧ ἐν τῷ δευτέρῳ περιβόλῳ] εἰ μηδὲν ἄλλο, προσποιοῦνταί γε ἐπίστασθαι, ἃ οὐκ οἴδασιν.* octo vocabula typis insignia secundum Odaxii versionem suppleta sunt. Extrema verba, quae V. prabet, genuina esse apparet ex iis, quae statim sequun-

tur: ἕως δ' ἂν ἔχωσι ταύτην τὴν δόξαν. quamnam opinionem? eam scilicet, qua simulant se scire quae revera nesciunt. cf. Plat. Gorg. 464, C. προσποιούμενοι μὲν εἰδέναι, εἰδότες δὲ οὐδέν. Apol. 23, D.

Nonnullis locis interpunctione mutata rectam interpretationem adjuvare studui. Ita 6, 1., ubi Schweigh. praeeunte Gronovio falso interpunxit γυναικῶν, ἑταιρῶν, cum potius post ἑταιρῶν interpungendum sit. cf. 9, 1. Luc. de salt. 15. καὶ παρ' ἑταίρας γυναικὸς οὐκ ἀπηξίου σπουδαῖόν τι ἀκούειν τῆς Ἀσπασίας. 34, 1. comma, quo a Schweigh. post μαθηματικοί interpunctum est, delendum erat, cum genetivus τῶν ἀνθρώπων dependeat a verbo προέχουσιν.

P. = codices man. Parisini. *Pa.* = Parisinus num. 1858. *Pb.* = Parisinus num. 1001. *Pc.* = Parisinus. num. 1774. *Pd.* = Parisinus num. 2292. *M.* = codex Meibomianus. *V.* = Vulgata. *O.* = Odaxii versio latina, quae codicem Urbinatem repraesentat. *A.* = Arabs paraphrastes.

ΚΕΒΗΤΟΣ

ΠΙΝΑΞ.

Διαλόγου Πρόσωπα, Ξένος καὶ Πρεσβύτης.

I. *Ἐτυγχάνομεν περιπατοῦντες ἐν τῷ τοῦ Κρόνου ἱερῷ, ἐν ᾧ πολλὰ μὲν καὶ ἄλλα ἀναθήματα ἐθεωροῦμεν· ἀνέκειτο δὲ καὶ πίναξ τις ἔμπροσθεν τοῦ νεὼ, ἐν ᾧ ἦν γραφή τις ξένη, καὶ μύθους ἔχουσα ἰδίους· οὓς οὐκ ἠδυνάμεθα συμβαλεῖν, τίνες καί ποτ' ἦσαν. οὔτε γὰρ πόλις ἐδόκει ἡμῖν εἶναι τὸ γεγραμ-* 2
μένον, οὔτε στρατόπεδον· ἀλλὰ περίβολος ἦν, ἐν αὑτῷ ἔχων ἑτέρους περιβόλους δύο, τὸν μὲν μείζω, τὸν δὲ ἐλάττω. ἦν δὲ καὶ πύλη ἐπὶ τοῦ πρώτου περιβόλου· πρὸς δὲ τῇ πύλῃ ὄχλος ἐδόκει ἡμῖν πολὺς ἐφεστάναι. καὶ ἔνδον δὲ, ἐν τῷ περιβόλῳ, πλῆθός τι γυναικῶν 3
ἑωρᾶτο. ἐπὶ δὲ τῆς εἰςόδου τοῦ πρώτου πυλῶνος καὶ περιβόλου γέρων τις ἐφεστὼς, ἔμφασιν ἐποίει, ὡς προςτάττων τι τῷ εἰςιόντι ὄχλῳ.

I. *Κέβητος πίναξ.*] gentile *Θηβαίου*, vulgo post *Κέβητος* insertum, deest in omnibus codicibus man. Pc excepto, qui habet *Κέβητος πίναξ Θηβαίου.* — *Κρόνου* P. V. Od. A.: *ἡλίου* M. Pc in ora. — *ἀνέκειτο* M. Pabd.: *ἐνέκειτο* Pc. V. Wolfius in ora *ἀνέκειτο.* 2. *τίνες καί ποτ'* M. Pa. in ora.: *τίνες καί ποτε* P. 3. *καὶ ἔνδον δέ* M. Pac.: *καί* deest in Pbd. V. — *ἐν τῷ περιβόλῳ* P. M.: *τοῦ περιβόλου* V. cf. 6, 1. — *καὶ περιβόλου* Pabd. V. O.: *τοῦ περιβόλου* M. Pc. — *ἐφεστώς* M.: *ἑστώς* P. V. cf. 4, 2. 1, 2. de verbo simplici nulla participii forma nisi *ἑστηκώς* in pin. reperitur. cf. 4, 3. 8, 1 *ἑστηκυῖα* 7, 1. 9, 1. 16. 1.

II. *Ἀπορούντων οὖν ἡμῶν περὶ τῆς μυθολογίας
πρὸς ἀλλήλους πολὺν χρόνον, Πρεσβύτης τις παρ-
εστὼς, Οὐδὲν δεινὸν πάσχετε, ὦ ξένοι, ἔφη, ἀπο-
ροῦντες περὶ τῆς γραφῆς ταύτης· οὐδὲ γὰρ τῶν ἐγ-
χωρίων πολλοὶ οἴδασι, τί ποτε αὕτη ἡ μυθολογία
2 δύναται· οὐδὲ γάρ ἐστι πολιτικὸν τὸ ἀνάθημα· ἀλλὰ
ξένος τις πάλαι ποτὲ ἀφίκετο δεῦρο, ἀνὴρ ἔμφρων,
καὶ δεινὸς περὶ σοφίαν, λόγῳ τε καὶ ἔργῳ Πυθαγό-
ρειόν τινα καὶ Παρμενίδειον ἐζηλωκὼς βίον, ὅς τό
τε ἱερὸν τοῦτο, καὶ τὴν γραφὴν ἀνέθηκε τῷ Κρόνῳ.*
3 *Ξ. Πότερον οὖν, ἔφην ἐγὼ, καὶ αὐτὸν τὸν ἄνδρα
γιγνώσκεις ἑωρακώς;*

*Π. Καὶ ἐθαύμασά γε, ἔφη, αὐτὸν πολὺν χρόνον,
νεώτερος ὤν. πολλὰ γὰρ καὶ σπουδαῖα διελέγετο·
καὶ περὶ ταύτης δέ τῆς μυθολογίας πολλάκις αὐτοῦ
ἠκηκόειν διεξιόντος.*

III. *Ξ. Πρὸς Διός τοίνυν, ἔφην ἐγὼ, εἰ μή τίς
σοι μεγάλη ἀσχολία τυγχάνει οὖσα, διήγησαι ἡμῖν·
πάνυ γὰρ ἐπιθυμοῦμεν ἀκοῦσαι, τί ποτ᾽ ἐστὶν ὁ
μῦθος.*

*Π. Οὐδεὶς φθόνος, ὦ ξένοι, ἔφη. ἀλλὰ τουτὶ
πρῶτον δεῖ ὑμᾶς ἀκοῦσαι, ὅτι ἐπικίνδυνόν τι ἔχει ἡ
ἐξήγησις.*

II. *ἐγχωρίων* M.: *ἐπιχωρίων* ceteri omnes. — *οἴδασι* M. Pabd.: *ἴσασι* Pc. V. cf. 35, 3. — *δύναται* Pa.: *δύναιτο* ceteri omnes; nusquam alibi talem optativum sine *ἂν* particula inveni in piu. cf. 1, 1. 3, 2. 4, 3. 30, 1. 14, 4. 26, 1. 31, 1. 31, 3. 32, 4. 36, 2. 37, 2. 2. *τῷ Κρόνῳ* P. V. O. A.: *ἡλίῳ* M. Pc. in ora. 3. *πολὺν χρόνον, νεώτερος ὢν* M. Pbcd. V. O.: *πολυχρονίω* Pa., quod Schweigh. in ed. min. ex *πολυχρονιώτερον* decurtatum esse censet. Sed, nisi fallor, scriptori pinacis obversatus est locus, qui est in Plat. Theaet. p. 183, E. *Παρμενίδης δέ μοι φαίνεται, τὸ τοῦ Ὁμήρου, αἰδοῖός τέ μοι εἶναι ἅμα δεινός τε· συνέμιξα γὰρ δὴ τῷ ἀνδρὶ πάνυ νέος πρεσβύτῃ.*

Ξ. Οἷον τί; ἔφην ἐγώ.

Π. Ὅτι, εἰ μὲν προςέξετε, [ἔφη,] καὶ συνήσετε
τὰ λεγόμενα, φρόνιμοι καὶ εὐδαίμονες ἔσεσθε· εἰ δὲ
μὴ, ἄφρονες, καὶ κακοδαίμονες, καὶ πικροὶ, καὶ ἀμα-
θεῖς γενόμενοι, κακῶς βιώσεσθε. Ἔστι γὰρ ἡ ἐξήγη- 2
σις ἐοικυῖα τῷ τῆς Σφιγγὸς αἰνίγματι, ὃ ἐκείνη προὐ-
βάλλετο τοῖς ἀνθρώποις. εἰ μὲν οὖν αὐτὸ συνίη τις,
ἐσώζετο· εἰ δὲ μὴ συνίη, ἀπώλλυτο ὑπὸ τῆς Σφιγγός.
ὡσαύτως δὲ καὶ ἐπὶ τῆς ἐξηγήσεως ἔχει ταύτης. ἡ
γὰρ Ἀφροσύνη τοῖς ἀνθρώποις Σφίγξ ἐστιν. αἰνίτ- 3
τεται δὲ τάδε, τί ἀγαθὸν, τί κακὸν, τί οὔτε ἀγαθὸν,
οὔτε κακόν ἐστιν ἐν τῷ βίῳ. Ταῦτ' οὖν ἐὰν μέν τις
μὴ συνίῃ, ἀπόλλυται ὑπ' αὐτῆς· οὐκ εἰςάπαξ, ὥσπερ
ὁ ὑπὸ τῆς Σφιγγὸς καταβρωθεὶς ἀπέθνησκεν· ἀλλὰ
κατὰ μικρὸν ἐν ὅλῳ τῷ βίῳ καταφθείρεται, [καθά-
περ οἱ ἐπὶ τιμωρίᾳ παραδιδόμενοι.] ἐὰν δέ τις γνῷ, 4
ἀνάπαλιν ἡ μὲν Ἀφροσύνη ἀπόλλυται, αὐτὸς δέ σώ-
ζεται, καὶ μακάριος καὶ εὐδαίμων γίγνεται ἐν παντὶ
τῷ βίῳ. Ὑμεῖς οὖν προςέχετε, καὶ μὴ παρακούετε.

IV. Ξ. Ὦ Ἡράκλεις, ὡς εἰς μεγάλην τινὰ ἐπιθυμίαν ἐμβέβληκας ἡμᾶς, εἰ ταῦθ' οὕτως ἔχει.

Π. Ἀλλ' ἔστιν, ἔφη, οὕτως ἔχοντα.

Ξ. Οὐκ ἂν φθάνοις τοίνυν διηγούμενος· ὡς

III. προσέξετε, ἔφη, omnes excepto M., in quo ἔφη deest. — καὶ πικροὶ, καὶ ἀμαθεῖς omnes. Wolfius conj. καὶ πονηροὶ καὶ ἀμαθεῖς. Equidem suspicor verba glossam esse ad explicandam vocem ἄφρονες culpa librariorum textui insertam. 2. ἔστι γὰρ ἡ ἐξήγησις ἐοικυῖα P. V.: ἔοικε γὰρ ἡ ἐξήγησις M. προὐβάλλετο P. V.: προεβάλλετο M. 3. συνίῃ Pbcd. M. V.: συνιεῖ Pa. συνιῇ ex conj. scr. Schweigh. in ed. min. — καθάπερ οἱ ἐπὶ τιμωρίᾳ παραδιδόμενοι Pa. M. V.: καθάπερ οἱ ἐπὶ τιμωρίαν παραδιδόμενοι Pbcd. v. praef. 4. ἐάν M. P.: ἂν V.

IV. φθάνοις Pbcd.: φθόνοις Pa. φθονοίης M. —

ἡμῶν προσεξόντων οὐ παρέργως, ἐπείπερ καὶ τὸ ἐπιτίμιον τοιοῦτόν ἐστιν.

2 Π. Ἀναλαβὼν οὖν ῥάβδον τινὰ, καὶ ἐκτείνας πρὸς τὴν γραφήν· Ὁρᾶτε, ἔφη, τὸν περίβολον τοῦτον;

Ξ. Ὁρῶμεν.

Π. Τοῦτο πρῶτον δεῖ εἰδέναι ὑμᾶς, ὅτι καλεῖται ὁ τόπος οὗτος Βίος. καὶ ὁ ὄχλος ὁ πολὺς, ὁ παρὰ τὴν πύλην ἐφεστὼς, οἱ μέλλοντες εἰςπορεύεσθαι εἰς
3 τὸν βίον οὗτοί εἰσιν. ὁ δὲ γέρων, ὁ ἄνω ἑστηκὼς, ἔχων χάρτην τινὰ ἐν τῇ χειρὶ, καὶ τῇ ἑτέρᾳ ὥσπερ δεικνύων τι, οὗτος Δαίμων καλεῖται· προστάττει δὲ τοῖς εἰςπορευομένοις, τί δεῖ αὐτοὺς ποιεῖν, ὡς ἂν εἰςέλθωσιν εἰς τὸν βίον· καὶ δεικνύει, ποίαν ὁδὸν αὐτοὺς δεῖ βαδίζειν, εἰ σώζεσθαι μέλλουσιν ἐν τῷ βίῳ.

V. Ξ. Ποίαν οὖν ὁδὸν κελεύει βαδίζειν, ἢ πῶς; ἔφην ἐγώ.

Π. Ὁρᾷς οὖν παρὰ τὴν πύλην θρόνον τινὰ κείμενον κατὰ τὸν τόπον τοῦτον, καθ' ὃν εἰςπορεύεται ὁ ὄχλος, ἐφ' οὗ κάθηται γυνὴ πεπλασμένη τῷ ἤθει, καὶ πιθανὴ φαινομένη, καὶ ἐν τῇ χειρὶ ἔχουσα ποτή-
2 ριόν τι;

Ξ. Ὁρῶ. ἀλλὰ τίς ἐστιν αὕτη; [ἔφην ἐγώ.]

Π. Ἀπάτη καλεῖται, φησὶν, ἡ πάντας τοὺς ἀνθρώπους πλανῶσα.

2. ὁ τόπος οὗτος P.: οὗτος ὁ τόπος M. pronomen οὗτος in pin. substantivum subsequi solet, ubi digito aliquid monstratur. cf. 2, 2. 3, 2. 4, 2. 5, 1. 9, 1. 11, 2. 17, 2. contra 35, 2. — παρά P. V.: περί M.

V. ὁρᾷς οὖν παρὰ M.: ὁρᾷς οὖν, εἶπε, παρά Pa. ὁρᾷς, εἶπε, παρά Pbcd. V. O. — τὸν τόπον τοῦτον Pbcd. V.: τὸν τόπον M. Pa. — ἤθει M. Pac.: ἦθος Pb. εἴθει V. Wolfius in notis commendavit εἴδει cf. locum a Gronov. citatum ex Aristaeneti epp. lib. I. 2. αἱ μείρακες — — ἦθος οὐ πεπλασμένον ἐμφαίνουσαι. vid. thesaurum graec. linguae IV, p. 117. — ἔχουσα Pbcd. V.: ἔχει M. Pa. vid. praef. 3. τοῦτο P. V.:

Ξ. Εἶτα τί πράττει αὕτη;

Π. Τοὺς εἰςπορευομένους εἰς τὸν βίον ποτίζει τὴν ἑαυτῆς δύναμιν.

Ξ. Τοῦτο δὲ τί ἐστι τὸ ποτόν; 3

Π. πλάνος, ἔφη, καὶ ἄγνοια.

Ξ. Εἶτα τί;

Π. Πιόντες τοῦτο, πορεύονται εἰς τὸν βίον.

Ξ. Πότερον οὖν πάντες πίνουσι τὸν πλάνον, ἢ οὔ;

VI. Π. Πάντες πίνουσιν, ἔφη· ἀλλ' οἱ μὲν πλεῖον, οἱ δὲ ἧττον. Ἔτι δὲ οὐχ ὁρᾷς ἔνδον τῆς πύλης πλῆθός τι γυναικῶν ἑταιρῶν, παντοδαπὰς μορφὰς ἐχουσῶν;

Ξ. Ὁρῶ.

Π. Αὗται τοίνυν, Δόξαι, καὶ Ἐπιθυμίαι, καὶ 2 Ἡδοναὶ καλοῦνται. Ὅταν οὖν εἰςπορεύηται ὁ ὄχλος, ἀναπηδῶσιν αὗται, καὶ περιπλέκονται πρὸς ἕκαστον, εἶτα ἀπάγουσι.

Ξ. Ποῖ δὲ ἀπάγουσιν αὐτούς;

Π. Αἱ μὲν εἰς τὸ σώζεσθαι, ἔφη· αἱ δὲ εἰς τὸ ἀπόλλυσθαι διὰ τὴν ἀπάτην.

Ξ. Ὦ δαιμόνιε, ὡς χαλεπὸν τὸ πόμα λέγεις.

Π. Καὶ πᾶσαί γε, ἔφη, ἐπαγγέλλονται ὡς ἐπὶ τὰ 3 βέλτιστα ἄξουσαι, καὶ εἰς βίον εὐδαίμονα καὶ λυσιτελῆ. οἱ δὲ διὰ τὴν ἄγνοιαν καὶ τὸν πλάνον, ὃν πε-

τουτί M. cf. 3, 1. — πλάνος M. Pa.: πλάνη Pbcd. V. cf. 5, 3. 6, 3. 19, 5. 23, 1. 25, 2. quibus locis forma πλάνος omnibus manuscr. consentientibus occurrit, cum πλάνη nusquam in pin. inveniatur.

VI. περιπλέκονται πρὸς ἕκαστον M.: πλέκονται πρὸς ἕκαστον P. συμπλέκονται πρὸς ἕκαστον V. nescio annon emendandum sit συμπλέκονται ἑκάστῳ. cf. 9, 2. ποῖ M. V.: ποῦ P. omnes, ut videtur. 3. ἄξουσαι P. V.: ἥξουσι M. — εἰς βίον εὐδαίμονα P. V.: ἐς βίον ἄλλον εὐδαίμονα M. forma ἐς

πώκασι παρὰ τῆς Ἀπάτης, οὐχ εὑρίσκουσι ποία ἐστὶν ἡ ἀληθινὴ ὁδὸς ἡ ἐν τῷ βίῳ, ἀλλὰ πλανῶνται εἰκῆ· ὥςπερ ὁρᾷς καὶ τοὺς πρότερον εἰσπορευομένους, ὡς περιάγονται [ὅπη ἂν αὗται δεικνύωσι.]

VII. Ξ. Ὁρῶ τούτους, ἔφην. Ἡ δὲ γυνὴ ἐκείνη τίς ἐστιν, ἢ ὥσπερ τυφλὴ [καὶ μαινομένη] τις εἶναι δοκοῦσα, καὶ ἑστηκυῖα ἐπὶ λίθου τινὸς στρογγύλου;

Π. Καλεῖται μέν, ἔφη, Τύχη· ἐστὶ δὲ οὐ μόνον τυφλή, ἀλλὰ καὶ μαινομένη καὶ κωφή.

2 Ξ. Αὕτη οὖν τί ἔργον ἔχει;

Π. Περιπορεύεται πανταχοῦ, ἔφη· καὶ παρ᾽ ὧν μὲν ἁρπάζει τὰ ὑπάρχοντα, καὶ ἑτέροις δίδωσι· παρὰ δὲ τῶν αὐτῶν πάλιν ἀφαιρεῖται παραχρῆμα ἃ δέδωκε, καὶ ἄλλοις δίδωσιν εἰκῆ καὶ ἀβεβαίως. διὸ καὶ τὸ σημεῖον καλῶς μηνύει τὴν φύσιν αὐτῆς.

3 Ξ. Ποῖον τοῦτο; ἔφην ἐγώ.

Π. Ὅτι ἐπὶ στρογγύλου λίθου ἕστηκεν.

Ξ. Εἶτα τί τοῦτο σημαίνει;

Π. Ὅτι οὐκ ἀσφαλής, οὐδὲ βεβαία ἐστὶν ἡ παρ᾽ αὐτῆς δόσις. ἐκπτώσεις γὰρ μεγάλαι καὶ σκληραὶ γίγνονται, ὅταν τις αὐτῇ πιστεύσῃ.

nusquam in pinace invenitur. — ὡς περιάγονται] Wolfius conjecit pro περιάγοντας, quod perperam omnes manuscr. habent. vid. praef. — ὅπη ἂν αὗται δεικνύωσι Pbcd.: ὅποι ἂν τύχοι M. Pa. (certe τύχῃ scribi debuerat.) aut alterutra lectio in textum recipienda aut utraque removenda, quod mihi maxime placet. Nam utraque glossae simillima est, quae ex margine in textum irrepsit.

VII. τούτους M. P. τοῦτον V. Wolfius in notis: τοῦτο, non τοῦτον. O. „video hoc.“ — ἢ ὥσπερ τυφλὴ καὶ μαινομένη τις εἶναι δοκοῦσα omnes praeter M., in quo τίς deest vid. praef. 2. δέδωκε hic et 8, 2. P. V.: ἔδωκε hic et 8. 2. M., quod incuriae librarii relinquendum est cf. 31, 5, ubi bis ἃ δέδωκεν = τὴν δόσιν legitur omnibus manuscr. consentientibus. 3. ἐπὶ στρογγύλου λίθου P. V.: ἐπὶ λίθου στρογγύλου M. πιστεύσῃ Pbcd. V.: πιστεύῃ M. Pa.

VIII. Ξ. Ὁ δὲ ὄχλος [τῶν ἀνθρώπων,] ὁ πολὺς οὗτος περὶ αὐτὴν ἑστηκώς, τί βούλεται; καὶ τίνες καλοῦνται;

Π. Καλοῦνται μὲν οὗτοι Ἀπροβούλευτοι· αἰτοῦσι δὲ ἕκαστος αὐτῶν ἃ ῥίπτει.

Ξ. Πῶς οὖν οὐχ ὁμοίαν ἔχουσι τὴν μορφὴν, ἀλλ' οἱ μὲν αὐτῶν δοκοῦσι χαίρειν, οἱ δὲ ἀθυμοῦσιν, ἐκτετακότες τὰς χεῖρας;

Π. Οἱ μὲν δοκοῦντες, ἔφη, χαίρειν καὶ γελᾶν 2
αὐτῶν, οἱ εἰληφότες τι παρὰ τῆς Τύχης εἰσίν· οὗτοι δὲ καὶ Ἀγαθὴν Τύχην αὐτὴν καλοῦσιν. οἱ δὲ δοκοῦντες κλαίειν, καὶ τὰς χεῖρας ἐκτετακότες, εἰσὶ παρ' ὧν ἀφείλετο ἃ δέδωκε πρότερον αὐτοῖς. οὗτοι δὲ πάλιν Κακὴν Τύχην αὐτὴν καλοῦσι.

Ξ. Τίνα οὖν ἔστιν ἃ δίδωσιν αὐτοῖς, ὅτι οὕτως 3
οἱ μὲν λαμβάνοντες χαίρουσιν, οἱ δὲ ἀποβάλλοντες κλαίουσι;

Π. Ταῦτα, ἔφη, ἃ παρὰ τοῖς πολλοῖς ἀνθρώποις δοκεῖ εἶναι ἀγαθά.

Ξ. Ταῦτ' οὖν τίνα ἐστί;

Π. Πλοῦτος δηλονότι, καὶ δόξα, καὶ εὐγένεια, 4
καὶ τέκνα, καὶ τυραννίδες, καὶ βασιλεῖαι καὶ τἄλλα ὅσα τούτοις παραπλήσια.

Ξ. Ταῦτ' οὖν πῶς οὐκ ἔστιν ἀγαθά;

VIII. ὁ δὲ ὄχλος τῶν ἀνθρώπων, ὁ πολὺς οὗτος M.: ὁ δὲ τῶν ἀνθρώπιον ὄχλος, ὁ πολὺς οὗτος Pa. ὁ δὲ τῶν ἀνθρώπων πολὺς ὄχλος οὗτος Pc. ὁ δὲ ὄχλος ὁ πολὺς οὗτος Pbd. V. τῶν ἀνθρώπων tamquam additamentum a librariis textui intersertum uncis inclusimus; nam ad fluctuantem codd. m. lectionem accedit, quod additamentum plane superfluum est, cum ὄχλος per se significet turbam hominum. cf. 1, 2. 1, 4, 2. 5, 1. 6, 2. 2. δέδωκε vid. ad 7, 2. 3. ταῦτα, ἔφη V.: ταῦτα οὖν, ἔφη M. 4. δηλονότι P. M.: δηλαδή V.

Π. Περὶ μὲν τούτων, ἔφη, καὶ αὖθις ἐκποιήσει
διαλέγεσθαι. νῦν δὲ περὶ τὴν μυθολογίαν γενώμεθα.

Ξ. Ἔστω οὕτως.

IX. Π. Ὁρᾷς οὖν, ὡς ἂν παρέλθῃς τὴν πύλην
ταύτην, ἀνωτέρω ἄλλον περίβολον, καὶ γυναῖκας
ἔξω τοῦ περιβόλου ἑστηκυίας, κεκοσμημένας ὥσπερ
ἑταῖραι εἰώθασι;

Ξ. Καὶ μάλα.

Π. Αὗται τοίνυν, ἡ μὲν Ἀκρασία καλεῖται, ἡ δὲ
Ἀσωτία, ἡ δὲ Ἀπληστία, ἡ δὲ Κολακεία.

2 Ξ. Τί οὖν ὧδε ἑστήκασιν αὗται;

Π. Παρατηροῦσιν, ἔφη, τοὺς εἰληφότας τι παρὰ
τῆς Τύχης.

Ξ. Εἶτα τί;

Π. Ἀναπηδῶσι, καὶ συμπλέκονται αὐτοῖς, καὶ
κολακεύουσι, καὶ ἀξιοῦσι παρ' αὐταῖς μένειν, λέ-
γουσαι ὅτι βίον ἕξουσιν ἡδύν τε καὶ ἄπονον, καὶ
3 κακοπάθειαν ἔχοντα οὐδεμίαν. ἐὰν οὖν τις πεισθῇ
ὑπ' αὐτῶν εἰςελθεῖν εἰς τὴν Ἡδυπάθειαν, μέχρι
μέν τινος ἡδεῖα δοκεῖ εἶναι ἡ διατριβή, ἕως ἂν γαρ-
γαλίζῃ τὸν ἄνθρωπον· εἶτ' οὐκέτι. ὅταν γὰρ ἀνα-
νήψῃ, αἰσθάνεται ὅτι οὐκ ἤσθιεν, ἀλλ' ὑπ' αὐτῆς
4 κατησθίετο καὶ ὑβρίζετο. Διὸ καὶ, ὅταν ἀναλώσῃ

ἐκποιήσει διαλέγεσθαι Pa. M.: διαλεξόμεθα Pbcd. V. — γενώμεδα M. Pbc. V.: γινόμεθα Pa. γενόμεθα Pd.

IX. παρέλθῃς M. Pabd.: παρέλθοις Pb. V. Pc. inter lineas cf. 4. 3. — ταύτην, M. Pac. V.: ταύτην, ἔφη Pbd. — ἀνωτέρω M. Pa: ἀνώτερον Pbcd. V. cum hic adverbium requiratur (cf. 15, 1. 15, 4. 10, 1) placuit ἀνωτέρω scribere; nam forma ἀνώτερον pro ἀνωτέρω aliena videtur ab Atticis. vid. thes. gr. linguae, vol. I, p. 1064. 2. παρ' αὐταῖς M. Pa.: παρ' αὐτάς Pbcd. παρ' αὐτοῖς V. Wolfius in ora αὐταῖς. — ἡδὺν τε καί Pa.: ἡδὺν καί Pbcd. M. V. 3. εἰςελθεῖν M. P.: deest in V. — οὐκέτι M. Pa. in duas voces scriptum οὐκ ἔτι; cf. 26, 2, ubi Pbcd. οὐκ ἔτι, M. οὐκέτι habet: οὐκ

πάντα, ὅσα ἔλαβε παρὰ τῆς Τύχης, ἀναγκάζεται ταύταις ταῖς γυναιξὶ δουλεύειν, καὶ πάνθ' ὑπομένειν, καὶ ἀσχημονεῖν, καὶ ποιεῖν ἕνεκεν τούτων πάνθ' ὅσα ἐστὶ βλαβερά· οἷον, ἀποστερεῖν, ἱεροσυλεῖν, ἐπιορκεῖν, προδιδόναι, λῄζεσθαι, καὶ πάνθ' ὅσα τούτοις παραπλήσια. Ὅταν οὖν πάντα αὐτοὺς ἐπιλίπῃ, παραδίδονται τῇ Τιμωρίᾳ.

X. Ξ. Ποία δέ ἐστιν αὕτη;

Π. Ὁρᾷς ὀπίσω τι αὐτῶν, [ἔφη,] ὥςπερ θυρίον [μικρὸν,] καὶ τόπον στενόν τινα καὶ σκοτεινόν;

Ξ. Καὶ μάλα.

Π. Οὐκοῦν καὶ γυναῖκες αἰσχραὶ, καὶ ῥυπαραὶ, καὶ ῥάκη ἠμφιεσμέναι δοκοῦσι συνεῖναι;

Ξ. Καὶ μάλα. 2

Π. Αὗται τοίνυν, ἔφη, ἡ μὲν τὴν μάστιγα ἔχουσα, καλεῖται Τιμωρία· ἡ δὲ τὴν κεφαλὴν ἐν τοῖς γόνασιν ἔχουσα, Λύπη· ἡ δὲ τὰς τρίχας τίλλουσα ἑαυτῆς, Ὀδύνη.

Ξ. Ὁ δ' ἄλλος οὗτος, ὁ παρεστηκὼς αὐταῖς, 3

ἔστιν Pbcd. cf. 12, 3. 4. ἕνεκεν τούτων omnes. hoc loco excepto ante lit. conson. semper forma ἕνεκα (14, 4. 34, 4. 40, 1), ante voc. ἕνεκεν (19, 1) occurrit. — πάνθ' ὅσα ἐστί M. Pc.; πάντα ὅσα ἐστί Pa. vel πάντα vel πανθ' ignorant Pbd. V. Od. — αὐτούς Wolfius in ora et in notis commendat: αὐτοῖς codd. man. — ἐπιλίπῃ Pa: ἀπολίπῃ Pbcd. ἐπιλείπῃ M. ἀπολείπῃ V.

X. ὁρᾷς ὀπίσω τι αὐτῶν, ἔφη, ὥσπερ θύριον μικρόν V.: ὁρᾷς ὀπίσω τί αὐτῶν, ἔφη ἄνω ὥσπερ θύριον μικρόν P.: sed ἄνω deest in Pc. θηρίον habet Pd. ὁρᾷς ὠπίσω, ἔφη, τι μικρὸν ἄνω ὥσπερ θύριον M. „videsne retro eas quamdam veluti bestiolam —?“ .O. praeter ἔφη etiam ἄνω et μικρόν a librariis addita esse videntur. — σκοτεινόν; καὶ μάλα habuit fons codicis M.; nam lacuna, quae est in M., ita orta est, ut oculi librarii aberrarent ab altero καὶ μάλα ad alterum. καὶ μάλα deest in Pacd. Pb. habet a recentiori manu ὁρῶ, quod nihil aliud est nisi conjectura. 2. αὗται P.: τού-

δυςειδής τις, καὶ λεπτὸς, καὶ γυμνός· καὶ μετ' αὐτοῦ τις ὁμοία αὐτῷ, αἰσχρὰ καὶ λεπτή· τίς ἐστιν;

Π. Ὁ μὲν, Ὀδυρμὸς καλεῖται, ἔφη· ἡ δὲ, ἀδελφὴ
4 *αὐτοῦ, Ἀθυμία. Τούτοις οὖν παραδίδοται, καὶ μετὰ τούτων συμβιοῖ τιμωρούμενος. Εἶτα ἐνταῦθα πάλιν εἰς τὸν ἕτερον οἶκον ῥίπτεται, εἰς τὴν Κακοδαιμονίαν, καὶ ὧδε τὸν λοιπὸν βίον καταστρέφει ἐν πάσῃ κακοδαιμονίᾳ, ἂν μὴ ἡ Μετάνοια αὐτῷ ἀπὸ τύχης συναντήσῃ.*

XI. *Ο. Εἶτα τί γίγνεται, ἐὰν ἡ Μετάνοια αὐτῷ συναντήσῃ;*

Π. Ἐξαίρει αὐτὸν ἐκ τῶν κακῶν, καὶ συνίστησιν αὐτῷ ἑτέραν Δόξαν [καὶ Ἐπιθυμίαν,] τὴν εἰς τὴν

των M. 3. *καὶ λεπτὸς καὶ γυμνός* P. V. O.: *καὶ γυμνὸς καὶ λεπτός* M. — *μετ' αὐτοῦ τις* M. Pa.: *μετὰ ταῦτά τις* Pcd. V. O. *μετὰ τοῦτόν τις* Pb. — *τίς ἐστιν* omnes: *τίνες εἰσίν* scripsit Villebrunius ex conj. 4. *ἡ δὲ, ἀδελφὴ αὐτοῦ, Ἀθυμία* Pbcd. V.: *ἡ δὲ ἀδελφή* M. *αὐτοῦ Ἀθυμία* perperam omissis. *ἡ δὲ Ἀθυμία· ἀδελφὴ δέ ἐστιν αὐτὴ αὐτοῦ* Pa. — *ἐνταῦθα πάλιν* M. Pa.: *πάλιν ἐνταῦθα* Pbc. *πάλιν* Pd. pro *ἐνταῦθα* Meibom. in notis commendat *ἐντεῦθεν*, quod Gronovio teste Velsius et Barthius habent. Equidem suspicor, *ἐνταῦθα*, quod juxta *εἶτα* plane redundat, glossam esse, a librario orationi insertam; cf. tamen 32, 4 *εἶτα ἐντεῦθεν* etc. — *τὸν ἕτερον οἶκον*] *εἰς τὸν ἕτερον οἶκτον* conj. Gronov., falso quidem; nam postquam stultus ille *εἰς τὴν Ἡδυπάθειαν* tanquam in domum ingressus est, traditur *τῇ Τιμωρίᾳ, τῇ Λύπῃ* et *τῇ Ὀδύνῃ* iisque servire cogitur loco angusto et tenebroso. Post denuo in aliam domum conjicitur, *εἰς τὴν Κακοδαιμονίαν*. — *ἐν πάσῃ κακοδαιμονίᾳ* omnes codd. man.: *κακοπραγίᾳ* conj. Johnsonus. — *ἂν μὴ ἡ Μετάνοια αὐτῷ ἀπὸ τύχης συναντήσῃ* M. *ἂν μὴ ἡ Μετάνοια αὐτῷ ἀπὸ τῆς τύχης συναντήσῃ* Pbcd. V. O. „nisi forte illi Poenitentia obviam prodierit.“ *ἂν μὴ η Μετάνοια αὐτῷ ἀπὸ τύχῃ ἐκ προαιρέσεως συναντήσασα.* Pa. Apparet *ἐκ προαιρέσεως συναντήσασα* glossam esse, Christiani, nisi fallor, quae ex margine in textum irrepsit, ita ut *συναντήσῃ* expelleretur.

ἀληθινὴν Παιδείαν ἄγουσαν, ἅμα δὲ καὶ τὴν εἰς τὴν Ψευδοπαιδείαν καλουμένην.

Ξ. Εἶτα τί γίγνεται; 2

Π. Ἐὰν μὲν, φησὶ, τὴν Δόξαν ταύτην προςδέξηται, τὴν ἄξουσαν αὐτὸν εἰς τὴν ἀληθινὴν Παιδείαν, καθαρθεὶς ὑπ' αὐτῆς σώζεται, καὶ μακάριος καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ· εἰ δὲ μὴ, πάλιν πλανᾶται ὑπὸ τῆς Ψευδοδοξίας.

XII. Ξ. Ὦ Ἡράκλεις, ὡς μέγας ὁ κίνδυνος ἄλλος οὗτος. Ἡ δὲ Ψευδοπαιδεία, ποία ἐστίν; ἔφην ἐγώ.

Π. Οὐχ ὁρᾷς τὸν ἕτερον περίβολον ἐκεῖνον;

Ξ. Καὶ μάλα, ἔφην ἐγώ. 2

Π. Οὐκοῦν ἔξω τοῦ περιβόλου παρὰ τὴν εἴσοδον γυνή τις ἕστηκεν, ἣ δοκεῖ πάνυ καθάριος καὶ εὔτακτος εἶναι;

Ξ. Καὶ μάλα.

Π. Ταύτην τοίνυν οἱ πολλοὶ καὶ εἰκαῖοι τῶν ἀν- 3
θρώπων Παιδείαν καλοῦσιν· οὐκ ἔστι δὲ, ἀλλὰ Ψευδοπαιδεία, ἔφη. οἱ μέν τοι σωζόμενοι, ὁπόταν βούλωνται εἰς τὴν ἀληθινὴν Παιδείαν ἐλθεῖν, ὧδε πρῶτον παραγίγνονται.

Ξ. Πότερον οὖν ἄλλη ὁδὸς οὐκ ἔστιν, ἐπὶ τὴν ἀληθινὴν Παιδείαν ἄγουσα;

Π. Ἔστιν, ἔφη.

XI. ἅμα δὲ καὶ τὴν P. V.: ἅμα δὲ καί M. 2. καθαρθεὶς M. Pbcd. καὶ καθαρθείς Pa. καθαρεῖς V. Wolfius in ora καθαρθείς. — ἐν παντὶ τῷ βίῳ Pbcd. V. O.: ἐν τῷ βίῳ M. Pa. — Ψευδοδοξίας omnes cdd. m.: Wolfius conj. Ψευδοπαιδείας, „nam de ea tantum hic agitur.“ vid. praef.

XII. 2. καθάριος P.: καθάρειος M. καθαρά V. 3. ἀνθρώπων O. V.: ἀνδρῶν Pabd. M. ἀνῶν Pc. 4. οὐκ ἔστιν Pbcd. V. O: οὐκ ἦν M. Pa.

XIII. Ξ. *Οὗτοι δὲ οἱ ἄνθρωποι, οἱ ἔσω τοῦ περιβόλου ἀνακάμπτοντες, τίνες εἰσίν;*

Π. Οἱ τῆς Ψευδοπαιδείας, ἔφη, ἐρασταί, ἠπατημένοι, καὶ οἰόμενοι μετὰ τῆς ἀληθινῆς παιδείας συνομιλεῖν.

Ξ. *Τίνες οὖν καλοῦνται οὗτοι;*

2 *Π. Οἱ μὲν, Ποιηταί· ἔφη· οἱ δὲ, Ῥήτορες· οἱ δὲ, Διαλεκτικοί· οἱ δὲ, Μουσικοί· οἱ δὲ, Ἀριθμητικοί. οἱ δὲ, Γεωμέτραι· οἱ δὲ, Ἀστρολόγοι· οἱ δὲ, Ἡδονικοί· οἱ δὲ, Περιπατητικοί· οἱ δὲ, Κριτικοί· καὶ ὅσοι ἄλλοι τούτοις εἰσὶ παραπλήσιοι.*

XIV. Ξ. *Αἱ δὲ γυναῖκες ἐκεῖναι, αἱ δοκοῦσαι περιτρέχειν, ὅμοιαι ταῖς πρώταις, ἐν αἷς ἔφης εἶναι τὴν Ἀκρασίαν, [καὶ αἱ ἄλλαι αἱ μετ' αὐτῶν,] τίνες εἰσίν;*

Π. Αὐταὶ ἐκεῖναί εἰσιν, ἔφη.

2 Ξ. *Πότερον οὖν καὶ ὧδε εἰσπορεύονται;*

Π. Νὴ Δία, καὶ ὧδε· σπανίως δὲ, καὶ οὐχὶ ὥσπερ ἐν τῷ πρώτῳ περιβόλῳ.

Ξ. *Πότερον οὖν καὶ αἱ Δόξαι;*

3 *Π. Ναὶ, ἔφη. μένει γὰρ καὶ ἐν τούτοις τὸ πόμα, ὃ ἔπιον παρὰ τῆς Ἀπάτης.*

XIII. *καὶ οἰόμενοι* M. O.: *οἰόμενοι* P. V. 2. *Περιπατητικοί* Pbc, V. O. A.: *περιπατικοί* M. Pad.

XIV. *καὶ αἱ ἄλλαι αἱ μετ' αὐτῶν* V. *καὶ αἱ ἄλλαι μετ' αὐτῶν* Pd. *καὶ ἄλλαι αἱ μετ' αὐτῶν* Pabc. *καὶ ἄλλαι μετ' αὐτῶν* M. „in quibus Incontinentiam et reliquas una esse affirmabas.“ O. quasi legisset *καὶ τὰς ἄλλας μετ' αὐτῆς.* Utique expectamus *ἃς ἔφης εἶναι τὴν Ἀκρασίαν καὶ τὰς ἄλλας τὰς μετ' αὐτῆς.* Totum additamentum alienum esse vid. a scriptore. *αὐταί* conj. Schweigh. consentiente O., qui vertit: illae ipsae sunt: *αὗται* Pbcd. M. *αὗται* Pa. 3. *ναί, ἔφη μὲν γάρ* P.M. In Pc. super *ἔφη* inter lineas scriptum est *ἔτι.* — *ναί, ἔφη· ἔτι μὲν γάρ* V. „ita, inquit. Manet enim et in his adhuc potio.“ O. Nescio annon scribendum sit: *ναί, ἔφη· ἔτι μένει*

Ξ. *Καὶ ἡ ἄγνοια μένει [καὶ ἐν τούτοις;]*

Π. *Νὴ Δία, καὶ μετ' αὐτῆς γε ἡ ἀφροσύνη· καὶ οὐ μὴ ἀπέλθῃ ἀπ' αὐτῶν οὐθ' ἡ δόξα, οὐθ' ἡ λοιπὴ κακία, μέχρις ἂν ἀπογνόντες τῆς Ψευδοπαιδείας εἰσέλθωσιν εἰς τὴν ἀληθινὴν ὁδὸν, καὶ πίωσι τὴν τούτων καθαρτικὴν δύναμιν. εἶτα, ὅταν καθαρθῶσι,* 4
καὶ ἐκβάλωσι τὰ κακὰ πάνθ' ὅσ' ἂν ἔχωσι, καὶ τὰς δόξας, καὶ τὴν ἄγνοιαν, καὶ τὴν λοιπὴν κακίαν πᾶσαν, τότε ἂν οὕτω σωθήσονται. ὧδε δὲ μένοντες παρὰ τῇ Ψευδοπαιδείᾳ, οὐδέποτε ἀπολυθήσονται, οὐδὲ ἐλλείψει αὐτοὺς κακὸν οὐδὲν ἕνεκα τούτων τῶν μαθημάτων.

XV. Ξ. *Ποία οὖν ἔστιν αὕτη ἡ ὁδὸς, ἡ φέρουσα ἐπὶ τὴν ἀληθινὴν Παιδείαν; [ἔφην.]*

Π. *Ὁρᾷς ἄνω, [ἔφη,] τόπον τινὰ ἐκεῖνον, ὅπου οὐδεὶς ἐπικατοικεῖ, ἀλλ' ἔρημος δοκεῖ εἶναι;*

Ο. *Ὁρῶ.*

Π. *Οὐκοῦν καὶ θύραν τινὰ μικρὰν, καὶ ὁδόν τινα* 2
πρὸ τῆς θύρας, ἥτις οὐ πολὺ ὀχλεῖται, ἀλλ' ὀλίγοι

γάρ. — *καὶ ἡ Ἄγνοια μένει ἐν τούτοις* Pacd.: *καὶ ἡ Ἄγνοια μένει ἐν τούτοις δέ* Pb. *καὶ ἡ Ἄγνοια μένει, καὶ ἐν τούτοις* M. *καὶ ἡ Ἄγνοια μένει.* V. Vel *ἐν τούτοις* vel *καὶ ἐν τούτοις* ex antecedentibus a librariis insertum esse videtur. Ceterum verba Hospiti tribuenda sunt, non Seni, ut vulgo fit, cum *νὴ Δία* formula semper responsum alterutrius indicet. cf. 14, 2. 16, 5. 26, 2. 39. 2 ubi sine *ἔφην* vel *ἔφη* responsum incipit, 28, 1 ubi *ἔφη* insertum quidem est, sed non eodem loco in omnibus codd. man. — *μετ' αὐτῆς γε* M. Pac. V.: *μετ' αὐτῶν γε* Pbd. — *τὴν τούτων καθαρτικὴν δύναμιν* Pbcd. V. O.: *τὰς τούτων καθαρτικὰς δυνάμεις* M. Pa. cf. 19, 1. 19, 4. 22, 1. — *εἶθ' ὅταν καθαρθῶσι* M. Pac.: haec tria vocabula desunt in Pbd. V. O., qui idcirco dein *τότε γὰρ ἂν οὕτως* habent, ubi *γάρ* ignorant ceteri. cf. 19, 1.

XV. *παιδείαν; ἔφην* Pa.: *παιδείαν* ceteri. — *ὁρᾷς, ἔφη, ἄνω* M. Pbcd. V.: *ὁρᾷς ἄνω, ἔφη* Pa. — *οὐδείς* M. Pc. V.: *οὐθείς* Pabd. 2. *ὀλίγοι πάνυ* M. Pa.: *πάνυ ὀλίγοι* Pbcd. V.

πάνυ πορεύονται, ὥσπερ δυσανόδου τινὸς καὶ τραχείας καὶ πετρώδους εἶναι δοκούσης;

Ξ. *Καὶ μάλα, ἔφην.*

3 *Π. Οὐκοῦν καὶ βουνός τις ὑψηλὸς δοκεῖ εἶναι, καὶ ἀνάβασις στενὴ πάνυ, καὶ κρημνοὺς ἔχουσα ἔνθεν καὶ ἔνθεν βαθεῖς;*

Ξ. *Ὁρῶ.*

Π. Αὕτη τοίνυν ἐστὶν ἡ ὁδὸς, ἔφη, ἡ ἄγουσα πρὸς τὴν ἀληθινὴν Παιδείαν.

4 Ξ. *Καὶ μάλα γε χαλεπὴ προςιδεῖν.*

Π. Οὐκοῦν καὶ ἄνω γ' ἐπὶ τοῦ βουνοῦ ὁρᾷς πέτραν τινὰ μεγάλην, καὶ ὑψηλὴν, καὶ κύκλῳ ἀπόκρημνον;

Ξ. *Ὁρῶ, ἔφην.*

XVI. *Π. Ὁρᾷς οὖν καὶ γυναῖκας δύο ἑστηκυίας ἐπὶ τῆς πέτρας, λιπαρὰς καὶ εὐεκτούσας τῷ σώματι, ὡς ἐκτετάκασι τὰς χεῖρας προθύμως;*

Ξ. *Ὁρῶ· ἀλλὰ τίνες καλοῦνται, ἔφην, αὗται;*

2 *Π. Ἡ μὲν, Ἐγκράτεια καλεῖται· ἔφη· ἡ δὲ, Καρτερία· εἰσὶ δὲ ἀδελφαί.*

Ξ. *Τί οὖν τὰς χεῖρας ἐκτετάκασιν οὕτω προθύμως;*

3 *Π. Παρακαλοῦσιν, ἔφη, τοὺς παραγιγνομένους ἐπὶ τὸν τόπον, θαῤῥεῖν, καὶ μὴ ἀποδειλιᾶν, λέγουσαι, ὅτι βραχὺ ἔτι δεῖ καρτερῆσαι αὐτοὺς, εἶτα ἥξουσιν εἰς ὁδὸν καλήν.*

— *ὥσπερ δυσανόδου τινός* Pbcd. V. O.: *ὥσπερ ἀνοδίας τινός* M. *ὥσπερ δἰ ἀνοδίας τινός* Pa. — 3. *ἔνθεν καὶ ἔνθεν* M. P.: *ἔνθεν κἀκεῖθεν* V. 4. *ἄνω γ' ἐπί*] *ἄνω γε ἐπί* Pbd. *ἄνω ἐπί* M. Pa. *ἄνω γε περί* Pc. V. O. — *πέτραν τινά* Pa.: *πέτραν* ceteri. — *καὶ κύκλῳ* M. Pa.: *κύκλῳ* Pbcd.

XVI. *ἐπὶ τῆς πέτρας* V.: *ἐπὶ τῇ πέτρᾳ* M. Pa. *ἐπὶ τὴν πέτραν* Pcd. cf. 7, 1. 7, 3. 8, 1. 18, 1. 18, 3. 30, 3. 21, 3. 5, 1. 15, 4. — *εὐεκτούσας* P. V.: *εὐτάκτους* M. — *ὡς* M. Pa.: *καὶ ὡς* Pbcd. V. 2. *οὕτω προθύμως* M. Pbcd. V.: *προθύμως*

Ξ. Ὅταν οὖν παραγένωνται ἐπὶ τὴν πέτραν, πῶς 4
ἀναβαίνουσιν; ὁρῶ γὰρ ὁδὸν φέρουσαν οὐδεμίαν ἐπ' αὐτήν.

Π. Αὗται ἀπὸ τοῦ κρημνοῦ προςκαταβαίνουσι, καὶ ἕλκουσιν αὐτοὺς ἄνω πρὸς αὐτάς. εἶτα κελεύουσιν αὐτοὺς διαναπαύσασθαι. καὶ μετὰ μικρὸν διδόασιν 5
ἰσχὺν καὶ θάρσος, καὶ ἐπαγγέλλονται αὐτοὺς καταστήσειν πρὸς τὴν ἀληθινὴν Παιδείαν· καὶ δεικνύουσιν αὐτοῖς τὴν ὁδὸν, ὡς ἔστι καλή τε, καὶ ὁμαλὴ, καὶ εὐπόρητος καὶ καθαρὰ παντὸς κακοῦ, ὥσπερ ὁρᾷς.

Ξ. Ἐμφαίνεται, νὴ Δία.

XVII. Ὁρᾷς οὖν, ἔφη, ἔμπροσθεν τοῦ ἄλσους ἐκείνου καὶ τόπον τινά, ὃς δοκεῖ καλός τε εἶναι, καὶ λειμωνοειδὴς, καὶ φωτὶ πολλῷ καταλαμπόμενος;

Ξ. Καὶ μάλα.

Π. Κατανοεῖς οὖν ἐν μέσῳ τῷ λειμῶνι περίβο- 2
λον ἕτερον, καὶ πύλην ἑτέραν;

Ξ. Ἔστιν οὕτως. Ἀλλὰ τίς καλεῖται ὁ τόπο οὗτος;

Π. Εὐδαιμόνων οἰκητήριον, ἔφη· ὧδε γὰρ δια- 3
τρίβουσιν αἱ Ἀρεταὶ πᾶσαι, καὶ ἡ Εὐδαιμονία.

Ξ. Εἶεν, ἔφην ἐγὼ, ὡς καλὸν λέγεις τὸν τόπον εἶναι.

XVIII. Π. Οὐκοῦν παρὰ τὴν πύλην ὁρᾷς, ἔφη,

οὕτως Pa. 4. ἐπ' αὐτήν Pbcd. V.: ἐπ' αὐτάς M. Pa. „quod si placet, continuo dein pro αὗται legam αὐταί“ Schweigh. — πρὸς ἑαυτάς Pbcd. V.: πρὸς αὐτάς M. Pa. 5. καταστήσειν M. Pa.: καταστῆσαι Pbcd. V. — ἐμφαίνεται] cdd. man. ἐμφαίνει hoc loco, 18, 2 et 21, 3. Sed cum impersonaliter usurpatum ἐμφαίνει nusquam inveniatur, non dubium est, quin vel compendio vel errore pro ἐμφαίνεται scriptum sit.

XVII. ἐκείνου καὶ τόπον M.: ἐκείνου τόπον P. V. O. — οὖν ἐν P. M. O.: οὖν καὶ ἐν V. — ἐν μέσῳ τῷ λειμῶνι M. Pa.: ἐν μέσῳ τοῦ λειμῶνος Pbcd. V. O.

ὅτι γυνή τις ἐστὶ, καλὴ καὶ καθεστηκυῖα τὸ πρόσωπον, μέση δὲ καὶ κεκριμένη ἤδη τῇ ἡλικίᾳ, στολὴν δ' ἔχουσα ἁπλῆν τε καὶ ἀκαλλώπιστον; ἕστηκε δὲ οὐκ ἐπὶ στρογγύλου λίθου, ἀλλ' ἐπὶ τετραγώνου,
2 ἀσφαλῶς κειμένου. καὶ μετὰ ταύτης ἄλλαι δύο εἰσὶ, θυγατέρες τινὲς δοκοῦσαι εἶναι.

Ξ. Ἐμφαίνεται οὕτως ἔχειν.

Π. Τούτων τοίνυν ἡ μὲν ἐν τῷ μέσῳ, Παιδεία ἐστίν· ἡ δὲ, Ἀλήθεια· ἡ δὲ, Πειθώ.

3 Ξ. Τί δὲ ἕστηκεν ἐπὶ λίθου τετραγώνου αὕτη;

Π. Σημεῖον, ἔφη, ὅτι ἀσφαλής τε καὶ βεβαία ἡ πρὸς αὐτὴν ὁδός ἐστι τοῖς ἀφικνουμένοις, καὶ τῶν διδομένων ἀσφαλὴς ἡ δόσις τοῖς λαμβάνουσι.

4 Ξ. Καὶ τίνα ἐστὶν, ἃ δίδωσιν αὕτη;

Π. Θάρσος, καὶ ἀφοβία, φη ἐκεῖνος.

Ξ. Ταῦτα δὲ τίνα ἐστίνἕ;

Π. Ἐπιστήμη, ἔφη, τοῦ μηδὲν ἄν ποτε δεινὸν παθεῖν ἐν τῷ βίῳ.

XIX. Ξ. Ὦ Ἡράκλεις, ὡς καλὰ, ἔφην, τὰ δῶρα. Ἀλλὰ τίνος ἕνεκεν οὕτως ἔξω τοῦ περιβόλου ἕστηκεν;

Π. Ὅπως τοὺς παραγενομένους, ἔφη, θεραπεύῃ

XVIII. *μέση καὶ κεκριμένη ἤδη τῇ ἡλικίᾳ*] Wolfius in notis: *κ. ἡ.* intelligo *τὴν ἐπὶ τὸ γῆρας μᾶλλον νεύουσαν*. etsi fortasse legendum *κεκλιμένη*, ut alludat ad Platonicum illud: Beatum esse, cui vel in senectute contigerit veras habere de rebus opiniones. — *ἀκαλλώπιστον* conj. Wolfius pro *καλλωπισμόν*, quod omnes codd. man. habent excepto Pb., in quo a secunda manu in *ἀκαλλώπιστον* mutatum est. cf. 20, 2. 2. *μετὰ ταύτης* P. V.: *μετ' αὐτῆς* M. — *δοκοῦσαι* Pabd.: *δοκοῦσιν* M. Pc. V. — *ἐμφαίνεται*] cf. ad 16, 5. 4. *ἀφοβία* M. Pcd. Pb. a sec. manu. V.: *ἀφοβίαν* Pa. Pb. ex prima scriptura.

XIX. *ὦ Ἡράκλεις* M.: *Ἡράκλεις* P. V. — *οὕτως ἔξω τοῦ π. ἕστηκεν* M. Pa.: *ἔξω τοῦ π. ἕστηκεν οὕτως* Pbcd. V. — *παραγενομένους* Pbcd. V.: *παραγενομένους* M. Pa. *αὐτοὺς εἰσάγει*

καὶ ποτίζῃ τὴν καθαρτικὴν δύναμιν. εἶθ', ὅταν κα-
θαρθῶσιν, οὕτως αὐτοὺς εἰςάγει πρὸς τὰς Ἀρετάς.
Ξ. Πῶς τοῦτο; ἔφην ἐγώ. οὐ γὰρ συνίημι. 2
Π. Ἀλλὰ συνήσεις, ἔφη. ὡς ἄν, εἴ τις φιλοτίμως
κάμνων ἐτύγχανε, πρὸς ἰατρὸν ἂν δήπου γενόμενος,
πρότερον καθαρτικοῖς ἐξέβαλε τὰ νοσοποιοῦντα· εἶτα
οὕτως ἂν αὐτὸν ὁ ἰατρὸς εἰς ἀνάληψιν καὶ ὑγίειαν
κατέστησεν· — εἰ δὲ μὴ ἐπείθετο οἷς ἐπέταττεν, 3
εὐλόγως ἂν δήπου ἀπωσθεὶς ἐξώλετο ὑπὸ τῆς
νόσου. —
Ξ. Ταῦτα μὲν συνίημι, ἔφην ἐγώ.
Π. Τὸν αὐτὸν δὴ τρόπον, ἔφη, καὶ πρὸς τὴν 4
Παιδείαν ὅταν τις παραγίγνηται, θεραπεύει αὐτὸν
καὶ ποτίζει τὴν ἑαυτῆς δύναμιν, ὅπως ἐκκαθάρῃ πρῶ-
τον καὶ ἐκβάλῃ τὰ κακά, ὅσα ἔχων ἦλθε.
Ξ. Ποῖα ταῦτα;
Π. Τὴν ἄγνοιαν καὶ τὸν πλάνον, ὃν παρὰ τῆς 5
Ἀπάτης ἐπεπώκει, καὶ τὴν ἀλαζονείαν, καὶ τὴν ἐπι-
θυμίαν, καὶ τὴν ἀκρασίαν, καὶ τὸν θυμόν, καὶ τὴν
φιλαργυρίαν, καὶ τὰ λοιπὰ πάντα, ὧν ἀνεπλήσθη ἐν
τῷ πρώτῳ περιβόλῳ.

M. Pb.: *εἰσάγει αὐτούς* Pa. *αὐτοὺς εἰσάγῃ* Pcd. V. 2. *φιλοτίμως* omnes cdd. man. nisi quod M. *φιλότιμος* habet. Wolfius in notis: „durum pro *χαλεπῶς* aut *φιλοπόνως*, sedulo.“ O. vertit: graviter. Photius et Suidas interpretantur: *μεγαλοδώρως*, *ὑπερμέτρως*. cf. Luc. Tim. 10. Pol. 4, 32, 1. Herodian. 5, 3, 9. 4, 2, 17. Corais conj. *φιλόθοινος*, quod ex analogia quidem est, sed non ex usu. Equidem aliquando suspicatus eram *φιλήδονος*. — *δήπου παραγενόμενος* Pc.: *δήπου γενόμενος* Pabd. M. *δήπου γινόμενος* V. *παραγίγνεσθαι* = pervenire novies in pin. invenitur, *γίγνεσθαι* numquam. — *ἐξέβαλε τὰ νοσοποιοῦντα* M. Pa.: *ἐξέβαλε πάντα τὰ νοσοποιοῦντα* Pbcd. V. O. — *αὐτὸν ὁ ἰατρὸς* M. Pc. V.: *αὐτὸς ὁ ἰατρός* Pbd. *ὁ ἰατρὸς αὐτόν* Pa. 4. *τὸν αὐτον δή* M. *τὸν αὐτὸν τοίνυν* P. V. *κατέστησεν* P.: *καθέστησεν* M. *καθέστηκεν* V. Wolfius in ora *κατέστησεν*. 5. *ὃν* Pabd. V.: *ἃ* M. Pc. cf. 25, 2.

XX. Ξ. Ὅταν οὖν καθαρθῇ, ποῖ αὐτὸν ἀποστέλλει;

Π. Ἔνδον, ἔφη, πρὸς τὴν Ἐπιστήμην, καὶ πρὸς τὰς ἄλλας Ἀρετάς.

Ξ. Ποίας ταύτας;

2 Π. Οὐχ ὁρᾷς, ἔφη, ἔσω τῆς πύλης χορὸν γυναικῶν, ὡς εὐειδεῖς δοκοῦσιν εἶναι, καὶ εὔτακτοι, καὶ στολὴν ἀτρύφερον καὶ ἁπλῆν ἔχουσαι· ἔτι τε ὡς ἄπλαστοί εἰσι, καὶ οὐδαμῶς κεκαλλωπισμέναι καθάπερ αἱ ἄλλαι;

3 Ξ. Ὁρῶ, ἔφην· ἀλλὰ τίνες αὗται καλοῦνται;

Π. Ἡ μὲν πρώτη, Ἐπιστήμη, ἔφη, καλεῖται. αἱ δὲ ἄλλαι ταύτης ἀδελφαί, Ἀνδρεία, Δικαιοσύνη, Καλοκἀγαθία, Σωφροσύνη, Εὐταξία, Ἐλευθερία, Ἐγκράτεια, Πρᾳότης.

4 Ξ. Ὦ κάλλιστε, ἔφην ἔγωγε, ὡς ἐν μεγάλῃ ἐλπίδι ἐσμέν.

Π. Ἐὰν συνῆτε, ἔφη, καὶ ἕξιν περιποιήσησθ' ὧν ἀκούετε.

Ξ. Ἀλλὰ προσέξομεν ὡς μάλιστα, ἔφην ἔγωγε.

Π. Τοιγαροῦν, ἔφη, σωθήσεσθε.

XXI. Ξ. Ὅταν οὖν παραλάβωσιν αὐτὸν αὗται, ποῖ ἀπάγουσι;

Π. Πρὸς τὴν μητέρα, ἔφη.

Ξ. Αὕτη δὲ τίς ἐστιν;

Π. Εὐδαιμονία, ἔφη.

XX. 2. ἔχουσαι] ἔχουσιν omnes cdd. m. vid. praef. 4. κάλλιστε omnes cdd. m.: κάλλισται V. — ὡς μάλιστα, ἔφην ἔγωγε V.: ἔφην, ὡς ἐγῷμαι μάλιστα M. ἔφη ὡς ἐγὼ μὴ μάλιστα Pa. ἔφην ἔγωγε μάλιστα Pb. ἔφην ὡς ἔγωγε μάλιστα Pcd. Videtur glossa parum intellecta velut ὡς ἔγωγε δύναμαι in textum irrepsisse.

XXI. ποῖ ἀπάγουσι] ποῦ ἀπάγουσι M. Pbcd. V. ποὺ

Ξ. *Ποία δ' ἐστὶν αὕτη;*

Π. *Ὁρᾷς τὴν ὁδὸν ἐκείνην, τὴν φέρουσαν ἐπὶ* 2
τὸ ὑψηλὸν ἐκεῖνο, ὅ ἐστιν ἀκρόπολις τῶν περιβόλων πάντων;

Ξ. *Ὁρῶ.*

Π. *Οὐκοῦν ἐπὶ τοῦ προπυλαίου γυνὴ [καθεστη-* 3
κυῖα] εὐειδής τις κάθηται ἐπὶ θρόνου ὑψηλοῦ, κεκοσμημένη ἐλευθέρως καὶ ἀπεριέργως, καὶ ἐστεφανωμένη στεφάνῳ εὐανθεῖ πάνυ καὶ ποικίλῳ;

Ξ. *Ἐμφαίνεται οὕτως.*

Π. *Αὕτη τοίνυν ἐστὶν ἡ Εὐδαιμονία, ἔφη.*

XXII. Ξ. *Ὅταν οὖν ὧδέ τις παραγένηται, τί ποιεῖ;*

Π. *Στεφανοῖ αὐτόν, ἔφη, τῇ ἑαυτῆς δυνάμει ἥ τε Εὐδαιμονία, καὶ αἱ ἄλλαι Ἀρεταὶ πᾶσαι, ὥσπερ νενικηκότα τοὺς μεγίστους ἀγῶνας.*

Ξ. *Καὶ ποίους ἀγῶνας νενίκηκεν αὐτός; ἔφην ἐγώ.*

Π. *Τοὺς μεγίστους, ἔφη, καὶ τὰ μέγιστα θηρία,* 2
ἃ πρότερον αὐτὸν κατήσθιε, καὶ ἐκόλαζε, καὶ ἐποίει δοῦλον. ταῦτα πάντα νενίκηκε, καὶ ἀπέῤῥιψεν ἀφ' ἑαυτοῦ, καὶ κεκράτηκεν ἑαυτοῦ, ὥστε ἐκεῖνα νῦν τούτῳ δουλεύουσι, καθάπερ οὗτος ἐκείνοις πρότερον.

XXIII. Ξ. *Ποῖα ταῦτα λέγεις τὰ θηρία; πάνυ γὰρ ἐπιποθῶ ἀκοῦσαι.*

ἄγουσι Pa. 3. *πάνυ καὶ ποικίλῳ* M.: *πάνυ καλῷ* Pa. *πάνυ καλῶς* Pbcd. V. O. — *ἐμφαίνεται οὕτως*] *ἐμφαίνει οὕτως* M. Pa. *ἐμφαίνει οὕτως ἔχειν* Pc. V. *ἐμφαίνει οὕτως εἶναι* Pbd. Pc. in ora.

XXII. *ἥ τε Εὐδαιμονία* Pa. *ἡ Εὐδαιμονία* Pbcd. V. — *νενικηκότα* Pb. a secunda manu: *τοὺς νενικηκότας* ceteri omnes.

XXIII. *ποῖα ταῦτα λέγεις τὰ θηρία;*] *ποῖα ταῦτα λέγεις θηρία* M. Pa. *ποῖα λέγεις ταῦτα τὰ θηρία* Pbcd. V. cf. 2, 2. *τοῦτο δὲ τί ἐστι τὸ ποτόν;* — *ἐπιποθῶ* M. Pacd.: *ἐπιθυμῶ*

Π. Πρῶτον μὲν, ἔφη, τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον. ἢ οὐ δοκεῖ σοι θηρία ταῦτα εἶναι;

Ξ. Καὶ πονηρά γε, ἔφην ἐγώ.

2 Π. Εἶτα τὴν Λύπην, καὶ τὸν Ὀδυρμὸν, καὶ τὴν Ὑπερηφάνειαν, καὶ τὴν Φιλαργυρίαν, καὶ τὴν Ἀκρασίαν, καὶ τὴν λοιπὴν ἅπασαν Κακίαν. πάντων τούτων κρατεῖ, καὶ οὐ κρατεῖται, ὥσπερ τὸ πρότερον.

3 Ξ. Ὢ καλῶν τῶν ἔργων, ἔφην ἐγὼ, καὶ καλῆς τῆς νίκης. Ἀλλ' ἐκεῖνο ἔτι μοι εἰπέ. τίς ἡ δύναμις τοῦ στεφάνου, ᾧ ἔφης στεφανοῦσθαι αὐτόν;

4 Π. Εὐδαιμονικὴ, ὦ νεανίσκε. ὁ γὰρ στεφανωθεὶς ταύτῃ τῇ δυνάμει, εὐδαίμων γίγνεται καὶ μακάριος, καὶ ἔχει οὐκ ἐν ἑτέροις τὰς ἐλπίδας τῆς εὐδαιμονίας, ἀλλ' ἐν αὑτῷ.

XXIV. Ξ. Ὡς καλὸν τὸ νίκημα λέγεις. Ὅταν δὲ στεφανωθῇ, τί ποιεῖ, ἢ ποῖ βαδίζει;

2 Π. Ἄγουσιν αὐτὸν ὑπολαβοῦσαι αἱ Ἀρεταὶ πρὸς τὸν τόπον ἐκεῖνον, ὅθεν ἦλθε πρότερον, καὶ δεικνύουσιν αὐτῷ τοὺς ἐκεῖ διατρίβοντας, ὡς κακῶς καὶ ἀθλίως ζῶσι, καὶ ὡς ναυαγοῦσιν ἐν τῷ βίῳ, καὶ πλανῶνται, καὶ ἄγονται κατακεκρατημένοι, ὥσπερ ὑπὸ πολεμίων, οἱ μὲν ὑπ' Ἀκρασίας, οἱ δὲ ὑπ' Ἀλαζον-

Pb. V. 2. καὶ τὴν Ὑπερηφάνειαν M.: deest in omnibus ceteris. — τὸ πρότερον Pcd. V.: πρότερον M. Pab. in hoc verbo desinit Pa. 3. ὦ καλῶν τῶν ἔργων] ὦ καλῶν ἔργων omnes cdd. m. omisso articulo, qui utique requiritur. cf. 19, 1. — καλῆς τῆς νίκης M.: καλλίστης νίκης Pbd. V. O. καλλίστης τῆς νίκης Pc. — ᾧ ἔφης στεφανοῦσθαι αὐτόν; V.: ᾧ ἔφης στεφανοῦν αὐτόν Pbcd. ὃν ἔφης στεφανοῦν ἑαυτόν M. — καὶ ἔχει οὐκ M.: καὶ οὐκ ἔχει Pbcd. V. — ἐν αὑτῷ] ἐν αὐτῷ M. ἐν ἑαυτῷ Pbcd. M. ἐν αὑτῷ scr. Dübner.

XXIV. πρότερον V.: πρῶτον M. Pbcd. O. cf. 25, 1. ὅθεν ἥκει τὸ πρότερον. 2. τοὺς ἐκεῖ διατρίβοντας, ὡς κακῶς καὶ ἀθλίως ζῶσι V.: τοὺς κακῶς διατρίβοντας, ὡς κακῶς διατρίβουσι καὶ ἀθλίως ζῶσι Pbcd. O. τοὺς κακῶς διατρίβοντας,

εἰας, οἱ δὲ ὑπὸ Φιλαργυρίας, ἕτεροι δὲ ὑπὸ Κενο-
δοξίας, ἕτεροι δὲ ὑφ' ἑτέρων κακῶν. ἐξ ὧν οὐ δύ- 3
νανται ἐκλῦσαι ἑαυτοὺς τῶν δεινῶν, οἷς δέδενται,
ὥστε σωθῆναι, καὶ ἀφικέσθαι ὧδε· ἀλλὰ ταράττονται
διὰ παντὸς τοῦ βίου. τοῦτο δὲ πάσχουσι διὰ τὸ μὴ
δύνασθαι τὴν ἐνθάδε ὁδὸν εὑρεῖν· ἐπελάθοντο γὰρ
τὸ παρὰ τοῦ Δαιμονίου πρόσταγμα.

XXV. Ξ. Ὀρθῶς μοι δοκεῖς λέγειν. ἀλλὰ καὶ
τοῦτο πάλιν ἀπορῶ, διὰ τί δεικνύουσιν αὐτῷ τὸν
τόπον ἐκεῖνον αἱ Ἀρεταί, ὅθεν ἧκει τὸ πρότερον.

Π. Οὐκ ἀκριβῶς ᾔδει, οὐδὲ ἠπίστατο, [ἔφη,] 2
οὐδὲν τῶν ἐκεῖ· ἀλλ' ἐνεδοίαζε, καὶ διὰ τὴν ἄγνοιαν,
καὶ τὸν πλάνον, ὃν δὴ ἐπεπώκει, τὰ μὴ ὄντα ἀγαθὰ
ἐνόμιζεν ἀγαθὰ εἶναι, καὶ τὰ μὴ ὄντα κακὰ κακά.
Διὸ καὶ ἔζη κακῶς, ὥσπερ οἱ ἄλλοι οἱ ἐκεῖ διατρί- 3
βοντες. νῦν δὲ ἀνειληφὼς τὴν ἐπιστήμην τῶν συμ-
φερόντων, αὐτός τε καλῶς ζῇ, καὶ τούτους θεωρεῖ
ὡς κακῶς πράττουσιν.

XXVI. Ξ. Ἐπειδὰν οὖν θεωρήσῃ πάντα, τί
ποιεῖ, ἢ ποῖ ἔτι βαδίζει;

Π. Ὅποι ἂν βούληται, ἔφη· πανταχοῦ γάρ ἐστιν
αὐτῷ ἀσφάλεια, ὥσπερ τῷ τὸ Κωρύκιον ἄντρον
ἔχοντι. καὶ πανταχοῦ, οἷ ἂν ἀφίκηται, πάντα καλῶς

ὡς εἰκῆ διατρίβουσι καὶ ἀθλίως ζῶσι M. — ἕτεροι δὲ ὑφ' ἑτέρων M.: οἱ δὲ ὑφ' ἑτέρων Pbcd. V.

XXV. 2. ᾔδει Pbcd. V.: ἤδη M. — ἠπίστατο ἔφη Pbc. V.: ἠπίστατο M. Pd. 3. οἱ ἐκεῖ Pcd. V. M.: ἐκεῖ Pb. — ἀνειληφώς M.: ἀπειληφώς Pbcd. V. — πράττουσι] πράσσουσι omnes cdd. m. cf. 5, 2.

XXVI. ποῖ ἔτι Pbd.: ποῦ ἔτι M. ποῖ Pc. V. — τῷ τό M. Pc. τὸ τό Pd. τό Pb. V. — Κωρύκιον Pc. V.: κύριον M. Κωρύκειον Pbd. cf. Pomp. Mel. 1, 13, 3. Pausan. in Phoc. X, 6. Strab. IX, 3. — οἷ ἂν] οὗ ἂν M. Pbcd. V. ὅπου ἂν Pd. nescio annon ὅποι ἂν scribendum sit. cf. quod modo antecessit ὅποι ἂν βούληται. — πάντα καλῶς M. Pc. V.:

βιώσεται μετὰ πάσης ἀσφαλείας. ὑποδέξονται γὰρ αὐτὸν ἀσμένως πάντες, καθάπερ τὸν ἰατρὸν οἱ κάμμοντες.

2 Ξ. Πότερον οὖν κἀκείνας τὰς γυναῖκας, ἃς ἔφης θηρία εἶναι, οὐκέτι φοβεῖται, μή τι πάθῃ ὑπ᾽ αὐτῶν;

Π, Νὴ Δία, οὐδέν. οὐ μὴ διοχληθήσεται, οὔτε ὑπὸ Ὀδύνης, οὔτε ὑπὸ Λύπης, οὔτε ὑπ᾽ Ἀκρασίας,
3 οὔτε ὑπὸ Φιλαργυρίας, οὔτε ὑπὸ Πενίας, οὔτε ὑπ᾽ ἄλλου κακοῦ οὐδενός. ἁπάντων γὰρ κυριεύει, καὶ ἐπάνω πάντων ἐστὶ τῶν πρότερον αὐτὸν λυπούντων, καθάπερ οἱ ὀφιογενεῖς. τὰ γὰρ θηρία δήπου, τὰ πάντας τοὺς ἄλλους κακοποιοῦντα μέχρι θανάτου, ἐκείνους οὐ λυπεῖ, διὰ τὸ ἔχειν ἀντιφάρμακον αὐτούς. οὕτω καὶ τοῦτον οὐκέτι οὐδὲν λυπεῖ, διὰ τὸ ἔχειν τὸ ἀντιφάρμακον.

XXVII. Ξ. Καλῶς ἐμοὶ δοκεῖς λέγειν. Ἀλλ᾽ ἔτι τοῦτό μοι εἰπέ· τίνες εἰσὶν οὗτοι οἱ δοκοῦντες, ἐκεῖθεν ἀπὸ τοῦ βουνοῦ παραγίγνεσθαι; καὶ οἱ μὲν αὐτῶν, ἐστεφανωμένοι, ἔμφασιν ποιοῦσιν εὐφροσύνης τινός· οἱ δὲ, ἀστεφάνωτοι, λύπης καὶ ταραχῆς· καὶ
2 τὰς κνήμας καὶ τὰς κεφαλὰς δοκοῦσι τετρῖφθαι, κατέχονται δὲ ὑπὸ γυναικῶν τινων.

Π. Οἱ μὲν ἐστεφανωμένοι, οἱ σεσωσμένοι εἰσὶ πρὸς τὴν Παιδείαν, καὶ εὐφραίνονται, τετυχηκότες
3 αὐτῆς. οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν, ἀπεγνωσμένοι

πάντως καλῶς Pbd. — τὸν ἰατρὸν Pbcd. V. τῶν ἰατρῶν M. — οἱ κάμνοντες M.: οἱ πάσχοντες Pbcd. V. 2. οὐκέτι M.: οὐκ ἔτι Pbcd. V. — νὴ Δία conj. Schweigh. e διό, quod M. habet. 3. οὕτω] conj. Schweigh. cdd. m. omnes τοῦτο cf. var. lect. ad 37, 1.

XXVII. οἱ μὲν αὐτῶν M. Pc. V.: οἱ μὲν Pbd. — λύπης καὶ ταραχῆς M.: οἱ μὲν ἀπεγνωσμένοι Pbcd. V. cf. 27, 3. οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν ἀπεγνωσμένοι. — κατέχονται δὲ ὑπὸ M. V.: κατέχονται δὲ καὶ ὑπό Pbcd.

ὑπὸ τῆς Παιδείας, ἀνακάμπτουσι, κακῶς καὶ ἀθλίως διακείμενοι· οἱ δὲ ἀποδεδειλιακότες, καὶ ἀναβεβηκότες πρὸς τὴν Καρτερίαν, πάλιν ἀνακάμπτουσι, καὶ πλανῶνται ἀνοδίᾳ.

Ξ. Αἱ δὲ γυναῖκες, αἱ μετ' αὐτῶν ἀκολουθοῦσαι, 4
τίνες εἰσὶν αὗται;

Π. Λῦπαι, ἔφη, καὶ Ὀδύναι, καὶ Ἀθυμίαι, καὶ Ἀδοξίαι, καὶ Ἄγνοιαι.

XXVIII. *Ξ. Πάντα κακὰ λέγεις αὐτοῖς ἀκολουθεῖν.*

Π. Νὴ Δία, πάντα, ἔφη, καὶ ἐπακολουθοῦσιν.
Οὗτοι δὲ, ὅταν παραγένωνται εἰς τὸν πρῶτον περίβολον πρὸς τὴν Ἡδυπάθειαν καὶ τὴν Ἀκρασίαν,
οὐχ ἑαυτοὺς αἰτιῶνται, ἀλλ' εὐθὺς κακῶς λέγουσι 2
καὶ τὴν Παιδείαν, καὶ τοὺς ἐκεῖσε βαδίζοντας, ὡς ταλαίπωροι καὶ ἄθλιοί εἰσι καὶ κακοδαίμονες, οἳ τὸν βίον τὸν παρ' αὐταῖς καταλιπόντες κακῶς ζῶσι, καὶ οὐκ ἀπολαύουσι τῶν παρ' αὐταῖς ἀγαθῶν.

Ξ. Ποῖα δὲ λέγουσιν ἀγαθὰ εἶναι; 3

Π. Τὴν ἀσωτίαν, καὶ τὴν ἀκρασίαν, ὡς εἴποι ἂν τις ἐπὶ κεφαλαίου. τὸ γὰρ εὐωχεῖσθαι βοσκημάτων τρόπῳ καὶ ἀπολαύειν μέγιστα ἀγαθὰ ἡγοῦνται εἶναι.

XXVIII. *πάντα κακά* M. Pbd. V.: *πάντα τὰ κακά* Pc. — *καὶ ἐπακολουθοῦσιν* M.: *ἐπακολουθοῦσιν* Pbcd. *ἀκολουθοῦσιν* V. 2. *οὐχ ἑαυτούς* M. Pbd.: *οὐχὶ αὐτούς* Pc. V. Wolfius in ora: *οὐχ ἑαυτούς*. — *παρ' αὐταῖς* hic et in lin. subsequ. invitis codicibus man., qui omnes habent *παρ' αὐτοῖς*, scripsi consentiente Odaxio, vertente: qui ab earum contubernio defecerunt. — *καταλιπόντες* M. Pd.: *ἀπολιπόντες* Pbc. V. 3. *ποῖα δὲ λέγουσιν* Pbcd. V.: *ποῖα γὰρ λέγουσιν* M. „et quae etiam Bona autumant?“ O. Dübner. conj. *ποῖα δὲ καὶ λέγουσιν*. equidem malim scr. *ποῖα γ' ἄρα λέγουσιν;* — *βοσκημάτων τρόπῳ καὶ ἀπολαύειν μέγιστα ἀγαθά* M. *βοσκημάτων τρόπον ἀπόλαυσιν μεγίστων ἀγαθῶν* Pbcd. V. „Convivari enim et pecudum more scortari maximorum bonorum fruitionem arbitrantur. O.

2 XXIX. Ξ. Αἱ δὲ ἐκεῖθεν παραγιγνόμεναι ἕτεραι γυναῖκες, ἱλαραί τε καὶ γελῶσαι, τίνες καλοῦνται;

Π. Δόξαι, ἔφη· καὶ ἀγαγοῦσαι πρὸς τὴν Παιδείαν τοὺς εἰςελθόντας πρὸς τὰς Ἀρετὰς, ἀνακάμπτουσιν, ὅπως ἑτέρους ἀγάγωσι, καὶ ἀναγγείλωσιν, ὅτι εὐδαίμονες ἤδη γεγόνασιν οὓς τότε ἀπήγαγον.

3 Ξ. Πότερον οὖν, ἔφην ἐγὼ, αὗται εἴσω πρὸς τὰς Ἀρετὰς εἰςπορεύονται;

Π. [Ἔφη, Οὔ.] οὐ γὰρ θέμις Δόξαν εἰςπορεύεσθαι πρὸς τὴν Ἐπιστήμην, ἀλλὰ τῇ Παιδείᾳ παραδι-
4 δόασιν αὐτούς. εἶτα, ὅταν ἡ Παιδεία παραλάβῃ, ἀνακάμπτουσιν αὗται πάλιν, ἄλλους ἄξουσαι· ὥσπερ αἱ νῆες, τὰ φορτία ἐξελόμεναι, πάλιν ἀνακάμπτουσιν, καὶ ἄλλων τινῶν γεμίζονται.

XXX. Ξ. Ταῦτα μὲν δὴ καλῶς μοι δοκεῖς, ἔφην, ἐξηγῆσθαι. Ἀλλ᾽ ἐκεῖνο οὐδέπω ἡμῖν δεδήλωκας, τί προςτάττει τὸ Δαιμόνιον τοῖς εἰςπορευομένοις εἰς τὸν βίον ποιεῖν.

2 Π. Θαῤῥεῖν, ἔφη. διὸ καὶ ὑμεῖς θαῤῥεῖτε· πάντα γὰρ ὑμῖν ἐξηγήσομαι, καὶ οὐδὲν ἀποκρύψω.

Ξ. Καλῶς λέγεις, ἔφην ἐγώ.

3 Π. Ἐκτείνας οὖν τὴν χεῖρα πάλιν, Ὁρᾶτε, ἔφη, τὴν γυναῖκα ἐκείνην, ἣ δοκεῖ τυφλή τις εἶναι, καὶ ἐπὶ λίθου στρογγύλου ἑστάναι, ἣν καὶ ἄρτι ὑμῖν εἶπον ὅτι Τύχη καλεῖται;

Ξ. Ὁρῶμεν.

XXXI. Π. Ταύτῃ κελεύει, ἔφη, μὴ πιστεύειν,

XXIX. παραγιγνόμενοι Pbcd. V. O.: παραγενόμενοι M. cf. 27, 1. 4. — τίνες καλοῦνται M. Pcd. V. O.: τίνες αὗται καλοῦνται Pb.

XXX. 2. ὑμῖν ἐξηγήσομαι M.: ἐξηγήσομαι Pbcd. V. O. — ἀποκρύψω M.: παραλείψω Pbcd. V.

*καὶ βέβαιον μηδὲν πιστεύειν, μηδὲ ἀσφαλὲς ἔχειν, ὅ τι ἂν παρ' αὐτῆς λάβῃ τις, μηδὲ ὡς ἴδια ἡγεῖσθαι.
οὐδὲν γὰρ κωλύει, ταῦτα πάλιν ἀφελέσθαι, καὶ ἑτέ- 2
ρῳ δοῦναι· πολλάκις γὰρ τοῦτο εἴωθε ποιεῖν. καὶ διὰ ταύτην οὖν τὴν αἰτίαν κελεύει πρὸς τὰς παρ' αὐτῆς δόσεις ἀηττήτους γίγνεσθαι, καὶ μήτε χαίρειν ὅταν διδῷ, μήτε ἀθυμεῖν ὅταν ἀφέληται, καὶ μήτε
ψέγειν αὐτήν, μήτε ἐπαινεῖν. οὐδὲν γὰρ ποιεῖ μετὰ 3
λογισμοῦ, ἀλλ' εἰκῇ, καὶ ὡς ἔτυχε, πάντα, ὥσπερ πρότερον ὑμῖν ἔλεξα. διὰ τοῦτο οὖν τὸ Δαιμόνιον κελεύει μὴ θαυμάζειν, ὅ τι ἂν πράττῃ αὕτη, μηδὲ
γίγνεσθαι ὁμοίους τοῖς κακοῖς τραπεζίταις. καὶ γὰρ 4
ἐκεῖνοι, ὅταν μὲν λάβωσι τὸ ἀργύριον παρὰ τῶν ἀνθρώπων, χαίρουσι, καὶ ἴδιον νομίζουσιν εἶναι. ὅταν δὲ ἀπαιτῶνται, ἀγανακτοῦσι, καὶ δεινὰ οἴονται πεπονθέναι· οὐ μνημονεύοντες, ὅτι ἐπὶ τούτῳ ἔλαβον τὰ θέματα, ἐφ' ᾧ οὐδὲν κωλύειν τὸν θέμενον πάλιν
κομίσασθαι. ὡσαύτως τοίνυν κελεύει ἔχειν τὸ Δαι- 5
μόνιον καὶ πρὸς τὴν παρ' αὐτῆς δόσιν· καὶ μνημονεύειν, ὅτι τοιαύτην ἔχει φύσιν ἡ Τύχη, ὥστε, ἃ δέ-*

XXXI. *καὶ βέβαιον μηδὲν πιστεύειν μηδὲ ἀσφαλὲς ἔχειν* M. Pc. V.: *καὶ βέβαιον μηδὲν νομίζειν μηδὲ ἀσφαλὲς ἔχειν* Pbd. huic, inquit, imperat non esse credendum, nec quicquam aut stabile aut securum aut proprium existimandum — O. Pbd. manum correctoris prodere videntur. — *λάβῃ τις* M. V.: *λάβῃ* Pbc. *λάβοι* Pd. — 2. *δοῦναι* Pbd.: *διδόναι* M. Pc. V. — *ταύτην οὖν τήν* M. Pc. V.: *ταύτην τήν* Pbd. — *τὰς παρ' αὐτῆς* M. Pbd.: *τὰς ἑαυτῆς* Pc. V. Wolfius in ora *αὐτῆς*. — *ἀηττήτους* Wolfius conj.: *ἥττους* Pc. V. *ἴσους* Pbd. quod glossae debetur. *ἥττω* M. post *γίγνεσθαι* in Pb. alia glossa irrepsit: *οἷόν πως ἴσως γίγνεσθαι*. cf. Epict. dissert. 1, 18, 21. *τίς οὖν ὁ ἀήττητος; ὃν οὐκ ἐξίστησιν οὐδὲν τῶν ἀπροαιρέτων.* 3. *πραττῃ* Pc. V.: *πράττοι* M. Pbd. 4. *κωλύειν* V.: *κωλύει* M. Pbcd. infinitivum ratio gram. utique postulat; v. Krüger 55, 3, 6. 5. *κελεύει ἔχειν* M. Pc. V. O.: *κελεύειν, ἔφη* Pbd. — *καὶ μνημονεύειν* M. Pc. V. O.: *μνη-*

δωκεν, ἀφελέσθαι, καὶ ταχέως πάλιν δοῦναι πολλαπλάσια, αὖθις δὲ ἀφελέσθαι ἃ δέδωκεν· οὐ μόνον δὲ,
6 *ἀλλὰ καὶ τὰ προϋπάρχοντα. ἃ γοῦν δίδωσι, κελεύει λαβεῖν παρ' αὐτῆς, καὶ συντόμως ἀπελθεῖν ἔχοντας πρὸς τὴν βεβαίαν καὶ ἀσφαλῆ δόσιν.*

XXXII. Ξ. *Ποίαν ταύτην; ἔφην ἐγώ.*

Π. Ἣν λήψονται παρὰ τῆς Παιδείας, ἣν διασωθῶσιν ἐκεῖ.

Ξ. *Αὕτη οὖν τίς ἐστιν;*

2 *Π. Ἡ ἀληθὴς Ἐπιστήμη [ἔφη,] τῶν συμφερόντων, καὶ ἀσφαλὴς δόσις, καὶ βεβαία, καὶ ἀμετάβλη-*
3 *τος. φεύγειν οὖν κελεύει συντόμως πρὸς ταύτην· καὶ ὅταν ἔλθωσι πρὸς τὰς γυναῖκας ἐκείνας, ἃς καὶ πρότερον εἶπον ὅτι Ἀκρασία καὶ Ἡδυπάθεια καλοῦνται, καὶ ἐντεῦθεν κελεύει συντόμως ἀπαλλάττεσθαι, [καὶ μὴ πιστεύειν μηδὲ ταύταις μηδέν] ἕως ἂν πρὸς*
4 *τὴν Ψευδοπαιδείαν ἀφίκωνται. κελεύει οὖν αὐτοὺς χρόνον τινὰ ἐνδιατρῖψαι, καὶ λαβεῖν ὅ τι ἂν βούλωνται παρ' αὐτῆς, ὥσπερ ἐφόδιον· εἶτα ἐντεῦθεν ἀπιέ-*
5 *ναι πρὸς τὴν ἀληθινὴν Παιδείαν συντόμως. Ταῦτ' ἐστὶν, ἃ προςτάττει τὸ Δαιμόνιον. Ὅστις τοίνυν παρ' αὐτά τι ποιεῖ, ἢ παρακούει, ἀπόλλυται κακὸς κακῶς.*

μονεύειν Pbd. — *αὖθις δὲ ἀφελέσθαι* M. Pbd.: *αὖθις δὲ μόνον ἀφελέσθαι* Pc. V. Wolfius in notis: *αὖθις δὲ ἀφελέσθαι. τὸ μόνον* redundat. 6. *δίδωσι* Pbd.: *διδῷ* M. Pc. V. cf. 8, 3. 8, 14. — *λαβεῖν κελεύει* Pbd.: *κελεύει λαμβάνειν* Pc. V. *κελεύειν λαμβάνει* M. cf. 31, 5. 32, 4. 33, 2. 33, 4. — *ἔχοντας* M. Pc.: *ἔχοντα* V. aut *ἔχοντας*, aut *ἔχοντα* in cd. U. O. invenit. *βλέποντας* Pbd.

XXXII. 2. *ἔφη, τῶν συμφερόντων* M. Pc. V.: *τῶν συμφερόντων, ἔφη* Pbd. 4. *κελεύει οὖν αὐτούς*] omnes cdd. man. corrupte *αὐτοῖς* cf. 16, 4. 32, 2. 31, 3. 31, 6. Wolfius conj. *αὐτῇ* sc. *Ψευδοπαιδείᾳ* Gronov. *αὐτόθι*. 5. *προςτάττει*] cdd. man. omnes *προστάσσει*. — *ἀπόλλυται κακὸς κακῶς* Pbc.

XXXIII. *Ὁ μὲν δὴ μῦθος, ὦ ξένοι, ὁ ἐν τῷ πίνακι, τοιοῦτος ἡμῖν ἐστίν. εἰ δὲ δεῖ τι προςπυθέσθαι περὶ ἑκάστου τούτων, οὐδεὶς φθόνος. ἐγὼ γὰρ ὑμῖν φράσω.*

Ξ. Καλῶς λέγεις, ἔφην ἐγώ. Ἀλλὰ τί κελεύει 2
αὐτοὺς τὸ Δαιμόνιον λαβεῖν παρὰ τῆς Ψευδοπαιδείας;

Π. Ταῦθ' ἃ δοκεῖ εὔχρηστα εἶναι.

Ξ. Ταῦτ' οὖν τίνα ἐστί;

Π. Γράμματα, ἔφη, καὶ τῶν ἄλλων μαθημάτων 3
ἃ καὶ Πλάτων φησὶν ὡσανεὶ χαλινοῦ τινος δύναμιν ἔχειν τοῖς νέοις, ἵνα μὴ εἰς ἕτερα περισπῶνται.

Ξ. Πότερον δὲ ἀνάγκη ταῦτα λαβεῖν, εἰ μέλλει 4
τις ἥξειν πρὸς τὴν ἀληθινὴν Παιδείαν, ἢ οὔ;

Π. Ἀνάγκη μὲν οὐδεμία, ἔφη· χρήσιμα μέντοι ἐστί. πρὸς δὲ τὸ βελτίους γενέσθαι οὐδὲν συμβάλλεται ταῦτα.

Ξ. Οὐδὲν ἄρα λέγεις ταῦτα χρήσιμα εἶναι πρὸς 5
τὸ βελτίους γενέσθαι ἄνδρας;

Π. Ἔστι γὰρ καὶ ἄνευ τούτων βελτίους γενέσθαι. ὅμως δὲ οὐκ ἄχρηστα κἀκεῖνά ἐστιν. ὡς γὰρ δι' 6
ἑρμηνέως συμβάλλομεν τὰ λεγόμενά ποτε, ὅμως μέντοι γε οὐκ ἄχρηστον ἦν, ἡμᾶς καὶ αὐτοὺς τὴν φωνήν,

V. O.: *ἀπόλλυται κακῶς* Pd. M. de hac formula admodum trita cf. Luc. dial. mort. 5, 2. Icarom. 33. Piscat. 44. Bis accus. 20. Philoph. 20. de Paras. 57.

XXXIII. 2. *ταῦθ' ἃ* M. Pc. V.: *ταῦτα ἃ* Pbd. 3. *ἃ καὶ Πλάτων — περισπῶνται* cf. Plat. leg. VII p. 808. Klopfer in I. diss. de Cebetis Fabula. Zwiccaviae 1818 p. 13. haec verba interpolatoris manum prodere contendit. 4. *εἰ μέλλει* M. Pbcd.: *εἰ μέλλοι* V. — *χρήσιμα* M. Pc. V. *χρήματα* Pb. sed in *χρήσιμα* mutatum. *χρῆμα* Pd. — Post *μέντοι ἐστί* in Pbd. glossa in textum irrepsit: *πρὸς τὸ συντομώτερον ἐλθεῖν.* — *συμβάλλεται* M. Pc. V.: *συμβάλλει* Pbd. 5. *ἔστι γάρ*] *οὐδέν· ἔστι γάρ* conjecit Meibomius. 6. *ἡμᾶς καὶ αὐτούς* M.: *καὶ ἡμᾶς αὐτούς* Pc. V. *καὶ ἡμᾶς αὐτῶν* Pbd. — *τὴν φωνὴν εἰδέναι. ἀκριβέστερον γὰρ ἄν τι συνήκαμεν* Pbd.: *τὴν φωνὴν*

εἰδέναι· [ἀκριβέστερον γὰρ ἄν τι συνήκαμεν·] οὕτω καὶ ἄνευ τούτων τῶν μαθημάτων οὐδὲν κωλύσει γενέσθαι.

XXXIV. Ξ. Πότερον οὐδὲν προέχουσιν οὗτοι οἱ μαθηματικοὶ πρὸς τὸ βελτίους γενέσθαι τῶν ἄλλων ἀνθρώπων;

2 Π. Πῶς μέλλουσι προέχειν, ἐπειδὰν φαίνωνται ἠπατημένοι περὶ ἀγαθῶν καὶ κακῶν, ὥσπερ καὶ οἱ
3 ἄλλοι, καὶ ἔτι κατεχόμενοι ὑπὸ πάσης κακίας; Οὐδὲν γὰρ κωλύει, εἰδέναι μὲν γράμματα, καὶ κατέχειν τὰ μαθήματα πάντα, ὁμοίως δὲ μέθυσον καὶ ἀκρατῆ εἶναι, καὶ φιλάργυρον, καὶ ἄδικον, καὶ προδότην, καὶ τὸ πέρας ἄφρονα.

4 Ξ. Ἀμέλει πολλοὺς τοιούτους ἐστὶν ἰδεῖν.

Π. Πῶς οὖν οὗτοι προέχουσιν, ἔφη, εἰς τὸ βελτίους ἄνδρας γενέσθαι, ἕνεκα τούτων τῶν μαθημάτων;

XXXV. Ξ. Οὐδαμῶς φαίνεται, ἐκ τούτου τοῦ λόγου. Ἀλλὰ τί ἐστιν, ἔφην ἐγώ, τὸ αἴτιον, ὅτι ἐν τῷ δευτέρῳ περιβόλῳ διατρίβουσιν, ὥσπερ ἐγγίζοντες πρὸς τὴν ἀληθινὴν Παιδείαν;

ἀκριβεστέραν ἔχειν, ἄν τι συνήκαμεν M. Pc. V. „Quemadmodum enim, quae aliquando pronunciantur, per interpretem conjicimus, cum alioquin non inutile sit, si quid percepimus, voce ac lingua disertiore prosequi". O. Wolfius in notis: fortasse κἄν τι. Schweigh. lectionem codd. Pbd. tamquam probabilem recepit. Probabilis est prior pars. verba αν τι συνήκαμεν mutilata glossa esse videntur. Ita fere glossator scribere debuerat; ἀκριβέστερον γὰρ ἄν τι συνίεμεν τὰ λεγόμενά ποτε, sc. εἰ αὐτοὶ τὴν φωνὴν ᾔδειμεν. — κωλύσει M. Pc. V.: κωλύει Pbd. — βελτίους γενέσθαι] βελτίους omnes codd. man. ignorant. O. in cod. U. aut invenit aut recte supplevit. Legitur in vetere ed. Paris. et in Meibom. cf. 33, 4. 33, 5. ubi bis legitur βελτίους γενέσθαι. 34, 1.

XXXIV. πότερον οὐδέν M. Pc. V.: πότερον οὖν οὐδέ Pbd. 3. ὁμοίως] ὅμως?

Π. Καὶ τί τοῦτο ὠφελεῖ αὐτούς, ἔφη, ὅταν πολλάκις ἐστὶν ἰδεῖν παραγιγνομένους ἐκ τοῦ πρώτου περιβόλου ἀπὸ τῆς Ἀκρασίας, καὶ τῆς ἄλλης Κακίας, εἰς τὸν τρίτον περιβόλον, πρὸς τὴν Παιδείαν τὴν ἀληθινήν, οἳ τούτους τοὺς μαθηματικοὺς παραλλάττουσιν; Ὥστε, πῶς ἔτι προέχουσιν; ἄρα ἀκινητότεροι, ἢ δυσμαθέστεροί εἰσι. 2

Ξ. Πῶς, [ἔφην ἐγώ,] τοῦτο; 3

Π. Ὅτι οἱ μὲν ἐν τῷ πρώτῳ περιβόλῳ οὐ προσποιοῦνται ἐπίστασθαι, ἃ οὐκ οἴδασιν, οἱ δ' ἐν τῷ δευτέρῳ περιβόλῳ, εἰ μηδὲν ἄλλο, προσποιοῦνταί γε ἐπίστασθαι, ἃ οὐκ οἴδασιν. ἕως δ' ἂν ἔχωσι ταύτην τὴν δόξαν, ἀκινήτους αὐτοὺς ἀνάγκη εἶναι πρὸς τὸ ὁρμᾶν πρὸς τὴν ἀληθινὴν Παιδείαν. εἶτα, 4
τὸ ἕτερον οὐχ ὁρᾷς, ὅτι καὶ αἱ Δόξαι ἐκ τοῦ πρώτου περιβόλου εἰςπορεύονται πρὸς αὐτοὺς ὁμοίως; Ὥστε οὐδὲν οὗτοι ἐκείνων βελτίους εἰσὶν, ἐὰν μὴ καὶ τούτοις συνῇ ἡ Μεταμέλεια, καὶ πεισθῶσιν, ὅτι οὐ Παιδείαν ἔχουσιν, ἀλλὰ Ψευδοπαιδείαν, δι' ἧς ἀπατῶνται. 5
οὕτω δὲ διακείμενοι, οὐκ ἄν ποτε σωθεῖεν. καὶ ὑμεῖς τοίνυν, ὦ ξένοι, ἔφη, οὕτω ποιεῖτε, καὶ ἐνδιατρίβετε

XXXV. 2. ἄρα ἢ ἀκινητότεροι M. V.: ἄρα εἴ γ' ἀκινητότεροι Pc. ἄρα εἴ γ' εὐκινητότεροι Pd. ἄρα εἰ εὐκινητότεροι Pb. suspicor scrib. esse: ἄρα ἤ γ' ἀκινητότεροι. 3. πῶς ἔφην, ἐγώ, τοῦτο Pcd.: πῶς, ἔφην, τοῦτο, ἐγώ V. de lacuna, quam hic omnes cdd. m. adhuc excussi habent, vid. praef. 4. συνῇ ἡ] articulum, quem omnes cdd. man. ignorant, ex conjectura Schweighäuseri recepi cf. 38, 4. — δι' ἧς conj. Meibom. in notis: δι' ἣν omnes cdd. m. cf. 5, 2. 5. οὕτω ποιεῖτε, καὶ ἐνδιατρίβετε scripsi ex conjectura Wolfii, quae confirmatur testimonio Odaxii: καὶ ὑμεῖς, ὦ ξένοι, ἔφη, ἐὰν οὕτω ποιῆτε καὶ ἐνδιατρίβετε M. Pbcd. quam lectionem Schweigh. in ed. min. recepit. καὶ ὑμεῖς, ὦ ξένοι, ἔφη, ἐὰν μὴ οὕτω π. καὶ ἐνδ. V. Wolfius in notis: ἐὰν μή redundare videtur. „Quocirca vos etiam, inquit, Hospites, ita facite, et quae dicuntur, quoad profeceritis, diligenter attendite.“ O. cf. 3, 4.

τοῖς λεγομένοις, μέχρις ἂν ἕξιν λάβητε. ἀλλὰ περὶ τῶν αὐτῶν πολλάκις δεῖ ἐπισκοπεῖν, καὶ μὴ διαλείπειν· τὰ δὲ ἄλλα πάρεργα ἡγήσασθαι. εἰ δὲ μή, οὐδὲν ὄφελος ἔσται ὑμῖν ὧν νῦν ἀκούετε.

XXXVI. Ξ. Ποιήσομεν. Τοῦτο δὲ ἐξήγησαι, πῶς οὐκ ἔστιν ἀγαθά, ὅσα λαμβάνουσιν οἱ ἄνθρωποι παρὰ τῆς Τύχης; οἷον τὸ ζῆν, τὸ ὑγιαίνειν, τὸ πλουτεῖν, τὸ εὐδοξεῖν, τὸ τέκνα ἔχειν, τὸ νικᾶν, καὶ
2 τὰ λοιπὰ ὅσα τούτοις παραπλήσια; ἢ πάλιν, τὰ ἐναντία πῶς οὐκ ἔστι κακά; πάνυ γὰρ παράδοξον ἡμῖν καὶ ἄπιστον δοκεῖ τὸ λεγόμενον.

Π. Ἄγε τοίνυν, πειρῶ, ἔφη, ἀποκρίνασθαι τὸ φαινόμενον περὶ ὧν ἄν σε ἐρωτῶ.

3 Ξ. Ἀλλὰ ποιήσω τοῦτο, ἔφην ἐγώ.

Π. Πότερον οὖν, κἂν κακῶς τις ζῇ, ἀγαθὸν ἐκείνῳ τὸ ζῆν;

Ξ. Οὔ μοι δοκεῖ, ἀλλὰ κακόν· ἔφην ἐγώ.

Π. Πῶς οὖν ἀγαθόν ἐστι τὸ ζῆν, ἔφη, εἴπερ τούτῳ ἐστὶ κακόν;

4 Ξ. Ὅτι τοῖς μὲν κακῶς ζῶσι, καὶ κακόν μοι δοκεῖ εἶναι· τοῖς δὲ καλῶς, ἀγαθόν.

Π. Καὶ κακὸν ἄρα λέγεις τὸ ζῆν, καὶ ἀγαθὸν εἶναι;

Ξ. Ἔγωγε.

XXXVII. Π. Μὴ οὖν ἀπιθάνως λέγε. ἀδύνατον γάρ, τὸ αὐτὸ πρᾶγμα ἅμα καὶ κακὸν καὶ ἀγαθὸν

— μέχρις ἂν ἕξιν λάβητε] cdd. m.: μέχρις ἂν ἕξιν λαβεῖν. cf. 14, 3. — ἔσται ὑμῖν M. Pc. in ora: ἔσται V. ὑμῖν ἔσται Pbcd.

XXXVI. εὐδοξεῖν M. Pc. V.: εὐδοκιμεῖν Pbd. 2. παράδοξον ἡμῖν Pbd.: ἡμῖν παράδοξον M. Pc. V. 3. κἂν M. Pc. V.: ἐάν Pd. in Pb. septemdecim vocabula, quae sunt inde ab ἔφην ἐγώ usque ad alterum ἔφην ἐγώ desunt. — ἐκείνῳ τὸ ζῆν M. Pcd.: ἐκείνῳ V. 4. καὶ κακόν M. Pc. V.: κακόν Pbd.

XXXVII. πρᾶγμα ἅμα] ἅμα, quod utique exspectamus,

εἶναι. οὕτω μὲν γὰρ καὶ ὠφέλιμον καὶ βλαβερὸν ἂν εἴη, καὶ αἱρετὸν καὶ φευκτὸν ἅμα ἀεί.

Ξ. Ἀπίθανον μέν. ἀλλὰ πῶς οὐκ, εἰ τὸ κακῶς 2
ζῆν, ᾧ ἂν ὑπάρχῃ, κακόν τι ὑπάρχει αὐτῷ, κακὸν αὐτῷ τὸ ζῆν ἐστιν;

Π. Ἀλλ' οὐ τὸ αὐτὸ, ἔφη, ὑπάρχει τὸ ζῆν τῷ κακῶς ζῆν. ἢ οὔ σοι φαίνεται;

Ξ. Ἀμέλει οὐδ' ἐμοὶ δοκεῖ τὸ αὐτὸ εἶναι.

Π. Τὸ κακῶς τοίνυν ζῆν, κακόν ἐστι· τὸ δὲ ζῆν, 3
οὐ κακόν ἐστιν. ἐπεὶ, εἰ ἦν κακὸν, τοῖς ζῶσι καλῶς κακὸν δὴ ὑπῆρχεν, ἐπεὶ τὸ ζῆν αὐτοῖς ὑπῆρχεν, ὅπερ ἐστὶ κακόν.

Ξ. Ἀληθῆ μοι δοκεῖς λέγειν.

XXXVIII. Π. Ἐπεὶ τοίνυν ἀμφοτέροις συμβαίνει τὸ ζῆν, καὶ τοῖς κακῶς ζῶσι, καὶ τοῖς καλῶς, οὐκ ἂν εἴη οὔτε ἀγαθὸν τὸ ζῆν, οὔτε κακόν· ὥσπερ οὐδὲ τὸ τέμνειν καὶ καίειν [ἐν τοῖς ἀῤῥωστοῦσίν]

ex conj. adjeci. cf. 41, 2. 42, 4. — οὕτω M. V.: τοῦτο Pbd. 2. ὑπάρχῃ Pbcd.: ὑπάρχοι M. V. cf. 6,3. 14, 4. 26, 1. 31, 1. 3. 32, 4. 36, 2. — κακὸν αὐτῷ τὸ ζῆν M. Pd.: κακὸν αὐτὸ τὸ ζῆν Pc. V. „ipsum vivere“ O. Sed etiam τὸ ζῆν O. sic vertit, ut dubium sit, quid O. in cod. U. invenerit; nusquam alibi αὐτὸ τὸ ζῆν invenitur. — ὑπάρχει τὸ ζην τῷ κακῶς ζῆν Pc. V.: ὑπάρχει τὸ ζῆν τὸ κακῶς ζῆν M. ὑπάρχει τὸ ζῆν καὶ τὸ κακῶς ζῆν . Pb. τὸ ζῆν καὶ τὸ κακῶς ζῆν ὑπάρχει Pd. 3. τὸ κακῶς τοίνυν ζῆν κακόν ἐστι· τὸ δὲ ζῆν οὐ κακόν ἐστι Pd. nisi quod posterius ἐστι deest. ceterorum alius aliam lacunam habet, quam uncis indicare liceat. τὸ κακῶς τοίνυν ζῆν [. . . ζῆν] οὐ κακόν ἐστιν M. τὸ κακῶς τοίνυν ζῆν κακόν ἐστι [. . . κακόν ἐστιν] Pbc. [. . κακόν ἐστι] τὸ τοίνυν ζῆν οὐ κακόν ἐστιν V. „itaque vivere non malum est.“ O. — ἐπεὶ εἰ ἦν M. Pbd. V.: ἐπεὶ ἦν Pc. — κακὸν, τοῖς ζῶσι καλῶς κακὸν δὴ ὑπῆρχεν Pbd. V. κακὸν, τοῖς ζῶσι κακὸν δὴ ὑπῆρχεν Pc. κακὸν, [. . . κακὸν] δεῖ ὑπάρχειν M.

XXXVIII, οὔτε ἀγαθὸν τὸ ζῆν] omnes cdd. m. οὔτε ἀγαθὸν εἶναι τὸ ζῆν. Wolfius in notis: εἶναι redundare videtur. cf. 37, 1. 41, 3. — ἐν τοῖς ἀρρωστοῦσι tamquam glossam

ἐστι νοσερὸν καὶ ὑγιεινόν· οὐκοῦν οὕτω καὶ ἐπὶ τοῦ ζῆν.

2 Ξ. Ἔστι ταῦτα.

Π. Σὺ τοίνυν οὕτω θεώρησον. πότερον ἂν βούλοιο ζῆν κακῶς, ἢ ἀποθανεῖν καλῶς καὶ ἀνδρείως;

Ξ. Ἀποθανεῖν ἔγωγε καλῶς.

3 Π. Οὐκοῦν οὐδὲ τὸ ἀποθανεῖν κακόν ἐστιν, εἴπερ αἱρετώτερόν ἐστι πολλάκις τὸ ἀποθανεῖν τοῦ ζῆν.

Ξ. Ἔστι ταῦτα.

4 Π. Οὐκοῦν ὁ αὐτὸς λόγος καὶ περὶ τοῦ ὑγιαίνειν, καὶ νοσεῖν. πολλάκις γὰρ οὐ συμφέρει ὑγιαίνειν, ἀλλὰ τοὐναντίον, ὅταν ᾖ ἡ περίστασις τοιαύτη.

Ξ. Ἀληθῆ λέγεις.

XXXIX. Π. Ἄγε δή, σκεψώμεθα καὶ περὶ τοῦ πλουτεῖν οὕτως· εἴγε θεωρεῖν ἐστιν, ὡς πολλάκις ἐστὶν ἰδεῖν, ὑπάρχοντά τινι πλοῦτον, κακῶς δὲ ζῶντα, τοῦτον καὶ ἀθλίως.

Ξ. Νὴ Δία, πολλούς γε.

2 Π. Οὐκοῦν οὐδὲν τούτοις ὁ πλοῦτος βοηθεῖ εἰς τὸ ζῆν καλῶς;

Ξ. Οὐ φαίνεται· αὐτοὶ γὰρ φαῦλοί εἰσιν.

3 Π. Οὐκοῦν τὸ σπουδαίους εἶναι, οὐχ ὁ πλοῦτος ποιεῖ, ἀλλὰ ἡ Παιδεία.

uncis inclusi. Wolfius hic lacunam esse suspicatus est, quam sic supplevit: sicut neque secare et urere. Nam aegrotantibus quidem ea salubria sunt, sanis vero noxia. In Pbd. duo alia additamenta extant, alterum post ὑγιαινόν: ἀλλὰ τὸ πῶς τέμνειν, alterum post ἐπὶ τοῦ ζῆν: οὐκ ἔστι κακὸν αὐτὸ τὸ ζῆν, ἀλλὰ τὸ κακῶς ζῆν. Quae quidem Schweigh. in editionis min. textum recepit. 2. ἀνδρείως M. Pbcd.: ἀνδρίως V. 4. τοὐναντίον M. Pbcd. V.: τοὐναντίον τι Pc. — ὅταν ᾖ ἡ περίστασις τοιαύτη] articulum plane necessarium invitis codd. m. adjeci. ὅταν ᾖ περίστασις τοιαύτη M. Pbd. V. ὅταν ἡ περίστασις τοιαύτη Pc.

XXXIX. ὡς πολλάκις Pb. V.: οὐ πολλάκις M. Pcd. 2. οὐ φαίνεται Pbcd. V.: φαίνεται M. 3. οὐδὲ ὁ πλοῦτος

Ξ. Εἰκός γε, ἐκ τούτου ἄρα τοῦ λόγου.

Π. Οὐδὲ ὁ πλοῦτος ἀγαθόν ἐστιν, εἴπερ οὐ βοηθεῖ τοῖς ἔχουσιν αὐτὸν εἰς τὸ βελτίους εἶναι.

Ξ. Φαίνεται οὕτως.

Π. Οὐδὲ συμφέρει ἄρα ἐνίοις πλουτεῖν, ὅταν μὴ 4
ἐπίστωνται τῷ πλούτῳ χρῆσθαι.

Ξ. Δοκεῖ μοι.

Πῶς οὖν τοῦτο ἄν τις κρινεῖ ἀγαθὸν εἶναι, ὃ πολλάκις οὐ συμφέρει ὑπάρχειν;

Ξ. Οὐδαμῶς. 5

Π. Οὐκοῦν εἰ μέν τις ἐπίσταται πλούτῳ χρῆσθαι καλῶς καὶ ἐμπείρως, εὖ βιώσεται· εἰ δὲ μή, κακῶς.

Ξ. Ἀληθέστατά μοι δοκεῖς τοῦτο λέγειν.

XL. *Π. Καὶ τὸ σύνολον δέ ἐστι· τὸ τιμᾶν ταῦτα ὡς ἀγαθὰ ὄντα, ἢ ἀτιμάζειν ὡς κακά, τοῦτο δ' ἐστι τὸ ταράττον τοὺς ἀνθρώπους καὶ βλάπτον· ὅταν τιμῶσι τ' αὐτὰ καὶ οἴωνται διὰ τούτων μόνων εἶναι τὸ εὐδαιμονεῖν, καὶ πάνθ' ἑπομένως πράττειν ἕνεκα τούτων, καὶ τὰ ἀσεβέστατα δοκοῦντα εἶναι μὴ παραιτῶνται. Ταῦτα δὲ πάσχουσι διὰ τὴν τοῦ ἀγαθοῦ* 2

Pbd.: *ποῦ δὲ ὁ πλοῦτος* M. Pc. *ποῦ ὁ πλοῦτος* V. *φαίνεται οὕτως*] sic scribere placuit consentiente Odaxio, qui vertit: ita prorsus apparet, et concinnitate sermonis hanc structuram commendante. 4. *ὅταν μὴ ἐπίστωνται* conj. Schweigh. *ὅταν μὴ ἐπίστανται* codd. m. — *ἄν τις κρινεῖ* M. Pc. V.: *ἄν τις κρίνοι* Pbd. cf. 14, 4.

XL. *καὶ τὸ συνόλον δέ ἐστιν* M. Pbcd.: *καὶ τὸ συνόλον δέ* V. — *ὅταν τιμῶσι τ' αὐτά*] *ὅταν τιμῶσι τε αὐτά* V. *ὅταν τιμῶνται* M. Pbcd. — *οἴωνται* M. Pbd.: *οἴονται* Pc. V. — *καὶ πάνθ' ἑπομένως* omnes cdd. m.: *καὶ πάνθ' ὑπομένοντες* Hemsterhusius in notis ad nescio quem locum Luciani operum conjecit. — *πράττειν* M. Pbd. M.: *πράττουσιν* Pc. V. — *μὴ παραιτῶνται* Pbd. O.: in M. Pc. V. haec vocabula desunt aperta lacuna, quae fortasse orta est, cum ab *εἶναι* ad *παραιτῶνται* librarii oculi aberrarent. — *διὰ τὴν τοῦ ἀγαθοῦ ἄγνοιαν*]. In his verbis desinit cd. Pc. cum cd. Meib. Reliqua,

ἄγνοιαν. ἀγνοοῦσι γάρ, ὅτι οὐ γίγνεται ἐκ κακῶν
3 ἀγαθόν. πλοῦτον δέ ἐστι πολλοὺς κτησαμένους ἰδεῖν
ἐκ κακῶν καὶ αἰσχρῶν ἔργων, οἷον λέγω ἐκ τοῦ
προδιδόναι, καὶ ληΐζεσθαι, καὶ ἀνδροφονεῖν, καὶ
συκοφαντεῖν, καὶ ἀποστερεῖν, καὶ ἐξ ἄλλων πολλῶν
καὶ μοχθηρῶν.

Ξ. Ἔστι ταῦτα.

XLI. Π. Εἰ τοίνυν γίγνεται ἐκ κακοῦ ἀγαθὸν μηδὲν, ὥσπερ εἰκός, πλοῦτος δὲ γίγνεται ἐκ κακῶν ἔργων, ἀνάγκη μὴ εἶναι ἀγαθὸν τὸν πλοῦτον.

Ξ. Συμβαίνει οὕτως ἐκ τούτου τοῦ λόγου.

2 Π. Ἀλλ' οὐδὲ τὸ φρονεῖν γε οὐδὲ δικαιοπραγεῖν
οὐκ ἔστι κτήσασθαι ἐκ κακῶν ἔργων· ὡςαύτως δὲ
οὐδὲ τὸ ἀδικεῖν καὶ ἀφρονεῖν, ἐκ καλῶν ἔργων· οὐδὲ
3 ὑπάρχειν ἅμα τῷ αὐτῷ δύναται. πλοῦτον δὲ, καὶ
δόξαν, καὶ τὸ νικᾶν, καὶ τὰ λοιπὰ ὅσα τούτοις παραπλήσια, οὐδὲν κωλύει ὑπάρχειν τινὶ ἅμα μετὰ κακίας πολλῆς. ὥστε οὐκ ἂν εἴη ταῦτα ἀγαθὰ, οὐδὲ κακά· ἀλλὰ τὸ φρονεῖν μόνον ἀγαθὸν, τὸ δὲ ἀφρονεῖν κακόν.

4 Ἱκανῶς μοι δοκεῖς λέγειν, ἔφην.

quae graece extant codd. Pbd. exhibent, nec deerant in codice U.

XLI. 2. τῷ αὐτῷ conj. Schweigh.: τὰ αὐτά Pbd. O. cf. 41, 3. 3. ἅμα conj. Schweigh. consentiente Odaxio vertente: multa cum pravitate: ἀλλά Pbd. — εἴη Dübnerus correxit: ἤ Pbd. cf. 37, 1. 38, 1. Finis graece non extat. Latinam versionem paraphrasis Arabicae ab Elichmanno confectam nonnullis locis commutare visum est ea, quae ab anonymo editioni Meirianae Snecanis notis instructae adjuncta est.

Et profligavimus eam opinionem, qua illa a pravis actionibus esse creduntur.

XLII. Senex. Utique multum hoc est et idem atque illud, quod diximus, talia neque bona neque mala esse, idque eo magis, quod, si ea ex solis actionibus pravis
provenirent, essent mala tantummodo. Sed ab utroque 2
genere omnia proficiscuntur ideoque diximus ea nec bona esse nec mala, sicuti somnus et vigilia nec bona
sunt, nec mala. Et similiter, mea quidem sententia, 3
ambulare et sedere et reliqua, quae accidunt unicuique eorum, qui aut intelligentes sunt, aut ignorantes. Quae autem propria sunt alterutri, eorum alterum bonum, alterum malum est; sicuti tyrannis et justitia, quae duae res accidunt uni aut alteri; idque quia justitia perpetuo adhaeret intelligentia praeditis, et tyrannis nullos nisi
ignorantes comitatur. Nec enim fieri potest, id quod 4
supra diximus, ut uni eidemque uno eodemque temporis momento res duae ad istum modum se habentes accidant, ita ut homo unus idemque eodem temporis momento sit dormiens et vigilans utque sit sapiens et ignarus simul, aut aliud quidlibet eorum, quae parem rationem habent.

Hospes. Ad haec ego: Toto hoc, inquam, sermone rem omnem te jam absolvisse autumo.

XLIII. Senex. Haec autem omnia, inquit, ego dico procedere ab illo principio vere divino.

Hospes. At quodnam illud est, inquam, quod tu innuis?

Senex. Vita et mors, inquit, sanitas et aegritudo, 2
divitiae et paupertas ac cetera, quae nec bona nec mala esse diximus, accidunt plerisque hominibus a non malo.

Hospes. Plane conjicimus, inquam, id necessario

ex hoc sermone sequi, talia nec bona nec mala esse, ita tamen, ut haud firmus sim in judicio de istis.

3 Senex. Hoc fit, inquit, ideo, quod longe abs te abest habitus ille, quo eam sententiam animo concipias. Itaque rerum usum, quem paulo ante vobis indicavi, toto vitae vestrae curriculo persequimini, ut ea quae vobis diximus infigantur animis vestris eaque re vobis
4 accedat habitus. Si autem dubitaveritis de aliqua re, revertimini ad me, ut explicem vobis ea de re, quibus dubitatio a vobis discedat.

INDEX

verborum cum antiquissimo cujusque teste.

εὔτακτος modestus. 12, 2. 16, 1. (cd. M.) Posid. ap. Athen.
ἕξις facultas, peritia. 20. 4. 35, 5. Polyb.
ἐπάνω cum gen. supra 26, 3. metaphorice non nisi recentissimis velut Athen. usurpatum est.
ἐπικατοικῶ inhabito 15, 1. non nisi hoc loco invenitur.
ἐπὶ κεφαλαίου summatim. 28, 3. Polyb.
ἡδονικοί voluptarii. 13, 2. Athen.
ἴδιος peculiaris. 1, 1. Diod.
θέμα depositum. 31, 4. Plut. Antiquioribus *παρακαταθήκη* usurpatum est.
θύριον ostiolum. 10, 1. Aristoph. Plut.
καθάριος mundus. 12, 2. (cd. M. *καθάρειος*. Vulg. *καθαρά*) Aristoph. Posid.
καθεστηκώς sedatus, constans. 18, 1. de personis non ante Plut.
καταστρέφειν τὸν βίον traducere vitam. 10, 4. Plut.
κεκριμένη ἡλικία certa et constans aetas. 18, 1. non nisi hoc loco invenitur.
κενοδοξία inanis gloria. 24. 2. Polyb.
κριτικοί critici. 13, 2. v. dissert. Lehrsii de vocabulis *φιλόλογος*, *γραμματικός*, *κριτικός*. Regiom. ed. a. 1838. p. 8. seqq. Polyb.
λειμωνοειδής prato similis, floridus. 17, 1. non nisi hoc loco invenitur.
μέθυσος ebrius. 34, 3. de viris primus Menand. usurpavit, prosae orationis scriptorum primi Plut. Luc.
μετάνοια resipiscentia. 10, 4. 11, 1. LXX. eodem sensu Cebes 35, 4. usurpat *μεταμέλεια*.
ναυαγῶ naufragium facio. 24, 2. metaphorice Aeschyl., prosae or. scriptorum primus Pseudo-Dem., tum Posidippus usurpavit.
οἰκητήριον domicilium. 17, 3. Eurip. Plut.
ὀπίσω cum gen. post. 10, 1. LXX.
ὃς μέν = *ὁ μέν* 7, 2. Demosth.
ὀχλῶ turbo. 15, 2. Aristot.
παραλλάττω praetergredior, longe a tergo relinquo. 35, 2. Aristot.
παρατηρῶ astute et insidiose observo. 9, 2. Aristot.
πάσχω laboro, aegrotus sum. 26, 1. Hippocr.
περιάγω circumeo. 6, 3. (cdd. Pa. M.). nov. test.
περιπατητικοί peripatetici. 13, 2. nomen peripateticorum non ante Ciceronem invenitur.
περιπλέκομαι πρός τινα amplector aliquem. 6, 2. nusquam alibi invenitur.
περισπάω distraho. 33, 3. Aristot.
περίστασις circumstantia, status, condicio. 38, 4. Aristot.
πικρός amarus 3, 1. = *πικρόχολος* Aristot.
πλάνος, *ὁ*, error, metaph. quinquies, velut 5, 3. non nisi in Tabula invenitur.
ποτήριον poculum. 5, 1. Prosae or. scriptorum usurpavit primus Ctes. ap. Athen.
προσκαταβαίνω descendo. 16, 4. Lucillus in Anthol. Pal.
πυλών vestibulum. 1, 3. Moeris p. 83. *Αὐλία θύρα Ἀττικοί, πυλὼν Ἕλληνες*. Pseudo-Aristot. de mundo.

συνομιλῶ colloquor. 13, 1. nov. test.

τὸ πέρας denique. 34, 3. Aeschin.

τραπεζίτης mensarius, numularius. 31, 3. Demosth. Antiquioribus usurpatum est *ὁ ἐπὶ τραπέζῃ*.

φιλοτίμως vehementer. Polyb.

ψευδοδοξία falsa opinio. 11, 2. Bud. tamquam antiquissimum testem citat Aristotelem. Plato loco hujus vocabuli usurpat *ψευδὴς δόξα* vel *ψεῦδος*.

ψευδοπαιδεία falsa eruditio. decies legitur in Tab. velut. 13, 1. Lucian.

ὧδε hic. 9, 2. 10, 4. 14, 4. 17, 3. huc 12, 3. 14, 2. 24, 3. LXX.

ὡσανεί tamquam. 33, 3. Polyb.

DINARCHI ORATIONES

ADIECTO DEMADIS QUI FERTUR FRAGMENTO

EDIDIT

FRIDERICUS BLASS.

LIPSIAE,

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCLXXI.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PRAEFATIO.

Satis miro casu factum est, ut et antiquissimi inter oratores Atticos et novissimi ea quae supersunt opera iisdem codicibus nobis tradita sint: quorum codicum inter se non alia in Dinarcho atque in Antiphonte condicio atque ratio est. Quare cum ad ea quae in praefatione Antiphontis editioni praemissa de hac re exposui fortasse ablegare possim, satius tamen videtur hic quoque eadem paucis repetere.

Eorum vitiorum quibus Aldina editio princeps orationes Dinarchi confoedatas praebet, magna pars omnium sex codicum NABLZM consensu sublata est; alia multa tribus codicibus NAB coarguuntur; sunt etiam loci non pauci quibus soli NA (vel A pr.) veram lectionem servaverint, denique persaepe unus Oxoniensis N vitium ceteris omnibus commune tollit. Contra nusquam fere accidit, ut NAB codices falsam, veram ceteri codices lectionem habeant; paullo saepius ut NA (vel A pr.) praeter ceteros in erroris communione sint; sed et N et A saepissime suis ac propriis corruptelis sunt infecti. Si numerare velis, paullo minus LXX locos invenias, quibus NA (vel A pr.) aliud atque ceteri codices praebeant, quarum lectionum plus XL procul dubio verae sunt; Crippsianus A proprias lectiones plus XL vel habet vel ha-

buit, sed eas paene omnes falsas*); denique Oxoniensis circiter CLX locis a ceteris recedit, ita quidem ut earum lectionum tertia ferme pars falsa, tertia vera videatur, de reliquis iudicium minus constet. Qua in computatione eorum locorum rationem non habui, quibus Oxoniensis verborum collocationem aliam atque ceteri codices habet: qui sunt fere quadraginta numero. Correctus est Crippsianus permultis locis, saepe ab ipsa prima manu, saepe ab alia, quae colore atramenti facile distinguitur. Sed hic alter corrector libro adhibito omnibus numeris deteriore magis corrupit quam correxit codicem. Oxoniensis vix decem locis correctoris manum expertus est, quae uno loco (1, 112) quaedam quae male omissa erant ex alio libro addidit, interdum autem pro libidine vel recte vel falso mutasse videtur (cf. 1, 1. 64).

Quae cum ita sint, primum id consentaneum est, trium codicum NAB consensu semper rem constare, neque ibi ceterorum rationem ullam habendam esse. Itaque huiusmodi locis nihil a me adnotatum est. Gravissimus codicum N et A consensus neque facile neglegendus; propriae lectiones Crippsiani non ita magni faciendae, Oxoniensis maximi

---

*) Uno loco A pr. solus verum servavit: 1, 108 *ἀπολογεῖσθαι* pro *ἀπολεῖσθαι*. A corr. solus habet *ἐγκεχείρικεν* 1, 9 (*ἐγκεχείρηκεν*); *γινόμενος* 1, 47 (*γενόμενος*); 1, 78 *ὁ τεταραγμένης* cum Ald. (*ὅτε τεταρ.*); 93 *ἰδίᾳ* (*ἴδια*); 97 *διαπεπραγμένους* corr.[2] (*δὲ πεπραγμένους*). AB soli veras lectiones hasce praebent: *κατέστη* 1, 74 (*κατεστάθη*); *ἐκεῖ* A corr.[1] et B 81 (*ἐπὶ*); *ἂν ἔπραξεν* 3, 11 (B et rec. A: *ἔπραξεν ἂν* L Ald., *ἔπραξεν* cett.), quibus addas 1, 112 *κἂν* AB et rec. N. De *τιμησάμενος* 3, 2 parum constat, cum Bekkerus nihil adnotaverit; in A exstare Dobsonus testatur.

Quamquam de hac quidem re inter homines doctos magna dissensio est. Turicenses enim editores, qui primi Oxoniensi usi sunt, quum multis locis eius lectiones recipere cogerentur, tamen ad librarii docti hominis coniecturas ista omnia referenda esse contenderunt; at contra et Maetznerus ad huius praesertim normam codicis, ut sincerissimi fontis, editionem suam constituit, et Fr. Frankius Oxoniensis auctoritatem acriter defendit*). Accuratius autem ab his viris in Antiphonte, cuius eadem prorsus condicio, de ea re quaesitum ac disputatum est; in Dinarcho Oxoniensem interpolatum esse nemo adhuc dedita opera comprobare studuit. Quo magis ipse, qui in illo quoque oratore ad Maetzneri opinionem haud cunctanter accesserim, in hoc autem ne levissimum quidem interpolationis vestigium in Oxoniensi dispicere possim, hunc unum prae ceteris codicem quatenus eius fieri posset sequendum esse duxi.

Quod ad verborum collocationem attinet, cum Maetznero semper eam quam Oxoniensis praebet recepi, idque eo magis feci, quod non uno loco vulgatae aliquantum praestare videbatur. Exempla ut addam, or. 2, 22 *κατὰ τῶν νῦν μόνων ἀπεφασμένων* ceteri codices, *κατὰ τῶν νῦν ἀποπεφ. μόνων* N praebet, quod coniecerat Reiskius. I, 109 idem Reiskius in verbis *καλοὺς καὶ πολλοὺς κινδύνους* non sine causa offendit: quod desideraverat ille *πολλοὺς καὶ καλοὺς κινδ.* exstat in Oxoniensi. At coniectura mutatum, obiectet aliquis. Num igi-

*) Cf. ed. Turr. praef. p. III sq. — Maetzner. praef. — Fr. Franke N. Jen. Litteraturztg. 1842 nr. 249 sq.

tur hoc quoque quod iam proponam ad coniecturam referri potest? 2, 10 *τὴν αὐτὴν ἀρχήν* vulgo, *αὐτὴν τὴν ἀρχήν* in Oxoniensi legitur: *ταύτην τὴν ἀρχήν*, quae est procul dubio vera lectio, e Meieri coniectura receperunt Turicenses. Contra nusquam accidit ut prave N, rectius ceteri codices verba collocent. Praeterea id quoque Oxoniensi concessi, ut in *ν ἐφελκυστικῷ*, elisione, crasi quaeque similia sunt vel adhibendis vel non adhibendis eius auctoritatem sequerer: quibus de rebus ut nullius fere momenti nihil adnotavi. Pari modo vel *ἑαυτοῦ* vel *αὑτοῦ*, *σεαυτοῦ* vel *σαυτοῦ*, *γίγνεσθαι* et *γιγνώσκειν* vel *γίνεσθαι* et *γινώσκειν* secundum Oxoniensis potius lectiones quam ex certa aliqua norma scripsi; non enim praestare ausim ultimum quoque oratorum Atticorum antiquiores formas *γίγνεσθαι* et *γιγνώσκειν* semper adhibuisse. Sunt haec quoque satis levia: itaque commentarios nimiae iam amplitudinis his rebus insuper augeri nolui.

Adieci autem eis quae dixi detractis integram varietatem NA codicum, praeterquam sicubi in accentu vel spiritu vel *ι* adscripto vel denique interpunctione ab iis peccatum erat. Lectiones eas quae ceterorum codicum communes sunt item addidi. Videtur autem Crippsianus, quae etiam Sauppii nunc sententia est, ex eodem exemplari descriptus esse quod Oxoniensis fons fuit; ceteros ex A corr. fluxisse non improbabile est. Certe ad unum omnes exemplar redeunt.

Istud autem archetypon et lacunosum satis et interpolationibus quibusdam confoedatum fuisse facile perspicitur. Interpolationum audacissimus indagator

exstitit Kleynius Batavus: ipse in delendo iusto parcior fui, neque quinque amplius locis eam medelam adhibui. I, 18 verba *συμπεπλεγμένα ὡς ἔφασαν* (*φασὶν* primo fuisse videtur) *ἐκ τῶν θαλλῶν* cum Sauppio delevit Maetznerus. — II, 5 integra sententia paullum commutata e § 8 translata est, quam cum Bekkero eiecerunt Turicenses. — 2, 6 *πότερ' ἡ τῆς βουλῆς ἀπόφασις, ἐὰν μὲν — — — ἀληθὴς καὶ δικαία ἔσται ἡ κατ' Ἀριστογείτονος ἀπόφασις*] *ἡ κατ' Ἀριστ. ἀπόφ.* del. Dobr., *ἀπόφασις* eiecit Mr. Cf. 3, 5. — 2, 20 *καὶ μὴ προέσθαι καὶ μὴ προδοῦναι*] tria posteriora vocabula deleri mal. Maetzner. — 2, 26 *ἐκ Πελοποννήσου πάσης* cum Bk. del. Wm. Turr. Sed praeterea nunc deleta malim: 1, 103 *ἐν Ὀλυμπίᾳ* cum Kleynio; 111 *ὑπὲρ Κτησίππου καὶ Φορμίωνυς καὶ ἑτέρων πολλῶν*; 2, 12 *τῶν παρανόμων*; 15 *γνώριμος καὶ φανερὸς καὶ*; 3, 5 *τῆς ἐν τῷ ψηφίσματι γεγραμμένης*, et similia alia interpretamenta inesse multa persuasum habeo.

Collatus est Crippsianus primum a Bekkero, qui non pauca neglexit, accuratius deinde a Dobsono (A^d) *). Bekkerus praeterea codices habuit BLZ, Dobsonus M. Oxoniensis et ipse bis colla-

---

*) Ipse quoque ex eo codice quaedam enotavi, inquirens in ea maxime, quae a secunda manu illata essent: itaque in adnotatione mea aliquanto diligentius quam antea factum erat inter duas manus distinctum est. Ubi delevit tantummodo corrector neque sua adscripsit, consentaneum est uter fuerit sciri non posse; sed praeterea sicubi simpliciter A corr. scriptum exstat, e meae collationis ratione prima manus semper intellegenda est, quamquam diserte id testari nolui.

tus est: primum in Turicensium editorum usum a Fr. Thurlando, alia collatio Maetznero praesto fuit (N^m).

Editiones quae ante Bekkerum prodierunt praeter Aldinam Stephani, Hieron. Wolfii, Reiskii (R.) commemorandae sunt, post eum qui Dinarchum ederent exstiterunt Dobsonus, Car. Ern. Aug. Schmidtius, Turicenses editores Baiterus et Sauppius (Turr., Bait., S.), Maetznerus (Mr.). Emendandis pluribus paucioribusve locis de Dinarcho bene meruerunt recentiore tempore Wurmius (Commentationes in Dinarch., Norimb. 1828), Dobreus, quorum utriusque copiis iam priores editores usi sunt, praeterea Emperius, Frankius (Fr., N. Jen. Litteraturztg. 1842 nr. 249 sqq.; Jahn. Annal. XXVIII p. 67); M. H. E. Meierus (Allg. Litteraturztg. 1843 p. 465 sqq.), Cobetus (Cb.), Hirschigius (Hi.; Philol. 1850 p. 326 sqq.), Kleynius (Dinarchea, Mnemos. VIII p. 81).

In universum Dinarchus, nostro certe tempore, studia hominum doctorum minus excitavit, neque id cuiquam mirum videri potest. Senescentis haec eloquentiae Atticae monumenta habemus, retinentis etiamnum antiquam formam neque in aliam abeuntis, sed vigore pristino nativoque robore magna ex parte destitutae. Figuris quibusdam oratoriis, velut *ἐπαναλήψει*, *ἀποστάσει* (qua absque coniunctione et dirempta ab eis quae proxime praecedunt sententia infertur) ultra modum orator abutitur, quippe quas traditas a prioribus acceperit, non ipse sponte sua inveniat, et expilat Aeschinem, Demosthenem, Iso-

cratem*), excidiique Thebarum mentione facta confert ea quae a quoquam de ea re egregie dicta videbantur**). Accedunt alia magis etiam vitio vertenda: quod neque certum aliquem in enarrando probandoque ordinem sequitur et licenter errat et omnia contingens admodum pauca conficit, et quod calumniatur potius quam accusat neque probat magis quam acerba convicia ingerit. Confer Hyperidis in Demosthenem fragmenta: hominem conspicies prudentem rerum publicarum, moderati nescio quid et humani invenies. Quae dum omnia reputant quidam in eam sententiam ablati sunt ut sophistae cuiusdam recentioris opera haec nos habere arbitrarentur: adiuti illi quidem Demetrii Magnetis auctoritate, qui orationem in Demosthenem a Dinarcho abiudicavit***). Equidem praestare non ausim, quod probare nequeo, Dinarchi potius orationes esse quam vel Menesaechmi vel alius cuiusdam ex istius aetatis oratoribus; sed cum antiquitus illius nomine insignitae fuerint et Demetrii iudicium ceterorum omnium maximeque Dionysii contraria sententia elevetur, Dinarchi esse credo; nam confictas a sophista non esse certum mihi indubitatumque est.

---

*) Cf. Westermann. Quaest. Demosth. III, 80 n. 118 sqq.

**) § 24.

***) Demetr. ap. Dionys. Din. 1. Recentiorum qui de origine orationum dubitarent praecipui fuerunt Westermannus (Quaest. Dem. l. c.) et Funkhaenelius (Annal. Jahn. 1837 XIX p. 177 sqq.); Westermanno oblocuti sunt Eysellus (Demosth. a suspicione acceptae ab Harp. pecuniae liberat., Marburg. 1836), Sauppius O. A. II p. 321, Maetznerus p. 86 sqq. Arn. Schaeferus, qui primum Westermanno assensus erat, postea sententiam mutavit (Demosth. u. seine Zeit III, p. 309).

Ea autem quorundam dubitatio mihi vel maxime causae fuit, cur adicerem Demadis personati fragmentum istud περὶ δωδεκαετίας, quo luculento exemplo appareret quaenam sit indoles talium orationum, quas sophistae serioris aevi antiquis oratoribus supponere audebant. Quod fragmentum et ipsum multis fraudem fecit, ut eius oratoris ingenii monumentum se habere crederent, quem antiquitus satis constabat scripti nihil reliquisse; nunc post Sauppii expositionem (Orat. Att. II p. 312) dubitandi materia nulla relicta est. Prodiit autem nuper e codice Florentino, quem excerpsit R. Schöll (Hermes III p. 277 sqq.), index XIV Demadearum orationum, quae nobis omnes hac una excepta, quae primo loco in eo indice commemoratur, temporis beneficio ablatae sunt. Fuerunt autem paene omnes singulae singulis Demosthenicis orationibus oppositae: si Demosthenes περὶ τῶν ἐν Χερρονήσῳ scripsit, hic Demades πρὸς Χερρονησίτας, si Demosthenes vel verus vel creditus de Halonneso, pro Olynthiis, adversus Philippi epistulam, hic homo (λόγον) ἐναντίον Ἁλοννησίταις, κατὰ τῆς εἰς Ὄλυνθον βοηθείας, ὑπὲρ τῆς Φιλίππου ἐπιστολῆς *). Iam si compares cum hoc quod adhuc exstat fragmento ea quae e reliquis illis orationibus excerpsit Tzetzes, eandem fabricam invenias, idem nempe studium ingeniose et exquisite loquendi, quo isti homines ea quae de Demadis indole oratoria fando acceperant exprimere annisi sunt. Quae cum ita sint, veniam facile me impetraturum spero quod

*) Cf. Schöll l. c. p. 280 sqq.

non nimis in hoc scriptore perpoliendo elaboravi: etenim neque satis dignus est in quo operam colloces, et magnopere cavendum, ne dum librarium corrigere velis scriptorem corrigas. Satis corrupti sunt Demadis libri et lacunis vel maxime laborant; at interdum perquam difficile librarii peccata a scriptoris distinguere. Sed eum quidem fructum facile ex hac oratiuncula percipias, qui in ea unicus inesse videtur, ut dispicias quantum intersit inter veri oratoris vel mediocre opus et serioris aevi fraudulosam imitationem: id quod ad iudicium et de Dinarcheis orationibus et de multis aliis recte ferendum plurimum valebit.

Scrib. Magdeburgi a. CIƆIƆCCCLXXI.

Fridericus Blass.

VITAE DINARCHI.

1. DIONYSII HALICARNASSENSIS.

*Δείναρχος ὁ ῥήτωρ υἱὸς μὲν ἦν Σωστράτου,
Κορίνθιος δὲ τὸ γένος. ἀφικόμενος δ' εἰς Ἀθή-
νας, καθ' ὃν χρόνον ἤνθουν αἵ τε τῶν φιλοσόφων
καὶ ῥητόρων διατριβαί, Θεοφράστῳ τε συνεγένετο*
2 *καὶ Δημητρίῳ τῷ Φαληρεῖ. εὐφυὴς δὲ περὶ τοὺς
πολιτικοὺς λόγους γενόμενος, ἀκμαζόντων ἔτι τῶν
περὶ Δημοσθένην ἤρξατο λόγους γράφειν καὶ
προήει κατὰ μικρὸν εἰς δόξαν· μάλιστα δ' ἤκμασε
μετὰ τὴν Ἀλεξάνδρου τελευτήν, Δημοσθένους μὲν
καὶ τῶν ἄλλων ῥητόρων φυγαῖς ἀϊδίοις καὶ θανά-
τοις περιπεσόντων, οὐδενὸς δ' ὑπολειπομένου μετὰ
τοῦ ἀνδρὸς ἀξίου λόγου. καὶ διετέλεσεν ἐτῶν
πεντεκαίδεκα χρόνον λόγους συγγράφων τοῖς βου-*
3 *λομένοις, ἕως Κάσσανδρος τὴν πόλιν κατεῖχεν· ἐπὶ
δ' Ἀναξικράτους ἄρχοντος, ἐφ' οὗ κατέλυσαν τὴν
ἐν τῇ Μουνυχίᾳ φρουρὰν ὑπὸ Κασσάνδρου κατα-
σταθεῖσαν οἱ περὶ Ἀντίγονον καὶ Δημήτριον βασι-
λεῖς, αἰτίαν ἔχων ἅμα τοῖς ἐπιφανεστάτοις Ἀθη-
ναίων, καίτοι ξένος αὐτὸς ὤν, καταλῦσαι τὸν δῆμον,*

Dionys. Dinarch. c. 2 sq. — Innititur Dionysius, quemadmodum ipse exponit c. 3, Dinarchi contra Proxenum oratione et praeterea Philochori scriptis, in quibus tamen nominatim Dinarchi mentio facta non erat; porro ipse omnia collegit, quoniam priorum nemo de Dinarchi vita orationibusque quicquam accuratius scripserat (c. 1), id quod eis quae apud Demetrium Magnetem de illo legebantur appositis demonstrat. — 1. *Σωστράτου κτἑ.*] cf. c. 3 *γραφὴν* orat. contra Proxenum additam. — 2. *μετὰ τοὺς ἄνδρας* Sylb. R. — *κατεῖχεν* scripsi: *κατέσχεν*. — 3. *ἐπὶ δ' Ἀναξικρ.*] ol. 118, 2. — *ὑπὸ Κασσάνδρου* Sylb.: *ἀπὸ Κασσάνδρου*. —

ὁρῶν ἠρεθισμένους τοὺς Ἀθηναίους καὶ μάλιστα τῷ πλουτεῖν ἑαυτὸν ὑφορώμενος, μὴ διὰ τοῦτο πάθῃ τι δεινόν, εἰςελθεῖν μὲν εἰς δικαστήριον οὐχ 4
ὑπέμεινεν, ἐξελθὼν δὲ τῆς πόλεως καὶ ἐλθὼν εἰς Χαλκίδα τὴν ἐν Εὐβοίᾳ τὸν ἀπ' Ἀναξικράτους χρόνον ἕως Φιλίππου πεντεκαιδεκαετῆ γενόμενον ἐκεῖ διέτριψεν, εἴ τις αὐτῷ γένοιτο διὰ Θεοφράστου καὶ τῶν ἄλλων φίλων κάθοδος. (c. 3) Συγχωρή- 5
σαντος δὲ τοῦ βασιλέως μετ' ἄλλων φυγάδων κἀκείνῳ κατελθεῖν, ἀφικόμενος εἰς Ἀθήνας καὶ παρ' ἑνὶ τῶν φίλων Προξένῳ καταχθεὶς χρυσίον ἀπολλύει, γηραιὸς ὢν ἤδη καὶ τὰς ὄψεις ἀσθενής. ὀλιγώρως δ' ἔχοντος τοῦ Προξένου πρὸς τὴν ζήτησιν δίκην ἔλαχεν αὐτῷ περὶ τῶν χρημάτων, αὐτὸς οὐδεπώποτε πρότερον εἰς δικαστήριον παρελθών.

2. E VITIS X ORATORUM PLUTARCHO ASCRIPTIS.

Δείναρχος Σωκράτους ἢ Σωστράτου, ὡς μέν τινες ἐγχώριος, ὡς δέ τισι δοκεῖ Κορίνθιος, ἀφικόμενος εἰς Ἀθήνας ἔτι νέος, καθ' ὃν χρόνον Ἀλέξανδρος ἐπὶ τὴν Ἀσίαν (διέβαινε), κατοικήσας αὐτόθι ἀκροατὴς μὲν ἐγένετο Θεοφράστου τοῦ διαδεξαμένου τὴν Ἀριστοτέλους διατριβήν, ὡμίλησε
δὲ καὶ Δημητρίῳ τῷ Φαληρεῖ. μάλιστα δὲ 2

4. Φιλίππου] ol. 122, 1. — πεντεκαιδεκαετῆ B et cum Sylb. R.: πεντεκαίδεκα ἔτη. Praeterea R. ante hoc v. καὶ αὐτὸν addi mal. — In cap. 4 Dion. aetatem oratoris ita constituit, ut cum redux Chalcide fieret septuagenarium eum fuisse ponat; itaque natum esse circiter ol. 104, 4 a. Chr. 361/0. De morte Dinarchi nihil omnino dicit.

2. Plutarchus. Haec vita ex eis quae Dionysius congessit maximam partem contexta est, additis paucis quae Caecilio fortasse debentur. Sed quae apud illos dilucide exposita erant, hic scriptor male corrupit et obscuravit. E Plutarcho rursus Photius (cod. 267) sua deprompsit. — 1. ἐπὶ τὴν Ἀσ. διέβαινε (διέβη R.) ex Photio Wyttenbach.: ἐπῄει τὴν Ἀσίαν X Westerm.; ἐπὶ τὴν Ἀσίαν v. — 2. μάλιστα δὲ προςῄει τῷ πολ. Wyttenb. Westerm. Dionys. habet μάλιστα δὲ ἤκμασε, Photius ἐδείχθη πολιτευόμενος. —

τῷ πολιτεύεσθαι μετὰ τὴν Ἀλεξάνδρου τελευτήν, τῶν μὲν ἀνῃρημένων ῥητόρων, τῶν δὲ πεφευγότων. φίλος δὲ Κασσάνδρῳ γενόμενος ὡς ἐπὶ πλεῖστον προέκοψε χρήματα τῶν λόγων εἰςπραττόμενος, οὓς τοῖς δεομένοις συνέγραφεν. — ἀντετάξατο δὲ πρὸς
3 τοὺς ἐπιφανεστάτους τῶν ῥητόρων, οὐκ εἰς δῆμον παριών — οὐ γὰρ οἷός τ' ἦν —, ἀλλὰ τοῖς ἐναντιουμένοις λόγους συγγράφων. καὶ ἐπειδὴ Ἅρπαλος διέδρα, πλείους λόγους συνέγραψε κατὰ τῶν αἰτίαν ἐχόντων δωροδοκῆσαι, καὶ τούτους τοῖς κα-
4 τηγόροις ἐξέδωκεν. — χρόνῳ δ' ὕστερον αἰτιαθεὶς εἰς λόγους παραγίνεσθαι Ἀντιπάτρῳ καὶ Κασσάνδρῳ παρὰ τὴν κατάληψιν τῆς Μουνυχίας, ἡνίκα ὑπ' Ἀντιγόνου καὶ Δημητρίου ἐφρουρήθη ἐπ' Ἀναξικράτους ἄρχοντος, ἐξαργυρισάμενος τὰ πλεῖστα τῆς οὐσίας ἔφυγεν εἰς Χαλκίδα. διατρίψας δ' ἐπὶ τῆς φυγῆς ὡς ιέ ἔτη καὶ πολλὴν οὐσίαν κτησάμενος κατῆλθε, πραξάντων αὐτῷ τὴν κάθοδον τῶν περὶ Θεόφραστον ἅμα τοῖς ἄλλοις φυγάσι.
5 καταλύσας δὲ παρὰ Προξένῳ ἑταίρῳ αὐτοῦ καὶ τὸ χρυσίον ἀπολέσας, ἤδη γηραιὸς ὢν καὶ τὰς ὁράσεις ἀσθενής, (οὐ) βουλομένου τοῦ Προξένου ἀναζητεῖν, λαγχάνει αὐτῷ δίκην, καὶ τότε πρῶτον εἶπεν ἐν δικαστηρίῳ. σώζεται δ' αὐτοῦ καὶ ὁ λόγος. —
6 φέρονται δ' αὐτοῦ καὶ λόγοι γνήσιοι ἑξήκοντα τέσ-

Ἀλεξάνδρου Westerm. cum Dionysio: *Ἀντιπάτρου* v. et Photius. — *ὡς ἐπὶ πλεῖστον προέκοψεν*] *ἐπὶ πλεῖστον εὐδαιμονίας ἀφίκετο* Phot. — 3. Haec ex alio auctore male scriptor interposuit. — *πλείους*] *πλείστους* Phot. — *συνέγραψε* scripsi: *συνέγραφε*. — 4. *Ἀντιπάτρῳ καὶ* om. Photius. cf. ad § 2. — *παρὰ*] *περὶ* cum P Westerm., *διὰ* ci. R. Haec autem omnia usque ad *ἄρχοντος* om. Phot., credo quia sensu carere videbat. — 5. *τὸ χρυσίον* etiam Phot. — *οὐ* add. Xyl. — 6. *καὶ* ante *λόγοι* del. mal. R. — *ἑξήκοντα τέσσαρες*] LX enumerat Dionysius Din. c. 10. 12; eundem genuinarum numerum orationum etiam Suidas habet. Num igitur: *ἑξήκοντα· τέσσαρας τούτων ἔνιοι παραλαμβάνουσιν* (*παραιροῦνται*) *ὡς Ἀρ.*? cf. Phot. Spurias Dionys. plus XXVII enumeravit; Demetrius Magnes (ap. Dionys. c. 1, cf. Suid.) plus CLX orationes Dinarcho tribuit, quo de numero, ut ait Dionys., ceterorum

σαρες· τούτων ἔνιοι παραλαμβάνονται ὡς Ἀριστογείτονος. ζηλωτὴς δ᾽ ἐγένετο Ὑπερείδου ἢ ὥς τινες Δημοσθένους διὰ τὸ παθητικὸν καὶ σφοδρόν· (καὶ) τῶν σχημάτων δ᾽ αὐτοῦ μιμητὴς ὑπάρχει.

3. SUIDAE.

Δείναρχος Κορίνθιος, ῥήτωρ, τῶν μετὰ Δημοσθένους ἐγκριθέντων εἷς — υἱὸς τίνος ἐστὶν οὐχ ἱστόρηται —, γράψας κατὰ μέν τινας λόγους τοὺς πάντας ρξ΄, κατὰ δὲ τὸ ἀληθέστερον μόνους ξ΄, τοὺς πάντας δικανικούς, ὧν οἱ μέν εἰσι δημόσιοι, οἱ δὲ ἰδιωτικοί. ἐτελεύτησε δ᾽ οὗτος, ἐπιμελητὴς Πελοποννήσου καταστὰς ὑπ᾽ Ἀντιπάτρου, μετὰ το τελευτῆσαι Ἀντίπατρον, Πολυσπέρχοντος αὐτῷ ἐπιβουλεύσαντος.

DE DINARCHI ELOQUENTIA IUDICIA VETERUM.

1. DEMETRII MAGNETIS.

Ἔστι τοίνυν οὗτος, κατά γε τὴν ἐμὴν δόξαν, οὐδὲν ἀπολείπων τῆς Ὑπερείδου χάριτος, ὥστ᾽ εἰπεῖν „καί νύ κεν ἢ παρέλασεν". ἐνθύμημα γὰρ

auctorum nemo cum eo consentiebat. Auctor indicis a Studemundio restituti (Herm. II, 434) de CCCCX orationibus Dinarcheis loquitur. — Δημοσθένους διὰ τὸ παθητ. ci. R.: διὰ τὸ παθ. Δημ. Cf. autem Dionys. c. 5. 8, ad quem propius etiam accedit Photius.

3. Suidas. Vv. υἱὸς — ἱστόρηται bene om. V. — κατα μὲν τινας] h. e. Demetrium Magnetem, v. infra. — ἐτελεύτησε κτἑ.] hic alius est Dinarchus, v. Plut. Phoc. 33 (West.).

Iud. Vet. 1. Demetrius Magn. περὶ ὁμωνύμων ap. Dionys. Din. c. 1, qui suo iure de eo dicit (c. 2): ὀνόματα μόνον κοινὰ καὶ περιτρέχοντα ἐσπούδασε. — καί νυ κεν κτἑ.] Iliad. 23, 382; cf. Dionys. de compos. p. 117 R. —

φέρει πιστικόν, καὶ σχῆμα παντοδαπον· πιθανότητός γε μὴν οὕτως ευ ἥκει, ὥστε παριστάνειν τοῖς ἀκούουσι μὴ ἄλλως γεγονέναι τὸ πρᾶγμα ἢ ὡς αὐτὸς λέγει. καὶ νομίσειεν ἄν τις εὐήθεις εἶναι τοὺς ὑπολαβόντας τὸν λόγον τὸν κατὰ Δημοσθένους εἶναι τούτου· πολὺ γὰρ ἀπέχει τοῦ χαρακτῆρος· ἀλλ' ὅμως τοσοῦτον σκότος ἐπιπεπόλακεν, ὥςτε τοὺς μὲν ἄλλους αὐτοῦ λόγους, σχεδόν που ὑπὲρ ἑξήκοντα καὶ ἑκατὸν ὄντας, ἀγνοεῖν συμβέβηκε, τὸν δὲ μὴ γραφέντα ὑπ' ἐκείνου μόνον ἐκείνου νομίζεσθαι. ἡ δὲ λέξις ἐστὶ τοῦ Δεινάρχου κυρίως ἠθική, πάθος κινοῦσα σχεδὸν τῇ πικρίᾳ μόνον, καὶ τῷ τόνῳ τοῦ Δημοσθενικοῦ χαρακτῆρος λειπομένη, τοῦ δὲ πιθανοῦ καὶ κυρίου μηδὲν ἐνδέουσα.

2. DIONYSII HALICARNASSENSIS.

(c. 5) — — οὐδὲν γὰρ οὔτε κοινὸν οὔτ' ἴδιον ἔσχεν, οὔτ' ἐν τοῖς ἰδίοις οὔτ' ἐν τοῖς δημοσίοις

πειστικὸν Kruegerus. — γε μὴν Sylb. R.: τε μὴν. — τοσοῦτον σκότος ἐπιπεπ. R.: τοσούτους σκοποὺς ἐπιπεπόληκεν. — ὑπὲρ ἑξήκ. καὶ ἑκ.] Dionys. c. 2: πλῆθος λόγων εἶπεν οὐδενὶ τῶν (ἄλλων) σύμφωνον. — ἀγνοεῖσθαι Sylb. — fort. (ἀλλὰ καὶ) πάθος κινοῦσα, σχεδὸν τῇ πικρ. μόνον καὶ τῷ τόνῳ κτέ. — κυρίου] καιρίου ci. R.

2. Dionysius. Cf. etiam initium libelli: Περὶ Δεινάρχου τοῦ ῥήτορος οὐδὲν εἰρηκὼς ἐν τοῖς περὶ τῶν ἀρχαίων γραφεῦσιν, διὰ τὸ μήτε εὑρετὴν ἰδίου γεγονέναι χαρακτῆρος τὸν ἄνδρα, ὥςπερ τὸν Λυσίαν καὶ τὸν Ἰσοκράτην καὶ τὸν Ἰσαῖον, μήτε τῶν εὑρημένων ἑτέροις τελειωτήν, ὥςπερ τὸν Δημοσθένην καὶ τὸν Αἰσχίνην καὶ Ὑπερείδην ἡμεῖς κρίνομεν· ὁρῶν δὲ καὶ τοῦτον τὸν ἄνδρα παρὰ πολλοῖς ἠξιωμένον ὀνόματος ἐπὶ δεινότητι λόγων κτέ., et iudicia de singulis orationibus quas a Din. abiudicat (c. 11), qualia sunt haec: ἀπ' αὐτοῦ τοῦ χαρακτῆρος εὕροι τις ἂν οὐκ ὄντα τὸν λόγον Δεινάρχου· ὑδαρής τε γὰρ καὶ ἀσθενὴς καὶ ψυχρός ἐστι. — οὐδ' οὗτος ὁ λόγος ἐμφαίνει τὸν Δεινάρχου χαρακτῆρα. εἰ γὰρ κἂν μηδὲν ἄλλο, τό γ' οὖν ἠλίθιον καὶ σοφιστικὸν εὕροι τις ἂν ἐν αὐτῷ πολύ, τὸ πλεῖστον ἀπέχον τῶν Δεινάρχου χαρακτήρων.

οὔτε κοινὸν οὔτ' ἴδιον] cf. c. 6 extr.: ὁ δὲ Δεῖν. οὔτε ομοιος ἐν ἅπασίν ἐστιν οὔτε ἰδίου τινὸς εὑρετής. —

ἀγῶσιν· ἀλλὰ καὶ τοῖς Λυσίου παραπλήσιος ἔστιν ὅπου γίνεται καὶ τοῖς Ὑπερείδου καὶ τοῖς Δημοσθένους λόγοις. καὶ τούτων πολλὰ δή τις ἔχει παραδείγματα ἐκθέσθαι· τοῦ μὲν Λυσιακοῦ χαρακτῆρος ἔν τε τῷ περὶ Μνησικλέους (κλήρου) λόγῳ καὶ ἐν τῷ κατὰ Λυσικράτους ὑπὲρ Νικομάχου καὶ ἐν ἄλλοις πολλοῖς· τοῦ δὲ Ὑπερείδου, ταῖς τε οἰκονομίαις ἀκριβεστέρου καὶ ταῖς κατασκευαῖς γενναιοτέρου πῶς ὄντος τῶν Λυσιακῶν, ἐν πλείοσι μὲν ἢ τριάκοντα Δεινάρχου λόγοις παραδείγματα εὑρεῖν ἔστιν, οὐχ ἥκιστα δὲ καὶ ἐν τῷ περὶ τῆς Ἀγάθωνος διαμαρτυρίας. οὐ μὴν ἀλλὰ καὶ τοῦ Δημοσθενικοῦ χαρακτῆρος, ὃν μάλιστα ἐμιμήσατο, πολὺ πλείω δύναιτ' ἄν τις εἰπεῖν, ὡς καὶ ἐν τῷ κατὰ Πολυεύκτου· προοιμιάζεται γὰρ ὁμοίως ἐκείνῳ, καὶ δι' ὅλου τοῦ λόγου παραπλήσιος μεμένηκεν. — — — (c. 8) — — οἱ δὲ Δημοσθένην προχειρισάμενοι καὶ τὰς ἀρετὰς τὰς ἐκείνου διώκοντες τῆς μὲν προαιρέσεως ἕνεκα ἐπῃνέθησαν, οὐ μὴν ἴσχυσαν τὰ κράτιστα τῶν ἐκείνου τοῦ ῥήτορος ἔργων λαβεῖν. τούτων ἄριστον ἄν τις θείη τὸν Δείναρχον γενέσθαι· λείπεται δὲ Δημοσθένους κατὰ μὲν τὴν ἐκλογὴν τῶν ὀνομάτων τῇ δεινότητι, κατὰ δὲ τὴν σύνθεσιν τῇ ποικιλίᾳ τῶν σχημάτων καὶ τῇ ἐξαλλαγῇ· κατὰ δὲ τὴν εὕρεσιν τῶν ἐπιχειρημάτων τῷ μὴ καινὰ καὶ παράδοξα λαμβάνειν ἀλλὰ φανερὰ καὶ ἐν τῷ μέσῳ κείμενα· κατὰ δὲ τὴν οἰκονομίαν τῇ τάξει καὶ ταῖς ἐξεργασίαις τῶν ἐπιχειρημάτων καὶ ταῖς προκατασκευαῖς καὶ ταῖς ἐφόδοις καὶ τοῖς ἄλλοις τεχνικοῖς παραγγέλμασιν ἃ περὶ ταύτην ἐστὶ τὴν ἰδέαν. μάλιστα δ' αὐτοῦ λείπεται τῇ συμμετρίᾳ καὶ τῷ εὐκαίρῳ (καὶ) πρέποντι. λέγω δὲ ταῦτα οὐκ ἐν τῷ καθόλου τρόπῳ, ὡς μηδὲν τούτων κατορθοῦντος, ἀλλ' ἐν τῷ κοινο-

mal. πολλὰ ἄν τις ἔχοι (ἔχοι etiam R. ci.). — κλήρου post Μνησ. coll. c. 12 add. S. — δύναιτ' ἄν τις εὑρεῖν mal. S. — (c. 8). καὶ τῷ εὐκαίρῳ καὶ πρέποντι scripsi coll. de Dem. c. 34: καὶ τῷ καιρῷ πρέποντι. —

τέρῳ καὶ ὡς ἐπὶ τὸ πολύ. δι' αὐτὸ γὰρ τοῦτο καὶ ἄγροικόν τινες Δημοσθένην ἔφασαν εἶναι, κατὰ τὸ ἐλλιπὲς τῆς οἰκονομίας ταύτην περὶ αὐτοῦ τὴν δόξαν λαβόντες· τὸ γὰρ ἄγροικον τοῦ πολιτικοῦ σώματος οὐ μορφῇ, κατασκευῇ δὲ καὶ διαθέσει τινὶ τῆς μορφῆς διήνεγκεν.

3. HERMOGENIS.

Ὁ δὲ Δείναρχος πολιτικὸς ὢν οἷα σαφὴς καὶ ἀληθὴς καὶ πιθανὸς πολὺ τὸ σφοδρὸν ἔχει καὶ τὸ τραχὺ κατά τε τὴν ἔννοιαν καὶ τὴν μέθοδον. κατὰ δὲ αὐτὴν τὴν λέξιν ἧττόν ἐστι σφοδρός· κατὰ μέντοι τὰ περὶ τὴν λέξιν, οἷον σχήματα κῶλα συνθήκας ἀναπαύσεις ῥυθμούς, καὶ πάνυ σφοδρός τε καὶ τραχύς ἐστι. διὸ καὶ ἧττον ἐπιμελὴς ὁ λόγος αὐτῷ, γοργὸς μέντοι καὶ δεινὸς οὐ μετρίως. μᾶλλον δὲ εἶναι δοκεῖ ἢ ἔστι δεινὸς διὰ τὸ τῆς τοιαύτης μᾶλλον μετέχειν δεινότητος. καθόλου τε ὁ ἀνὴρ ἐμφαινόμενον ἔχει πολὺ τὸ Δημοσθενικὸν διὰ τὸ τραχὺ καὶ γοργὸν καὶ σφοδρόν, ὥςτ' ἤδη τινὲς καὶ προςπαίζοντες αὐτὸν οὐκ ἀχαρίτως κρίθινον Δημοσθένην εἰρήκασι.

ARGUMENTA ORATIONUM
BREVITER DESCRIPTA.

Or. I. in Demosthenem. Ex eis civibus qui ab Areopago munerum ab Harpalo acceptorum apud populum delati et ex populiscito rei facti erant,

πολιτικός urbanus.

1. Hermogenes περὶ ἰδεῶν B, Sp. Rh. Gr. II, p. 413, qui sexto loco inter X oratores Dinarchi mentionem facit. — τὸ τραχὺ] cf. A p. 299 Sp.: παραδείγματα δὲ τῆς ἀπαραμυθήτου τραχύτητος παρὰ μὲν τῷ ῥήτορι καὶ πάνυ ἐστὶν ὅπερ ἔφην σπάνια, ὁ δὲ Ἀριστογείτων σοι ἄφθονα παρέξεται νὴ Δία — — πολλὰ δὲ τοιαῦτα καὶ παρὰ τῷ Δεινάρχῳ.

quinque ab Dinarcho orationibus accusatorum alicui compositis impugnati sunt: Philocles Hagnonides Aristonicus Demosthenes Aristogiton, inter quas orationes tres hae aetatem tulerunt. Demosthenis causa prima in iudicium venit: XX talentum nomine scriptus erat, mille quingenti sedebant iudices, accusabant decem oratores a populo constituti. Inter quos Stratocles primo loco verba fecit, altero is cui Dinarchus hanc orationem composuit, qui quisnam fuerit ignoratur. Accusatorum unus etiam Hyperides fuit, cuius exstant fragmenta illa lacera in Aegypto reperta; de Pythea quoque idem compertum habemus. Reus cum frustra defensionem tentavisset L talentum multa damnatus est, quam nisi statim solvisset, in vincula ut coniceretur sententiae additum. Atque ita factum est, sed paucis diebus post Demosthenes ex carcere evasit et in exilium abiit.

Or. II in Aristogitonem. Perditus civis Aristogiton et identidem iudicum sententiis damnatus Harpalicae quoque causae implicatus est: viginti minis ab Harpalo eum corruptum esse Areopagus arguebat. Reus post Demosthenem et Demadem in iudicium venit, iracundia populi illorum poena iam magnam partem expleta; quo factum est ut iudicio absolveretur*). Oratio, quam mutilam nos habere dudum perspectum est, Maetznero et ipsa *δευτερολογία* fuisse videtur, mihi principe loco habitam esse magis probatur. Etenim una erat causa omnium eorum quorum nomina Areopagus detulerat; itaque qui ex his non primo loco in iudicium arcessiti sunt, in eos eodem fere modo perorandum erat quem in *δευτερολογίαις* videmus. Ea igitur huius quoque orationis forma est; sed praeterea

*) Si quidem fides praestanda ei qui epistulam tertiam quae Demosthenis dicitur composuit (§ 37. 41).

quaedam inesse videntur quae principali magis accusatori primaeque orationi conveniant*)

Or. III in Philoclem. Philocles praetor Piraeeo praefectus cum populo recepisset se Harpali classem portum intrare prohibiturum esse, postea illum una triremi advectum intromisit. Quod cum eum pecunia corruptum fecisse vulgo arguerent, ipse de se quaestionem Areopago mandavit, qui inter ceteros illius quoque nomen apud populum detulit. Itaque populiscito primo loco Philocles reus factus**) post damnatos complures alios in iudicium venit. Neque illum vel priora merita vel innocentia vitae tutari potuerunt, quominus iudicum sententiis damnatus in exilium abire cogeretur***). Oratio Dinarchi a Maetznero et ipsa *δευτερολογία* putatur: id quod ut minime certum, ita aliquanto quam in altera oratione probabilius est. In fine pauca deesse videntur.

---

*) § 5 *μὴ τῶν παρ' ἐμοῦ λόγων ἀκούειν ζητήσητε κτέ.* — 7 *ἐὰν δ' ἕκαστος ἡμῶν βραχέα εἰπὼν καταβῇ*: quid igitur prior ille orator, si fuit, fecerat? omniane copiose explicaverat? cur igitur hic noster id non urget? an breviter perstrinxerat? at id si sumimus, omnem nobis ipsi causam eripimus cur hanc orationem *δευτερολογίαν* putemus. Cf. etiam 8 sqq.

**) Cf. § 14 cum explicatione Meieri (Allg. Litteraturztg. 1843 p. 465 sq.).

***) Teste eadem epistula Demosthenica tertia (§ 32).

pag. Steph. 90

1.

ΚΑΤΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.

*Ὁ μὲν δημαγωγὸς ὑμῖν, ὦ Ἀθηναῖοι, καὶ θανά-
του τετιμημένος ἑαυτῷ ἐὰν ἐξελεγχθῇ ὁτιοῦν εἰλη-
φὼς παρ' Ἁρπάλου, οὗτος φανερῶς ἐξελήλεγκται
δῶρα εἰληφὼς παρὰ τούτων οἷς ἐναντία πράττειν
ἔφη τὸν ἄλλον χρόνον. πολλῶν δ' ὑπὸ Στρατοκλέους
εἰρημένων καὶ τῶν πλείστων προκατειλημμένων κα-
τηγορημάτων, καὶ περὶ μὲν αὐτῆς τῆς ἀποφάσεως
τῆς ἐξ Ἀρείου πάγου βουλῆς δικαίας καὶ ἀληθεῖς
ἀποδείξεις εἰρηκυίας, περὶ δὲ τῶν ἀκολούθων τού-
τοις Στρατοκλέους εἰρηκότος καὶ τὰ ψηφίσματα ἀνε-
γνωκότος ἤδη τὰ περὶ τούτων, ὑπόλοιπον ἡμῖν, ὦ* 2
*Ἀθηναῖοι, καὶ ταῦτ' ἀγωνιζομένοις ἀγῶνα τηλικοῦ-
τον ἡλίκος οὐδὲ πώποτε γέγονε τῇ πόλει, κοινῇ πᾶσιν
ὑμῖν παρακελεύεσθαι, πρῶτον μὲν τοῖς λοιποῖς ἡμῖν
συγγνώμην ἔχειν, ἂν τῶν αὐτῶν ἐνίοις περιπίπτωμεν
— οὐ γὰρ ἵνα ἐνοχλῶμεν ὑμᾶς, ἀλλ' ἵνα μᾶλλον
ὀργίζησθε παροξυνόμενοι, δὶς περὶ τῶν αὐτῶν ἐροῦ-*

ΔΗΜ.ΝΟΥΣ A pr. corr.².

1. Verba *ὁ μὲν δημ. ὑμῖν* ut initium orationis affert Dionys. Dinarch. c. 10. — *ὑμῶν* Taylor, sed cf. § 53; Aesch. 3, 73 (Mr.). — *καὶ θανάτου*] *ὁ θαν.* Kl. — *ἐὰν* rec. N. (ci. Wolf. Tayl.): *ἵνα* (*ἣν* cum Steph. Bk.).

2. malim cum Hi. *γέγονεν ἐν τῇ πόλει.* — *τοῖς λοιποῖς ἡμῖν* N Mr.: *ἡμῖν τοῖς λοιποῖς.* — *μᾶλλον ὀργίζησθε* N Mr.: *ὀργ. μᾶλλον.* — *παροξυνομ..* pr. A corr.²; *παροξυνώμενοι* N num igitur *ἵνα μᾶλλον* [*ὀργ.*] *παροξύνωμεν*?

μεν —, ἔπειτα μὴ προΐεσθαι τὰ κοινὰ τῆς πόλεως
ἁπάσης δίκαια, μηδὲ τὴν κοινὴν σωτηρίαν ἀντικατ-
3 *αλλάξασθαι τῶν τοῦ κρινομένου λόγων. ὁρᾶτε γάρ,*
ὦ Ἀθηναῖοι, ὅτι παρὰ μὲν ὑμῖν Δημοσθένης οὑτοσὶ
κρίνεται, παρὰ δὲ τοῖς ἄλλοις ὑμεῖς· οἳ σκοποῦσι
τίνα ποτὲ γνώμην ἕξετε περὶ τῶν τῇ πατρίδι συμφε-
ρόντων, καὶ πότερον τὰς ἰδίας τούτων δωροδοκίας
καὶ πονηρίας ἀναδέξεσθε εἰς ὑμᾶς αὐτούς, ἢ φανε-
ρὸν πᾶσιν ἀνθρώποις ποιήσετε διότι μισεῖτε τοὺς
κατὰ τῆς πολιτείας δῶρα λαμβάνοντας, καὶ οὐχ ἵν'
ἀφῆτε ζητεῖν προσετάξατε τῇ ἐξ Ἀρείου πάγου βου-
λῇ, ἀλλ' ἵνα ἀποφηνάντων τούτων ὑμεῖς τιμωρή-
4 *σησθε τῶν ἀδικημάτων ἀξίως. νυνὶ τοίνυν τοῦτο*
ἐφ' ὑμῖν ἐστι. ψηφισαμένου γὰρ τοῦ δήμου δίκαιον
ψήφισμα, καὶ πάντων τῶν πολιτῶν βουλομένων εὑ-
ρεῖν τίνες εἰσὶ τῶν ῥητόρων οἱ τολμήσαντες ἐπὶ δια-
βολῇ καὶ κινδύνῳ τῆς πόλεως χρήματα παρὰ Ἁρπά-
λου λαβεῖν, καὶ πρὸς τούτοις ψηφίσματα γράψαντος
ὦ Δημόσθενες σοῦ (κατὰ σαυτοῦ) καὶ ἑτέρων πολ-
λῶν, ζητεῖν τὴν βουλὴν περὶ αὐτῶν, ὡς αὐτῇ πάτριόν
ἐστιν, εἴ τινες εἰλήφασι παρὰ Ἁρπάλου χρυσίον,
5 *ζητεῖ ἡ βουλή, οὐκ ἐκ τῶν προκλήσεων μαθοῦσα τὸ*
δίκαιον, οὐδὲ τὴν ἀλήθειαν καὶ τὴν πίστιν τὴν πα-
τρίαν αὑτῆς ἐπὶ σοῦ καταλῦσαι βουλομένη, ἀλλ' ὅπερ
καὶ αὐτοὶ οἱ Ἀρεοπαγῖται εἶπον, προορῶσα (μὲν) ἡ

3. *ἀναδέξεσθε* ci. Steph.: *ἀναδέχεσθε.*
4. *ψηφίσματα* ci. Dobr.: *ψήφισμά* N sec. Thurl., *ψήφισμα* N[m] et cum eodem Dobr. Mr., *ψήφισμά τι* v. Cf. § 82 sqq.
5. *ἐζήτει* susp. Bait. — num *ἐκ τῶν (σῶν) προκλ.*? cf. autem 6 et Hyp. I, col. 7. 28. — *πατρίαν* scripsi: *περὶ.* — *αὑτῆς* Bk.: *αὐτῆς.* — *μὲν* addi iubet R. —

βουλὴ ὦ ἄνδρες τὴν τούτων ἰσχὺν καὶ τὴν ἐν τῷ
λέγειν καὶ πράττειν δύναμιν, οὐκ οἰομένη δὲ δεῖν
οὐδεμίαν ὑπολογίζεσθαι τῶν περὶ αὑτῆς ἐσομένων
βλασφημιῶν, εἴ τις μέλλει τῇ πατρίδι αὐτῇ αἰτία
μοχθηρὰ καὶ κίνδυνος ἔσεσθαι. τούτων, ὡς ἐδόκει 6
τῷ δήμῳ, καλῶς καὶ συμφερόντως πεπραγμένων αἰ-
τίαι νῦν καὶ προκλήσεις καὶ συκοφαντίαι παρὰ Δη-
μοσθένους ἥκουσιν, ἐπειδὴ οὗτος ἀποπέφανται εἴκοσι
τάλαντα ἔχων χρυσίου· καὶ ἡ τῶν ἐκ προνοίας φό-
νων ἀξιόπιστος οὖσα βουλὴ τὸ δίκαιον καὶ τἀληθὲς
εὑρεῖν, καὶ κυρία δικάσαι περί τε τοῦ | σώματος καὶ 91
τῆς οὐσίας ἑκάστου τῶν πολιτῶν, καὶ τοῖς μὲν βιαίῳ
θανάτῳ τετελευτηκόσι βοηθῆσαι, τοὺς δὲ παράνομόν
τι τῶν ἐν τῇ πόλει διαπεπραγμένους ἐκβαλεῖν ἢ
θανάτῳ ζημιῶσαι, νῦν ἐπὶ τοῖς κατὰ Δημοσθέ-
νους ἀποπεφασμένοις χρήμασιν ἄκυρος ἔσται τοῦ
δικαίου;

Ναί· κατέψευσται γὰρ ἡ βουλὴ Δημοσθένους· 7
τουτὶ γάρ ἐστιν ὑπερβολὴ τοῦ πράγματος. σοῦ κατέ-
ψευσται καὶ Δημάδου; καθ᾽ ὧν οὐδὲ τἀληθὲς εἰ-
πεῖν, ὡς ἔοικεν, ἀσφαλές ἐστιν; οἳ πολλὰ πρότερον
τῶν κοινῶν ἐκείνῃ ζητεῖν προσετάξατε καὶ διὰ τὰς
γενομένας ζητήσεις ἐπῃνέσατε; οὓς δ᾽ ἡ πόλις ἅπασα
οὐ δύναται ἀναγκάζειν τὰ δίκαια ποιεῖν, κατὰ τού-
των ἡ βουλὴ ψευδεῖς ἀποφάσεις πεποίηται; ὦ Ἡρά-

ἡ βουλὴ abesse malim. — περὶ αὑτῆς Bk.: περὶ αὐτῆς. — αὐτῇ Bait.: αὐτῆς (αὐτοῖς cum BL Bk. Mr.).

6. τἀληθὲς scripsi coll. § 11, 54: ἀληθές. — περί τε scripsi: τε περὶ. — οὐσίας scripsi: ψυχῆς, quod om. N. — ἐκβάλλειν pr. A.

7. ζητεῖν] σφαλερῶς N. — ἐπῃνέσατε] ἀπηλλάξατε N. — ἀναγκάζειν N Mr.: ἀναγκάσαι. — ψευδεῖς τὰς ἀποφάσεις N Mr.

8 κλεις. διὰ τί οὖν ἐν τῷ δήμῳ συνεχώρεις, ὦ Δημό-
σθενες, ἐὰν ἀποφήνῃ (κατὰ) σοῦ ἡ βουλή, θάνατον
ἑαυτῷ τὴν ζημίαν; καὶ διὰ τί πολλοὺς ἀνῄρηκας σὺ
ταῖς τῆς βουλῆς ἰσχυριζόμενος ἀποφάσεσιν; ἢ ποῖ
νῦν ἐλθὼν ὁ δῆμος ἢ τίσι προστάξας ζητεῖν περὶ
τῶν ἀφανῶν καὶ μεγάλων ἀδικημάτων εὕρῃ τὴν ἀλή-
9 θειαν; τὸ μὲν γὰρ συνέδριον τὸ πρότερον εἶναι δο-
κοῦν πιστὸν σὺ καταλύεις ὁ δημοτικὸς εἶναι φάσκων,
ᾧ τὴν τῶν σωμάτων φυλακὴν ὁ δῆμος παρακατα-
θήκην ἔδωκεν, ᾧ τὴν πολιτείαν καὶ δημοκρατίαν
πολλάκις ἐγκεχείρικεν, ὃ διαπεφύλαχε τὸ σὸν σῶμα
τοῦ βλασφημεῖν περὶ αὐτοῦ μέλλοντος πολλάκις, ὡς
σὺ φῄς, ἐπιβουλευθέν, ὃ φυλάττει τὰς ἀπορρήτους
θήκας, ἐν αἷς τὰ τῆς πόλεως σωτήρια κεῖται.
10 Δίκαια μὲν οὖν, δίκαια τρόπον γέ τινα πάσχει
τὸ συνέδριον· εἰρήσεται γὰρ ἃ γινώσκω. δυοῖν γὰρ
θάτερον ἐχρῆν αὐτούς, ἢ καὶ τὴν προτέραν ζήτησιν
τὴν ὑπὲρ τῶν τριακοσίων ταλάντων τῶν παρὰ τοῦ
Περσῶν βασιλέως ἀφικομένων ζητεῖν, καθάπερ συν-
έταξεν ὁ δῆμος, ἵνα τότε δόντος δίκην τοῦ θηρίου
τούτου, καὶ τῶν μερισαμένων ἐκεῖνα τὰ χρήματα φα-
νερῶν γενομένων, καὶ τῆς περὶ Θηβαίους προδοσίας
ἐξελεγχθείσης ἣν οὗτος προδέδωκεν, ἀπηλλάγμεθα
11 τούτου τοῦ δημαγωγοῦ δίκην ἀξίαν δόντος· ἢ εἰ

8. ἐν τῷ δήμῳ] ἐν τῷ τότε N (ἐν τῷ δήμῳ τότε susp. Mr.). — (κατὰ) σοῦ ci. Wolf. Emp.: σου. — σαυτῷ Kl. — ποῖ R.: ποῦ (quod retin. Mr.).

9. εἶναι δοκοῦν N Mr.: δοκοῦν εἶναι. — ἐγκεχείρικεν A corr.: ἐγκεχείρηκεν. — ὃ διαπεφύλαχε cum Wolf. R.: ὃ διαπεφύλακε N[m], ᾧ διαπεφύλακε v. — ὃ φυλάττει N Wolf. R.: ᾧ φυλ. — θήκας ci. Wolf.: διαθήκας v., ἀποθήκας N Mr.

10. προσέταξεν Bait., quod mal. etiam Mr.

ταῦθ' ὑμεῖς ἐβούλεσθε Δημοσθένει συγχωρεῖν καὶ
πολλοὺς ἐν τῇ πόλει τοὺς καθ' ὑμῶν δωροδοκήσον-
τας εἶναι, τὴν περὶ τῶν νῦν ἀποπεφασμένων ζήτησιν
χρημάτων μὴ προσδέχεσθαι, πεῖραν ὑμῶν ἐν τοῖς
πρότερον εἰληφότας· ὅπου γε οὕτω καλῶς καὶ δι-
καίως τῆς ἀποφάσεως τῆς κατὰ τούτου καὶ τῶν ἄλ-
λων νυνὶ γεγενημένης, καὶ τῆς ἐξ Ἀρείου πάγου
βουλῆς οὔτε τὴν Δημοσθένους οὔτε τὴν Δημάδου
δύναμιν ὑποστειλαμένης, ἀλλὰ τὸ δίκαιον αὐτὸ καὶ
τἀληθὲς προὐργιαίτερον πεποιημένης, οὐδὲν ἧττον 12
περιέρχεται Δημοσθένης περί τε τῆς βουλῆς βλασφη-
μῶν καὶ περὶ ἑαυτοῦ λέγων οἷσπερ ἴσως καὶ πρὸς
ὑμᾶς αὐτίκα χρήσεται λόγοις ἐξαπατῶν ὑμᾶς, ὡς
„ἐγὼ Θηβαίους ὑμῖν ἐποίησα συμμάχους." οὔκ, ἀλλὰ
τὸ κοινῇ συμφέρον ἀμφοτέραις ἐλυμήνω ταῖς πόλε-
σιν, ὦ Δημόσθενες. „ἐγὼ παρέταξα πάντας εἰς Χαι-
ρώνειαν." οὔκ, ἀλλὰ ἔλιπες μόνος αὐτὸς τὴν ἐκεῖ
τάξιν. „ἐγὼ πολλὰς ὑπὲρ ὑμῶν ἐπρέσβευσα πρε-
σβείας." ἐφ' οἷς οὐκ οἶδ' ὅ τί ποτ' ἂν ἐποίησεν ἢ 13
τίνας ἂν εἶπε λόγους, εἰ συνέβη κατορθῶσαι αὐτῷ
ἃ συνεβούλευσεν, ὃς ἐπὶ τοῖς τοιούτοις ἀτυχήμασι
καὶ κακοῖς ἅπασαν ἐπεληλυθὼς τὴν οἰκουμένην ὅμως
ἀξιοῖ δωρεὰς αὐτῷ δεδόσθαι τὰς μεγίστας, λαμβά-
νειν δῶρα κατὰ τῆς πατρίδος καὶ λέγειν καὶ πράτ-

11. δωροδοκήσαντας pr. A et Z. — προσδέχεσθαι] ἀποδέχεσθαι pr. A, corr. a pr. m. — ὅπου γε Ald.: ὅπου γὰρ codd. (quod def. Wm.).

12. οἷσπερ ἴσως R.: οἷς περισσῶς.

13. ἐφ' αἷς R Fr. — ἐποίησεν NA Bk.: ἐποίει. — κατορθ. αὐτῷ Bk. Schm. cum codd. praeter N. — ὃς Tayl. R.: ὁ. — malim τοσούτοις. — αὐτῷ δεδ. Bk.: αὑτῷ δεδ. — κατὰ . . . τῆς A. — malim πράττειν (ἐξεῖναι).

14 τειν κατα τοῦ δήμου ἃ ἂν βούληται. καὶ Τιμοθέῳ
μέν, ὦ Ἀθηναῖοι, Πελοπόννησον περιπλεύσαντι καὶ
τὴν ἐν Κερκύρᾳ ναυμαχίαν νικήσαντι Λακεδαιμο-
νίους καὶ Κόνωνος υἱεῖ τοῦ τοὺς Ἕλληνας ἐλευθε-
ρώσαντος καὶ Σάμον λαβόντι καὶ Μεθώνην καὶ
Πύδναν καὶ Ποτίδαιαν καὶ πρὸς ταύταις ἑτέρας εἴ-
κοσι πόλεις, οὐκ ἐποιήσασθε ὑπόλογον, οὐδὲ τῆς τότε
ἐνεστώσης κρίσεως οὐδὲ τῶν ὅρκων, οὓς ὀμωμοκότες
92 ἐφέρετε τὴν ψῆφον, | ἀντικατηλλάξασθε τὰς τοιαύ-
τας εὐεργεσίας, ἀλλ' ἑκατὸν ταλάντων ἐτιμήσατε, ὅτι
χρήματ' αὐτὸν Ἀριστοφῶν ἔφη παρὰ Χίων εἰληφέναι
15 καὶ Ῥοδίων· τὸν δὲ κατάπτυστον τοῦτον καὶ Σκύ-
θην — ἐξάγομαι γάρ —, ὃν οὐχ εἷς ἀνὴρ ἀλλὰ
πᾶσα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητήσασα ἀποπέ-
φαγκε χρήματα ἔχειν καθ' ὑμῶν, καὶ ὃς ἀποπέφανται
μισθαρνῶν καὶ δωροδοκῶν κατὰ τῆς πόλεως καὶ
ταῦτα ἐξελήλεγκται, τοῦτον οὐ τιμωρησάμενοι παρά-
δειγμα ποιήσετε τοῖς ἄλλοις; ὃς οὐκ ἐκ τῶν βασιλι-
κῶν μόνον εἰληφὼς χρυσίον φανερός ἐστιν, ἀλλὰ
καὶ ἐξ αὐτῆς τῆς πόλεως κεχρηματισμένος· ὁ νῦν
οὐδὲ τῶν ὑπὸ Ἁρπάλου κομισθέντων χρημάτων εἰς
16 τὴν πόλιν ἀποσχόμενος. καίτοι τί μέρος ἐστὶ τῶν
ὑπὸ Τιμοθέου πεπραγμένων ἀγαθῶν ἃς Δημοσθένης
ἐπρέσβευσεν εἰς Θήβας πρεσβείας; ἢ τίς οὐκ ἂν κα-

14. cf. or. 3, 17. — *Λακεδαιμ. νικήσαντι* or. 3. — *λαβόντι* S. Turr. (ita N et pr. A or. 3): *λαβόντος*. — *οὐκ*] *οὐδὲν τούτων* or. 3, et hic quoque Mr. *οὐδὲν* mavult. — *οὐδὲ τῶν ὅ.*] *καὶ τῶν ὅ.* or. 3. — *φέρετε* in or. 3 NAB. — *ἀντικαταλλάξασθαι* codd. — *αὐτὸν Ἀριστοφῶν* Gruter. Dobr. Turr. coll. or. 3: *αὐτὸς*.

15. *ἀλλ' ἅπασα* mal. Wm. — *ἀποπέφαγκεν* N[m]. — *καὶ ὃς*] *καὶ ὡς* pr. A[d]. — *μόνος* AZ. — *ὁ νῦν*] *καὶ νῦν* mal. Mr.

ταγελάσειεν ὑμῶν τῶν τοῦτο τολμώντων ἀκούειν, ἀντιθεὶς ἐφ' αἷς οὗτος σεμνύνεται πράξεσιν ἐκείνας ἃς Τιμόθεος ὑμᾶς καὶ Κόνων εὐεργέτησαν; ἀλλὰ γὰρ οὐ πρὸς τοῦτο τὸ κάθαρμα παραβάλλειν δεῖ τοὺς ἄξια καὶ τῆς πόλεως καὶ τῶν προγόνων ὑπὲρ ὑμῶν πράξαντας. παρασχόμενος οὖν τὸ ψήφισμα τὸ Τιμοθέῳ γενόμενον πάλιν ἐπὶ τοὺς περὶ τούτου λόγους βαδιοῦμαι. Λέγε.

ΨΗΦΙΣΜΑ.

Ὁ τοιοῦτος ὦ Δημόσθενες πολίτης, ὃς δικαίως 17
ἂν καὶ συγγνώμης καὶ χάριτος ἐτύγχανε παρὰ τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμπεπολιτευμένων, οὐ λόγοις ἀλλ' ἔργοις μεγάλα τὴν πόλιν ἀγαθὰ ποιήσας, καὶ διαμείνας ἐπὶ τῆς (αὐτῆς) πολιτείας καὶ οὐκ ἄνω καὶ κάτω μεταβαλόμενος ὥσπερ σύ, ἐτελεύτησεν οὐ τηλικαύτας τὸν δῆμον αἰτήσας δωρεὰς ὥστε τῶν νόμων εἶναι κρείττων, οὐδ' οἰόμενος δεῖν τοὺς ὀμωμοκότας κατὰ τοὺς νόμους οἴσειν τὴν ψῆφον ἄλλο τι προυργιαίτερον ποιεῖσθαι τῆς εὐσεβείας, ἀλλ' ὑπομένων κατακρίνεσθαι, εἰ δόξειε τοῖς δικασταῖς, καὶ οὐ καιροὺς λέγων, οὐδ' ἕτερα φρονῶν καὶ δημηγορῶν.

Οὐκ ἀποκτενεῖτε, ἄνδρες Ἀθηναῖοι, τὸν μιαρὸν 18

16. τοῦτο] τούτου ci. R. — πράξεις pr. A. — εὐεργέτησαν N^m^ABL Bk.: εὐηργ. — οὐ] ὁ N^m^. — ΨΗΦΙΣΜΑ om. A^d^M.

17. ὦ] ὁ A. — συμπεπολιτευμένων N Fr.: συμπολιτευομένων. — ἐπὶ τῆς (αὐτῆς) πολιτείας Cb. — μεταβαλόμενος cum R. Turr.: μεταβαλομένους A^d^ pr.; μεταβαλλόμενος v. — ὠμωμοκότας A pr. corr.². — vv. ἄλλο-εὐσεβείας add. N et corr.² (?) A Bk. — πουργιαίτερον pr. N. — κατακρίνεσθαι cum Wolf. Turr.: καὶ κρίνεσθαι. — καιροὺς λέγων] cf. § 31.

18. ἄνδρες N^m^AB Turr.: ὦ ἄνδρες. cf. §§ 27.29.41.64.95.107.

τοῦτον ἄνθρωπον, ὃς πρὸς ἑτέροις πολλοῖς καὶ μεγάλοις ἁμαρτήμασι καὶ τὴν Θηβαίων πόλιν περιεῖδεν ἀνάστατον γενομένην, τριακόσια τάλαντα λαβὼν εἰς τὴν ἐκείνων σωτηρίαν παρὰ τοῦ Περσῶν βασιλέως, καὶ Ἀρκάδων ἡκόντων εἰς Ἰσθμὸν καὶ τὴν μὲν παρὰ Ἀντιπάτρου πρεσβείαν ἄπρακτον ἀποστειλάντων, τὴν δὲ παρὰ Θηβαίων τῶν ταλαιπώρων προσδεξαμένων, οἳ κατὰ θάλατταν μόλις ἀφίκοντο πρὸς ἐκείνους, ἱκετηρίαν ἔχοντες καὶ κηρύκεια [συμπεπλεγμένα, ὥς
19 *ἔφασαν, ἐκ τῶν θαλλῶν], ἐροῦντες τοῖς Ἀρκάσιν ὅτι οὐ τὴν πρὸς τοὺς Ἕλληνας φιλίαν Θηβαῖοι διαλῦσαι βουλόμενοι τοῖς πράγμασιν ἐπανέστησαν, οὐδ' ἐναντίον τῶν Ἑλλήνων οὐδὲν πράξοντες, ἀλλὰ τὰ παρ' αὑτοῖς ὑπὸ τῶν Μακεδόνων ἐν τῇ πόλει γινόμενα φέρειν οὐκέτι δυνάμενοι, οὐδὲ τὴν δουλείαν ὑπομένειν, οὐδὲ τὰς ὕβρεις ὁρᾶν τὰς εἰς τὰ ἐλεύθερα σώ-*
20 *ματα γινομένας, — οἷς ἑτοίμων γενομένων τῶν Ἀρκάδων βοηθεῖν, καὶ ἐλεησάντων ἐν οἷς ἦσαν κακοῖς, καὶ φανερὸν ποιησάντων ὅτι τοῖς μὲν σώμασι μετὰ Ἀλεξάνδρου διὰ τοὺς καιροὺς ἀκολουθεῖν ἠναγκάζοντο, ταῖς δ' εὐνοίαις μετὰ Θηβαίων καὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἦσαν, καὶ τοῦ στρατηγοῦ αὐτῶν Ἀστύλου ὠνίου ὄντος, ὥσπερ καὶ Στρατοκλῆς εἶπε, καὶ δέκα τάλαντα αἰτοῦντος ὥστε ἀγαγεῖν τὴν βοή-*

κηρύκεια N Mr.: *κηρύκια*. — vv. *συμπεπλ.* — *θαλλῶν* cum S. (Ep. cr. p. 132) del. Mr.

19. *τοὺς* ante *Ἑλλ.* add. NA Bk. — *παρ' αὑτοῖς* Bk.: *παρ' αὐτοῖς*. — *γινόμενα* ZM Bk.: *γενόμενα*. — *ὁρᾶν τὰς* Bk.: *ὁρῶν τὰς* N[m]; *ὁρῶντες* v.

20. *ἐν οἷς ἦσαν* NA Bk.: *ἐν οἷς ἤκουσαν* (*ἐν οἵοις ἦσαν* susp. Mr.). — vv. *τοῖς μὲν σώμασι — ἦσαν* ex Isocrate expressa: v. Plat. 15. — *τῆς τῶν*] *ταῖς τῶν* pr. A corr.[2].

*θειαν τοῖς Θηβαίοις, καὶ τῶν πρεσβευτῶν ὡς τοῦτον
ἐλθόντων, ὃν ᾔδεσαν ἔχοντα τὸ βασιλικὸν χρυσίον,
καὶ δεομένων καὶ ἱκετευόντων δοῦναι τὰ χρήματα
εἰς τὴν τῆς πόλεως σωτηρίαν, οὐκ ἐτόλμησεν ὁ μια-* 21
*ρὸς οὗτος καὶ ἀσεβὴς καὶ αἰσχροκερδὴς ἀπὸ τῶν
πολλῶν χρημάτων ὧν εἶχε δέκα μόνον τάλαντα δοῦ-
ναι, τοσαύτας ὁρῶν ἐλπίδας ὑποφαινούσας εἰς τὴν
Θηβαίων σωτηρίαν, ἀλλὰ περιεῖδεν ἑτέρους δόντας
τοῦτο τὸ ἀργύριον, ὥσπερ καὶ Στρατοκλῆς εἶπεν,
ὑπὲρ τοῦ πάλιν ἀπελθεῖν οἴκαδε τοὺς ἐξεληλυθότας
Ἀρκάδων καὶ μὴ βοηθῆσαι τοῖς Θηβαίοις. | Ἆρ'* 22
ὑμῖν δοκεῖ μικρῶν κακῶν ἢ τῶν τυχόντων ὅλῃ τῇ 93
*Ἑλλάδι αἴτιος γεγενῆσθαι Δημοσθένης καὶ ἡ τούτου
φιλαργυρία; ἢ προσήκειν αὐτὸν ὑφ' ὑμῶν ἐλέου τινὸς
τυγχάνειν τοιαῦτα διαπεπραγμένον, ἀλλ' οὐ τῆς
ἐσχάτης τιμωρίας καὶ ὑπὲρ τῶν νῦν καὶ ὑπὲρ τῶν
πρότερον γεγενημένων ἀδικημάτων; ἀκούσονται τὴν
κρίσιν, ὦ Ἀθηναῖοι, τὴν ὑφ' ὑμῶν ἐν τῇ τήμερον
ἡμέρᾳ γεγενημένην πάντες ἄνθρωποι· θεωρήσουσιν
ὑμᾶς τοὺς κρίνοντας, ὅπως χρῆσθε τῷ τὰ τοιαῦτα
διαπεπραγμένῳ. ὑμεῖς ἔσθ' οἱ διὰ πολλῷ τῶν ὑπὸ* 23
*τούτου πεπραγμένων ἀδικημάτων ἐλάττω μεγάλας
καὶ ἀπαραιτήτους ἐνίοις ἐπιτεθεικότες τιμωρίας.
ὑμεῖς Μένωνα μὲν τὸν μυλωθρὸν ἀπεκτείνατε, διότι
παῖδα ἐλεύθερον ἐκ Πελλήνης ἔσχεν ἐν τῷ μυλῶνι·
Θεμίστιον δὲ τὸν Ἀφιδναῖον, διότι τὴν Ῥοδίαν κι-*

22. *φιλαργυρία*] *φυλαρχία* ded. vid. pr. A[d]. — *καὶ ὑπὲρ τῶν νῦν* om. N. — malim *κέχρησθε*.

23. *πολλῶν* ZM et pr. A. — *μυλωθρὸν*] cf. Harp. s. v. (*Δείναρχος ἐν τῷ κατὰ Δημ. πολλάκις*, ubi *κατὰ Καλλισθ.* cum Mauss. Mr.; cf. lect. codd. BCG). — *μυλῶνι* S. Turr.: *μύλωνι*. — *ἀφνιδναῖον* pr. A[d].

θαρίστριαν ὕβρισεν Ἐλευσινίοις, θανάτῳ ἐζημιώσατε, Εὐθύμαχον δέ, διότι τὴν Ὀλυνθίαν παιδίσκην
24 ἔστησεν ἐπ' οἰκήματος. διὰ δὲ τοῦτον τὸν προδότην παῖδες καὶ γυναῖκες αἱ Θηβαίων ἐπὶ τὰς σκηνὰς τῶν βαρβάρων διενεμήθησαν, πόλις ἀστυγείτων καὶ σύμμαχος ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται, ἀροῦται καὶ σπείρεται τὸ Θηβαίων ἄστυ τῶν κοινωνησάντων ὑμῖν τοῦ πρὸς Φίλιππον πολέμου. ἀροῦται, φημί, καὶ σπείρεται· καὶ οὐκ ἠλέησε, φημί, ὁ μιαρὸς οὗτος πόλιν οὕτως οἰκτρῶς ἀπολλυμένην, εἰς ἣν ἐπρέσβευσεν ὑφ' ὑμῶν ἀποσταλείς, ἧς ὁμόσπονδος καὶ ὁμοτράπεζος πολλάκις γέγονεν, ἣν αὐτός φησι σύμμαχον ὑμῖν ποιῆσαι, ἀλλὰ πρὸς οὓς εὐτυχοῦντας πολλάκις ἦλθε, τούτους ἀτυχοῦντας προδέδωκεν.
25 κἀκεῖνοι (μὲν), ὡς οἱ πρεσβύτεροι λέγουσι, καταλελυμένης τῆς δημοκρατίας τῆς παρ' ἡμῖν καὶ συνάγοντος ἐν Θήβαις Θρασυβούλου τοὺς φυγάδας ἐπὶ τὴν Φυλῆς κατάληψιν, καὶ Λακεδαιμονίων ἰσχυόντων καὶ ἀπαγορευόντων μηδένα Ἀθηναίων ὑποδέχεσθαι μηδ' ἐκπέμπειν, ὅμως συνέπραττον τῷ δήμῳ

24. παῖδες καὶ γυν. — διενεμήθ.] cf. Demosth. ap. Agatharch. Phot. Bibl. p. 447 a 32: παῖδας δὲ καὶ γυναῖκας τῶν ἡγησαμένων τῆς Ἑλλάδος ἐπὶ τὰς σκηνὰς τῶν βαρβάρων διένειμε. — πόλις ἀστ. — — ἀνήρπασται] ex Aesch. 3, 133. — ἀροῦται — — πολέμου] Stratocli tribuit Agatharch. l. c. v. 19, ubi τῶν συναγωνισαμένων ὑμῖν τὸν πρ. Φ. πόλεμον. — κοινωσάντων A pr. — ὑμῖν NM Turr.: ἡμῖν. — καὶ οὐκ ἠλέησεν, οὐκ ἠλέησε, φημί ci. R. — οὕτως οἰκτρ. ἀπ. N Mr.: οἰκτρ. οὕτως ἀπ. Dobs. cum A[d] corr.?; οἰ. ἀπ. οὕτως v. — ἧς cum Wolf. R.: οἷς, quod retin. Bk. Turr. Mr. — ἐγεγόνει W. — ὑμῖν NM Turr.: ἡμῖν. — in vv. πολλάκις ἦλθε non immerito offendit Kl., qui πολλ. ἐλθὼν ἐκολάκευσε. — τούτοις N.

25. κἀκεῖνοι μὲν ci. Bk. — ἐπὶ Bk.: ἔτι pr. N ABLZM, διά τε rc. N, ἐς v. — ἰσχυόντων cum Wolf. R.: ἰσχόντων. —

τὴν κάθοδον καὶ τὸ πολλάκις ἀνεγνωσμένον παρ' ὑμῖν ἐψηφίσαντο ψήφισμα, μὴ [περι]ορᾶν ἐάν τις ὅπλα διὰ τῆς χώρας [τῆς] Ἀθηναίων ἔχων πορεύηται· οὗτος δὲ ὁ κοινὸν αὐτὸν τοῖς συμμάχοις, ὡς 26
αὐτίκα φήσει, παρέχων οὐδὲν τοιοῦτον ἔπραξεν, οὐδὲ τῶν χρημάτων ὧν ἔλαβεν εἰς τὴν τούτων σωτηρίαν οὐδὲν ἠθέλησε προέσθαι. ὧν ὑμεῖς ὦ ἄνδρες μνησθέντες, καὶ τὰ ἀτυχήματα τὰ γινόμενα διὰ τοὺς προδότας θεωρήσαντες ἐν ταῖς Ὀλυνθίων καὶ Θηβαίων συμφοραῖς, ὑπὲρ ὑμῶν αὐτῶν ὀρθῶς νυνὶ βουλεύεσθε, καὶ τοὺς δωροδοκεῖν ἐθέλοντας κατὰ τῆς πατρίδος ἀνελόντες ἐν ὑμῖν αὐτοῖς καὶ τοῖς θεοῖς τὰς ἐλπίδας τῆς σωτηρίας ἔχετε. μόνως γὰρ 27
οὕτως, ἄνδρες Ἀθηναῖοι, μόνως καὶ τοὺς ἄλλους ποιήσετε βελτίους, ἐὰν τοὺς ἐνδόξους τῶν πονηρῶν ἐξελέγξαντες κολάσητε τῶν ἀδικημάτων ἀξίως. τοὺς μὲν γὰρ τυχόντας τῶν κρινομένων, ὅταν ἁλῶσιν, οὐδεὶς οἶδεν οὐδὲ ζητεῖ πυθέσθαι τί πεπόνθασι· τοὺς δ' ἐνδόξους πάντες πυνθάνονται, καὶ τοὺς δικάζοντας ἐπαινοῦσιν, ὅταν τὸ δίκαιον μὴ πρόωνται ταῖς τῶν κρινομένων δόξαις. Ἀνάγνωθι τὸ ψήφισμα

μὴ περιορᾶν codd.: coll. Plut. Pelop. 6 Lys. 27 μηδέν' ὁρᾶν Schneider, [μὴ] περιορᾶν S. Mr.; τῆς delent S. Mr. (τῆς Θηβαίων ci. R., τῆς αὐτῶν et ipsum ci. S.). Sed praeterea cum Schneidero et Fr. verba traicienda erunt: ἐάν τις Ἀθ. ὅπλα ἔχων διὰ τῆς χ. πορ.; nisi vero omnia haec (μὴ — πορ.) ut interpretamentum inducenda sunt. V. S. Ep. cr. p. 132.

26. φήσει cum Wolf. R.: φησί. — τὴν ante τούτων add. NA Bk. — προδόντας pr. A.

27. Cf. Lys. 14, 12. — ἄνδρες Ἀθ. N Mr.: ὦ ἄνδρες Ἀθ. cf. § 18. — ἐξελέγξαντες] fort. ἐκλέξαντες. — τῶν αδικημάτων N Mr. (ut est § 3; 2, 22): τῆς πονηρίας (quod exstat 3, 11). — ΨΗΦΙΣΜΑ post Θηβαίων, ΜΑΡΤΥΡΙΑΙ post μαρτυρίας transp. Schm.

τὸ Θηβαίων. λέγε τὰς μαρτυρίας. ἀναγίνωσκε τὰς ἐπιστολάς.

ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΙΑΙ. ΕΠΙΣΤΟΛΑΙ.

28 Μισθωτὸς οὗτος, ὦ Ἀθηναῖοι, μισθωτὸς οὗτός ἐστι παλαιός. οὗτος ἦν ὁ τὴν πρεσβείαν τὴν παρὰ Φιλίππου πορευομένην ὡς ἡμᾶς ἐκ Θηβῶν καλέσας, καὶ τοῦ λυθῆναι τὸν πρῶτον πόλεμον αἴτιος γενόμενος· οὗτος Φιλοκράτει συναπελογεῖτο τῷ γράψαντι πρὸς Φίλιππον εἰρήνην, δι' ἣν ὑμεῖς ἐκεῖνον ἐξεβάλετε, καὶ ζεύγη τοῖς πρέσβεσιν ἐμισθώσατο τοῖς μετὰ Ἀντιπάτρου δεῦρ' ἐλθοῦσιν, ἀναλαμβάνων αὐτοὺς καὶ τὶ κολακεύειν τοὺς Μακεδόνας πρῶτος εἰς
29 τὴν πόλιν εἰσάγων. μὴ ἀφῆτε, ἄνδρες Ἀθηναῖοι, μὴ ἀφῆτε τὸν ἐπὶ τοῖς τῆς πόλεως καὶ τῶν ἄλλων Ἑλ-
94 λήνων | ἀτυχήμασιν ἐπιγεγραμμένον ἀτιμώρητον, εἰλημμένον ἐπ' αὐτοφώρῳ δῶρα ἔχοντα κατὰ τῆς πόλεως, μηδὲ τῆς ἀγαθῆς τύχης ὑμᾶς ἐπὶ τὸ βέλτιον ἀγούσης, καὶ τὸν μὲν ἕτερον τῶν τὴν πατρίδα λελυμασμένων ἐκ τῆς πόλεως ἐκβεβληκυίας, τοῦτον δ' ὑμῖν ἀποκτεῖναι παραδούσης, αὐτοὶ τοῖς πᾶσι συμφέρουσιν ἐναντιωθῆτε, ἀλλὰ μετοιωνίσασθε τὰς τῆς πόλεως πράξεις, εἰς τούτους τοὺς ἡγεμόνας τὰς ἀτυ-
30 χίας τρέψαντες. εἰς ποῖον γὰρ καιρὸν ἀποθήσεσθε τοῦτον ὑπολαβόντες χρήσιμον ὑμῖν αὐτοῖς ἔσεσθαι;

28. Φιλίππου N A[d] Bk.: τοῦ Φιλίππου M et v. ante Bk. cf. 74. 80. — ἐκκαλέσας A pr. — συναπελογεῖτο Wm. Mr. coll. Aesch. 3, 62; 2, 14: συνανελογεῖτο codd.; συνανεκοινολ. Ald. (συνεκοινολ. cum R. Bk., συνωμολ. Turr.).
29. ἄνδρες N Mr.: ὦ ἄνδρες. cf. § 18. — τοῖς τῆς NA R.· τῆς (τοῖς ZM). — ὑμᾶς S. Turr.: ἡμᾶς. — ἀτυχίας NM Mr.: ἀποτυχίας.

*ἔχοι τις ἂν εἰπεῖν ἢ ὑμῶν ἢ τῶν περιεστηκότων, εἰς
ποῖα οὗτος πράγματα εἰσελθὼν ἢ ἴδια ἢ κοινὰ οὐκ
ἀνατέτραφεν; οὐκ εἰς μὲν τὴν Ἀριστάρχου οἰκίαν
εἰσελθών, βουλεύσας μετ' ἐκείνου τὸν Νικοδήμῳ θά-
νατον κατασκευασθέντα, ὃν ἴστε πάντες, ἐξέβαλε τὸν
Ἀρίσταρχον ἐπὶ ταῖς αἰσχίσταις αἰτίαις; καὶ τοιούτῳ
φίλῳ Δημοσθένει ἐχρήσατο, ὥστε δαίμονα αὐτῷ τοῦ-
τον καὶ τῶν γεγενημένων συμφορῶν ἡγεμόνα νομί-
σαι προσελθεῖν; οὐκ ἐπειδὴ τῷ δήμῳ συμβουλεύειν* 31
*ἤρξατο, ὡς μήποτε ὤφελεν — ἀφήσω γὰρ αὐτοῦ τὰ
ἴδια· ὁ γὰρ χρόνος οὐκ ἐπιδέχεται μακρολογεῖν —,
ἀγαθὸν μὲν ἁπλῶς εἰπεῖν οὐδὲν γέγονε τῇ πόλει, ἐν
κινδύνοις δὲ καὶ κακοῖς καὶ ἀδοξίᾳ πᾶσα ἡ Ἑλλάς,
οὐ μόνον ἡ πόλις, καθέστηκε; καὶ πλείστοις καιροῖς
ἐν ταῖς δημηγορίαις χρώμενος ἅπαντας ἀφῆκε τοὺς
ὑπὲρ ὑμῶν καιρούς; καὶ ἐν οἷς τις ἂν φιλόπολις ἀνὴρ
καὶ κηδεμὼν τῆς πόλεως προείλετό τι πρᾶξαι, τοσοῦ-
τον ἐδέησεν ὁ δημαγωγὸς καὶ χρήσιμος αὐτίκα φήσων
ὑμῖν γεγενῆσθαι πρᾶξίν τινα προφέρειν, ὥστε καὶ
τοὺς πράττοντας ὑπὲρ ὑμῶν τι τῆς αὐτοῦ τύχης
ἀνέπλησεν. ἀπῆρε Χαρίδημος πρὸς τὸν Περσῶν βα-* 32
*σιλέα, χρήσιμος ὑμῖν οὐ λόγοις ἀλλ' ἔργοις βουλό-
μενος γενέσθαι, καὶ τοῖς ἰδίοις τοῖς ἑαυτοῦ κινδύνοις
ὑμῖν καὶ τοῖς ἄλλοις Ἕλλησι βουλόμενος τὴν σωτηρίαν*

30 init. cf. Aesch. 3, 158. — *ἔχει* N^m. — *εἰς μὲν τὴν Ἀριστ. κτἑ.*] cf. Aesch. 2, 166.

31. *ἐνδέχεται* cum Wm. mal. Mr. — *ἐν* ante *κινδ.* om. N^m et pr. A. — *ἀδοξίαις* N Mr. *πᾶσα* om. N (quod prob. Fr.). — *καιροῖς*] cf. 17 extr. — *καὶ* ante *ἐν οἷς* om. N et pr. A corr.² Fr. — *τῆς πόλεως* add. N Mr. — *ὑμῖν* NLZM R.: *ἡμῖν*.

32. *τὸν Περσῶν*] *τῶν Περσῶν* N. — *τοῖς ἰδίοις τοῖς ἑαυτοῦ*] cf. Isocr. 4, 77; And. 3, 37. — *ὑμῖν* Wolf Bk.: *ἡμῖν*. —

παρασκευάσαι· περιιὼν οὗτος κατὰ τὴν ἀγορὰν ἐλογοποίει καὶ τῶν πραττομένων εἰσεποίει κοινωνὸν αὑτόν· οὕτω κατέστρεψεν ἡ τύχη ταῦτα ὥστ' ἐναντία
33 γίγνεσθαι τοῖς προσδοκωμένοις. ἐξέπλευσεν Ἐφιάλτης μισῶν μὲν τοῦτον, ἀναγκαζόμενος δὲ τῶν πραγμάτων κοινωνεῖν· ἀφείλετο καὶ τοῦτον ἡ τύχη τῆς πόλεως. Εὐθύδικος προῃρεῖτο τὰς ὑπὲρ τοῦ δήμου πράξεις· ἔφη τούτῳ Δημοσθένης φίλος εἶναι· (καὶ) οὗτος ἀπώλετο. καὶ ταῦθ' ὑμεῖς ὁρῶντες καὶ ἐπιστάμενοι πολὺ βέλτιον ἢ ἐγὼ οὐ λογίζεσθε, οὐ σκοπεῖσθε πρὸς ὑμᾶς αὐτούς, τεκμαιρόμενοι τὰ μέλλοντα ἐκ τῶν γεγενημένων, ὅτι οὐδὲν οὗτος χρήσιμος ἀλλ'
34 ἢ τοῖς ἐχθροῖς κατὰ τῆς πόλεως; . . . . . . συστῆσαι παρασκευὴν ἑτέραν οἵα ἔναγχος ἐγένετο, ὅτε Λακεδαιμόνιοι μὲν ἅπαντες ἐξεστράτευσαν, Ἀχαιοὶ δὲ καὶ Ἠλεῖοι τῶν πραγμάτων ἐκοινώνουν, ὑπῆρχον δὲ ξένοι μύριοι, Ἀλέξανδρος δέ, ὡς οἱ λέγοντες, ἐν Ἰνδοῖς ἦν, ἡ δὲ Ἑλλὰς ἅπασα διὰ τοὺς ἐν ἑκάστῃ τῶν πόλεων προδότας ἀχθομένη τοῖς παροῦσι πράγμασιν ἠσμένει μεταβολήν τινα τῶν παρεστηκότων κακῶν.
35 τί οὖν; ἐν τούτοις τοῖς καιροῖς Δημοσθένης τίς ἦν, ὁ τοῦ συμβουλεῦσαι καὶ γράψαι κύριος καὶ φήσων αὐτίκα δὴ μισεῖν τὰ καθεστηκότα πράγματα; ἐῶ γὰρ

περιιὼν NA et cum Wolf. R.: περιὼν B, περὶ ὧν v. — ὥστ' ἐναντία Bait. Turr.: ὡς τἀναντία.

33. (καὶ) οὗτος ci. R. — πολὺ] πολλοὶ pr. N.

34. Lacunam ante συστῆσαι statuit Mr., post ἐγένετο S. — παρασκευὴν N[m] Mr.: κατασκευὴν. — ἔναγχος Cb.: ἐπ' Αἰγὸς (ἐπ' Ἄγιδος cum Wesseling. Mr.). cf. autem Aesch. 3, 165. — ὡς οἱ ἄγχιστα (immo ἐγγύτατα) λέγοντες Bait. coll. Isocr. 9, 28; ὡς ἦσαν οἱ λέγ. ci. R., ὡς σὺ ἔλεγες ci. Mr. — τῶν παρεστ. κακῶν NMr.: τῶν κακῶν τῶν περιεστηκότων (παρεστ. AB Turr.).

*τοὺς ἄλλους κινδύνους. ἔγραψάς τι περὶ τούτων
[κινδύνων]; συνεβούλευσας; ἐπόρισας χρήματα; μι-
κρόν τι χρήσιμος ἐγένου τοῖς ὑπὲρ τῆς κοινῆς σω-
τηρίας πράττουσιν; οὐδ' ὁτιοῦν, ἀλλὰ περιήεις κα-
τασκευάζων λογοποιούς, καὶ παρ' αὑτῷ γράφων
ἐπιστολήν, καὶ καταισχύνων τὴν τῆς πόλεως δόξαν,
ἐκ τῶν δακτύλων ἀναψάμενος περιεπορεύετο, τρυφῶν* 36
*ἐν τοῖς τῆς πόλεως κακοῖς, καὶ ἐπὶ φορείου κατακο-
μιζόμενος τὴν εἰς Πειραιᾶ ὁδόν, καὶ τὰς τῶν πενή-
των ἀπορίας ὀνειδίζων. εἶθ' οὗτος εἰς τοὺς μέλλον-
τας ὑμῖν καιροὺς ἔσται χρήσιμος, παραβεβηκὼς ἅπαν-
τας τοὺς παρεληλυθότας; τοιούτων, ὦ δέσποινα
Ἀθηνᾶ καὶ Ζεῦ σῶτερ, συμβούλων καὶ ἡγεμόνων
ὤφελον τυχεῖν οἱ πολεμήσαντες | τῇ πόλει, καὶ μη-* 95
δεπώποτε βελτιόνων.

Οὐκ ἀναμνήσεσθε ὦ ἄνδρες τὰς τῶν πρεσβυτέ- 37
*ρων πράξεις, οἳ πολλῶν καὶ μεγάλων κινδύνων κα-
ταλαμβανόντων τὴν πόλιν ἀξίως τῆς πατρίδος καὶ
τῆς ἑαυτῶν ἐλευθερίας καὶ τῆς δόξης τῆς δικαίας
ὑπὲρ τῶν τοῦ δήμου συμφερόντων ἐκινδύνευσαν; ὧν
τοὺς μὲν ἀρχαίους ἐκείνους μακρὸν ἂν εἴη λέγειν,*

35. *κινδύνους* del. Fr.; *καιρούς* mal. Mr. cf. Demad. § 11. — *τούτων* [*κινδ.*] ci. Bk. Fr.: *του τῶν κινδ.* (*τούτων τῶν κινδ.* Turr. cum Wm.; *τούτων τῶν καιρῶν* ci. Mr.). — *περιήει* Fr. — vv. *καὶ παρ' αὑτῷ γρ.* (*γεγραφὼς* ci. Mr.) *ἐπ.* post *δόξαν* transp. Mr. — *ἐπιστολάς* malim coll. Aesch. 3, 164: *τὰς ἐπιστολὰς ἃς ἐξηρτημένος ἐκ τῶν δακτύλων περιήεις.*

36. *περιεπορεύετο* .... Fr. — *φορίου* N. — *ὄφελον* N et pr. A corr.[2]. — *τῇ πόλει* ci. Steph. Wolf.: *τὴν πόλιν.* — *μηδεπώποτε* scripsi: *μηδέποτε.*

37. *πολλῶν καὶ μεγάλων* scripsi: *μεγάλων καὶ πολλῶν.* cf. ad § 109. — *δικαίας*] *οἰκείας* Markl., *παλαιᾶς* Bk., *ἀρχαίας* S., *ἰδίας* Mr. — *δήμου* N Mr.: *δημοσίου.* —

*Ἀριστείδην καὶ Θεμιστοκλέα, τοὺς ὀρθώσαντας τὰ
τείχη τῆς πόλεως καὶ τοὺς φόρους εἰς ἀκρόπολιν
ἀνενεγκόντας παρ' ἑκόντων καὶ βουλομένων τῶν
38 Ἑλλήνων, ἀλλὰ ταυτὶ τὰ μικρὸν πρὸ τῆς ἡμετέρας
ἡλικίας γεγενημένα ὑπὸ Κεφάλου τοῦ ῥήτορος καὶ
Θράσωνος τοῦ Ἑρχιέως καὶ Ἠλείου καὶ Φορμισίου
καὶ ἑτέρων ἀνδρῶν ἀγαθῶν, ὧν ἐνίων ἔτι καὶ νῦν
ζῇ (καὶ) τὰ σώματα. τούτων γὰρ οἱ μὲν φρουρου-
μένης ὑπὸ Λακεδαιμονίων τῆς Καδμείας βοηθήσαν-
τες τοῖς εἰς Θήβας κατιοῦσι τῶν φυγάδων τοῖς
ἰδίοις κινδύνοις ἠλευθέρωσαν πόλιν ἀστυγείτονα
39 καὶ πολὺν χρόνον δουλεύουσαν, οἱ δὲ πείσαντες
ἐξελθεῖν ὑμῶν τοὺς προγόνους, Κεφάλου τὸ ψήφισμα
γράψαντος, ὃς οὐ καταπλαγεὶς τὴν Λακεδαιμονίων
δύναμιν, οὐδὲ λογισάμενος ὅτι τὸ κινδυνεύειν καὶ
τὸ γράφειν ὑπὲρ τῆς πόλεως ἐπισφαλές ἐστιν, ἔγρα-
ψεν ἐξιέναι βοηθήσοντας Ἀθηναίους τοῖς κατειλη-
φόσι τῶν φυγάδων Θήβας· καὶ ἐξελθόντων ἐκεῖσε
τῶν ὑμετέρων πατέρων ὀλίγαις ἡμέραις ἐξεβλήθη ὁ
Λακεδαιμονίων φρούραρχος, ἠλευθέρωντο Θηβαῖοι,
διεπέπρακτο ἡ πόλις ἡ ὑμετέρα ἄξια τῶν προγόνων.
40 ἐκεῖνοι ἦσαν, ἐκεῖνοι ὦ Ἀθηναῖοι ἄξιοι σύμβουλοι
καὶ ἡγεμόνες ὑμῶν καὶ τοῦ δήμου, μὰ Δί' οὐ τὰ*

mal. *ἀνορθώσαντας*.

38. *Ἑρχιέως* W.: *Ἐρχιέως*. — *Ἠλείου* cum R. Turr.: *Ἠλιοῦ* N, *Ἡλίου* v. — *καὶ Φορμ.* Bgk. Turr.: *Φορμισίου* (*Φορμησίου* N). — *καὶ* ante *τὰ σωμ.* addidi; cf. autem Aesch. 3, 138. — *Καδμίας* N.

39. *τὸ ψήφ.* Dobr. coll. Aesch. 3, 187; Din. 1 § 63: *τούτου ψήφ.* (*τοῦτο τὸ ψ.* ci. Bk.). — *οὐ* ante *κατ.* om. N. — *τὸ κινδυν.* om. mal. Wolf.; *τὸ συμβουλεύειν* Emp.; Dem. Chers. 68 cf. Mr. — *τῶν* ante *φυγ.* om. pr. A. — *ἐκεῖσε* NA Bk.: *ἐκεῖ*. — *Λακεδ.* N Fr.: *τῶν Λακεδ.* — *ἠλευθέρωντο* ci. Bk.: *ἠλευθεροῦντο*. — *ἡμετέρα* N[m], quod praefert Wm.

τοιαῦτα κινάδη, οἳ πεποιήκασι μὲν οὐδὲν οὐδὲ πράξουσιν ἀγαθὸν ὑπὲρ τῆς πόλεως, τὴν δὲ αὑτῶν ἀσφάλειαν τηροῦντες καὶ πανταχόθεν ἀργυριζόμενοι καὶ πεποιηκότες τὴν πόλιν ἀδοξοτέραν ἑαυτῶν, καὶ νῦν εἰλημμένοι δῶρα καθ' ὑμῶν εἰληφότες, παρακρούονθ' ὑμᾶς, καὶ ἀξιοῦσι τοιοῦτοι γεγενημένοι περὶ τῆς ἑαυτῶν πλεονεξίας παραγγέλλειν· οὓς χρῆν τεθνάναι πάλαι κατὰ τὸ ἑαυτῶν ψήφισμα, τοιαῦτα διαπεπραγμένους.

Οὐκ αἰσχύνεσθε, ἄνδρες Ἀθηναῖοι, τὴν κατὰ 41
Δημοσθένους τιμωρίαν ἐκ τῶν ἡμετέρων λόγων μόνων ἡγούμενοι δεῖν κρίνειν; οὐκ ἴστε τοῦτον αὐτοὶ δωροδόκον ὄντα καὶ κλέπτην καὶ προδότην τῶν φίλων καὶ τῆς πόλεως ἀνάξιον καὶ αὐτὸν καὶ τὴν περὶ τοῦτον τύχην γεγενημένην; ἀπὸ ποίων ψηφισμάτων
ἢ ποίων νόμων οὗτος οὐκ εἴληφεν ἀργύριον; εἰσί 42
τινες ἐν τῷ δικαστηρίῳ τῶν ἐν τοῖς τριακοσίοις γεγενημένων, ὅθ' οὗτος ἐτίθει τὸν περὶ τῶν τριηράρχων νόμον; οὐ φράσετε τοῖς πλησίον ὅτι τρία τάλαντα λαβὼν μετέγραφε καὶ μετεσκεύαζε τὸν νόμον καθ' ἑκάστην ἐκκλησίαν, καὶ τὰ μὲν ἐπώλει ὧν εἰλήφει
τὴν τιμήν, τὰ δ' ἀποδόμενος οὐκ ἐβεβαίου; εἴπατέ 43
μοι πρὸς Διός, ὦ ἄνδρες, προῖκα τοῦτον οἴεσθε γράψαι Διφίλῳ τὴν ἐν πρυτανείῳ σίτησιν καὶ τὴν

40. τὰ ante τοιαῦτα om. pr. A. — πεποιήκασιν N. — πανταχόθεν scr.: πάντοθεν. — παρακρούονθ' N: παρακρούονται. — χρῆν cum Bk. Dobr. Turr.: χρή. — πάλαι κατὰ τὸ ἑ. ψ. N Mr.: κατὰ τὸ ἑ. ψ. πάλαι.

41. ἡμετέρων A corr.[2]. — μόνον Ald. et v. ante Bk. — τῶν φίλων N Turr.: φίλων. — ἢ ποίων νόμ. οὗτος N Mr.: οὗτος ἢ ποίων νόμων.

43. Διιφίλῳ NABLZM. —

*εἰς τὴν ἀγορὰν ἀνατεθησομένην εἰκόνα; ἢ τὸ ποιῆ-
σαι πολίτας ὑμῖν Χαιρέφιλον καὶ Φείδωνα καὶ
Πάμφιλον καὶ Φείδιππον, ἢ πάλιν Ἐπιγένην καὶ
Κόνωνα τοὺς τραπεζίτας; ἢ τὸ χαλκοῦς ἐν ἀγορᾷ
στῆσαι Βιρισάδην καὶ Σάτυρον καὶ Γόργιππον τοὺς
ἐκ τοῦ Πόντου τυράννους, παρ' ὧν αὐτῷ χίλιοι μέ-
διμνοι τοῦ ἐνιαυτοῦ πυρῶν ἀποστέλλονται, τῷ οὐδ'
44 ὅποι καταφύγῃ αὐτίκα φήσοντι εἶναι; ἢ τὸ γράψαι
Ταυροσθένην Ἀθηναῖον εἶναι (τὸν) τοὺς μὲν αὑτοῦ
πολίτας καταδουλωσάμενον, τῆς δ' Εὐβοίας ὅλης μετὰ
τοῦ ἀδελφοῦ Καλλίου προδότην Φιλίππῳ γεγενημέ-
νον; ὃν οὐκ ἐῶσιν οἱ νόμοι τῆς Ἀθηναίων χώρας
ἐπιβαίνειν, εἰ δὲ μή, τοῖς αὐτοῖς ἔνοχον εἶναι κε-
λεύουσιν οἷσπερ ἄν τις τῶν φευγόντων ἐξ Ἀρείου
πάγου κατίῃ. καὶ τοῦτον οὗτος ὁ δημοτικὸς ὑμέτε-
45 ρον ἔγραψε πολίτην εἶναι. περὶ τούτων οὖν μάρτυ-
ρας ὑμῖν δεῖ καλεῖν, ἢ περὶ τῶν ἄλλων ὅσους οὗτος
γέγραφε προξένους εἶναι καὶ Ἀθηναίους; (ἆρ' οὖν),
96 πρὸς τῆς | Ἀθηνᾶς, οἴεσθε αὐτὸν ἀργύριον μὲν χαί-
ρειν λαμβάνοντα, χρυσίου δ' εἴκοσι τάλαντα οὐκ ἂν
λαβεῖν; ἢ κατὰ μικρὸν μὲν δωροδοκεῖν, ἀθρόον δ'
οὐκ ἂν προσδέξασθαι τοσοῦτον λῆμμα; ἢ τὴν ἐξ*

ἀνατεθησομένην R. ci.: *ἀναθησομένην*. — *ποιῆσαι πολ. ὑμῖν* W.: *ποι. π. ὑμᾶς* (*ποιήσασθαι πολ. ὑμᾶς* Wm.). — *Φείδιππον* Bgk. Ep. ad Schill. p. 155 coll. Ath. IX p. 407 E: *Φίλιππον*. — *ἢ πάλιν* N[m]: *καὶ πάλιν*. — *Βηρισάδην* Ald.; vera scriptura est *Παιρισάδης*, cf. Boeckh. C. J. I p. 92. — *ἐκ τοῦ Πόντου* Bait. Turr.: *ἐκ τούτων* codd., *ἐχθίστους* Ald. Bk. Mr. — *μέδιμνοι* Gibbon. ap. Dobr. Wm. Turr.: *μόδιοι* (del. Mr.). — *ὅποι* N Turr.: *ὅπῃ*. cf. Aesch. 3, 209. — *εἰδέναι* ci. Bk.

44. *γράψαι* del. cum R. Turr. — (*τὸν*) *τοὺς* Bait. — *αὑτοῦ* A Bk.: *αὐτοῦ* N, *αὐτῷ* v. — *κατίοι* ABLZM.

45. *τοσοῦτον*] *τοῦτον* N et pr. A corr.[2].

Ἀρείου πάγου βουλὴν (διὰ) Δημοσθένην καὶ Δημά-
δην καὶ Κηφισοφῶντα ζητήσασαν· ἓξ μῆνας ἀδίκως
εἰς ὑμᾶς πεποιῆσθαι τὰς ἀποφάσεις;

Πολλοί, ὦ ἄνδρες, πολλοὶ τῶν πολιτῶν καὶ τῶν 46
ἄλλων Ἑλλήνων, ὅπερ καὶ πρότερον εἶπον, θεωροῦσιν
ὑμᾶς πῶς τοῦτον δικάσετε τὸν ἀγῶνα, καὶ πότερον
εἰσαγωγίμους καὶ τὰς τῶν ἄλλων δωροδοκίας ποιή-
σετε, ἢ ἀνέδην ἐξέσται δῶρα λαμβάνειν καθ' ὑμῶν,
καὶ τὰ πρότερον δοκοῦντα πιστὰ καὶ βέβαια εἶναι
νῦν ἄπιστα διὰ τὴν Δημοσθένους κρίσιν γενήσεται,
ὃν ἐκ τῶν ἄλλων προσῆκεν ἀπολωλέναι τῶν πεπολι-
τευμένων αὐτῷ, ὃς ἁπάσαις ταῖς ἀραῖς ταῖς ἐν τῇ
πόλει γινομέναις ἔνοχος καθέστηκεν, ἐπιωρκηκὼς μὲν 47
τὰς σεμνὰς θεὰς ἐν Ἀρείῳ πάγῳ καὶ τοὺς ἄλλους
θεοὺς οὓς ἐκεῖ διόμνυσθαι νόμιμόν ἐστι, κατάρατος
δὲ καθ' ἑκάστην ἐκκλησίαν γινόμενος, ἐξεληλεγμένος
(μὲν) δῶρα κατὰ τῆς πόλεως εἰληφώς, ἐξηπατηκὼς
δὲ καὶ τὸν δῆμον καὶ τὴν βουλὴν παρὰ τὴν ἀράν,
καὶ ἕτερα μὲν λέγων ἕτερα δὲ φρονῶν, ἰδίᾳ δὲ συμ-
βεβουλευκὼς Ἀριστάρχῳ δεινὰς καὶ παρανόμους συμ-
βουλάς· ἀνθ' ὧν — εἴπερ ἔστι που δικαία τιμωρία
κατὰ τῶν ἐπιόρκων καὶ πονηρῶν, ὥσπερ ἔστι —
δώσει δίκην οὗτος ἐν τῇ τήμερον ἡμέρᾳ. ἀκούσατε,
ὦ ἄνδρες δικασταί, τῆς ἀρᾶς.

ΑΡΑ.

46. mal. (καὶ) τῶν πολιτῶν. — πότερον] πρότερον pr. A. — τὰς κατὰ τῶν ἄλλων N. — ἀναίδην N. — ὃν] ὧν N et pr. A. — γινομέναις cum Bk. Turr.: γενομέναις.

47. ἐπιορκηκὼς pr. A corr.[2]. — γινόμενος corr. A[d] Bk.: γενόμενος. — καὶ ante τὸν δῆμον om. pr. A. — ἕτερα μὲν λέγων κτέ.] cf. Dem. 18, 282. — ω ἄνδρες N: ἄνδρες. — τῆς ἀρᾶς NA Bk.: τὰς ἀράς.

48 *Ἀλλ' ὅμως, ἄνδρες δικασταί, οὕτω Δημοσθένης
τῷ ψεύδεσθαι καὶ μηδὲν ὑγιὲς λέγειν ἑτοίμως χρῆται,
καὶ οὔτε αἰσχύνης οὔτε ἐλέγχου οὔτε ἀρᾶς οὐδὲν
αὐτῷ μέλει, ὥστε καὶ περὶ ἐμοῦ τολμήσει λέγειν, ὡς
ἀκούω, ὡς ἄρα κἀμοῦ κατέγνω πρότερον ἡ βουλή,
καὶ ποιῶ πάντων ἀτοπώτατον, ὡς οὗτός φησι, πρό-
τερον μὲν ἐναντίον τῇ τῆς βουλῆς ἀποφάσει ἀγῶνα
ἀπολογούμενος ὑπὲρ ἐμαυτοῦ, νυνὶ δὲ συνηγορῶν
αὐτῇ, κατηγορῶν τούτου, περὶ τῆς γεγενημένης ἀπο-
49 φάσεως· πρᾶγμα κατασκευάζων οὐ γεγενημένον, ἀλλὰ
ψεύδεσθαι πρὸς ὑμᾶς τολμῶν. ἵν' οὖν ἐὰν ἐπὶ τοῦ-
τον ἴῃ τὸν λόγον, μὴ ἐπιτρέπητε αὐτῷ, ἀλλ' εἰδῆτε
ἀκριβῶς ὅτι οὔτε με ἀπέφηνεν ἡ βουλὴ οὔτ' ἐμέλ-
λησεν, ἠδικήθην δὲ ὑφ' ἑνὸς ἀνθρώπου πονηροῦ καὶ
δίκην δεδωκότος παρ' ὑμῖν, ἀκούσατέ μου βραχέα·
ἔπειτ' ἐπὶ τοῦτον πάλιν βαδιοῦμαι.*

50 *Ἀνάγκη τὴν βουλήν, ὦ ἄνδρες, τὴν ἐξ Ἀρείου
πάγου κατὰ δύο τρόπους ποιεῖσθαι τὰς ἀποφάσεις
πάσας. τίνας τούτους; ἤτοι αὐτὴν προελομένην, ἢ
ζητήσασαν τοῦ δήμου προστάξαντος αὐτῇ. χωρὶς
τούτων οὐκ ἔστιν ὅντινα τρόπον ποιήσαιτ' ἄν. εἰ
μὲν τοίνυν φῄς, ὦ μιαρὸν σὺ θηρίον, τοῦ δήμου
προστάξαντος ζητήσασαν τὴν βουλὴν περὶ ἐμοῦ ποιή-
51 σασθαι τὴν ἀπόφασιν, δεῖξον τὸ ψήφισμα καὶ τίνες
ἐγένοντό μου κατήγοροι γενομένης τῆς ἀποφάσεως,*

48. *μέλει*] *μέλλει* pr. A[d] Ald. — *τολμήσει* NAB Bk.: *τολμῆσαι.*
49. *πρὸς ὑμᾶς* Turr.: *πρός τινας.* cf. *τολμῆσαι* § 48. — *ἐπιτρέποιτε* A. — *ἐμέλησεν* NA[d]. — *βραχεῖα* A pr.
50. *ἢ ζητήσ. τοῦ δήμου* Kl.: *καὶ ζητήσ., ἢ τοῦ δήμου.* — *ποιήσαιτ' ἂν* Bk. in Add.: *ποιήσειεν* (*ὅντιν' ἂν τρ. ποιήσειεν* Turr.).

ὥσπερ νῦν ἀμφότερα γέγονε, καὶ ψήφισμα καθ' ὃ
ἐζήτησεν ἡ βουλή, καὶ κατήγοροι χειροτονήσαντος
τοῦ δήμου, παρ' ὧν νῦν οἱ δικασταὶ τἀδικήματα
πυνθάνονται. κἂν ᾖ ταῦτα ἀληθῆ, ἀποθνήσκειν
ἕτοιμός εἰμι. εἰ δ' αὐτὴν προελομένην ἀποφῆναί με
φῄς, παράσχου μάρτυρας τοὺς Ἀρεοπαγίτας, ὥσπερ
ἐγὼ παρέξομαι ὅτι οὐκ ἀπεφάνθην, καταψευσάμε- 52
νον μέντοι κἀμοῦ καὶ τῆς βουλῆς ...... ὥσπερ σὺ καὶ
πονηρὸν καὶ προδότην, ὃν εἰσαγγείλας καὶ ἐξελέγξας
ἐν πεντακοσίοις καὶ δισχιλίοις τῶν πολιτῶν ὅτι μισθώ-
σας αὐτὸν Πυθοκλεῖ κατ' ἐμοῦ ταῦτ' ἔπραξεν, ἐτι-
μωρησάμην μετὰ τῶν τότε δικασάντων. Λαβέ μοι
σὺ τὴν μαρτυρίαν, ἣν καὶ πρότερον παρεσχόμην
μαρτυρουμένην τοῖς δικασταῖς καὶ οὐδεὶς ἐπεσκή-
ψατο ὡς ψευδεῖ οὔσῃ, ἣν καὶ νῦν παρέξομαι. λέγε
τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

Εἶτ' οὐ δεινόν, ὦ Ἀθηναῖοι, εἰ ὅτι μὲν εἷς ἀνὴρ 53
ἔφησε Πιστίας Ἀρεοπαγίτης ὢν ἀδικεῖν με, καταψευ-
δόμενος καὶ ἐμοῦ | καὶ τῆς βουλῆς, ἴσχυσεν ἂν τὸ 97
ψεῦδος τῆς ἀληθείας μᾶλλον, καὶ διὰ τὴν ἀσθένειαν

51. με] μοι BLZM. — ἀπεφάνθην AN Bk.: ἐφάνθην.

52. καὶ ante προδότην add. N Mr. (ci. Wm.). — ὃν add. ante εἰσαγγ. N et pr. A, quod non displicet Mr., cui ante καταψ. quaedam intercidisse videntur. Fort. βουλῆς (ἕνα ἄνδρα ἐχθρὸν ἔσχον, μιαρὸν) ὥσπερ σὺ κτέ. Iam. R. μιαρὸν h. l. addi voluerat. — καὶ δισχιλίοις add. NA Bk. — Πυθοκλεῖ N Mr.: Τιμοκλεῖ. — ἣν καὶ νῦν] καὶ νῦν ci. R.

53. ὅτι] ὅτε Markl. — Πιστίας] Oratio κατὰ Πιστίου εἰςαγγελία exstitit inter Dinarcheas (Dion. Din. 10). — ἀδικεῖν με] ἀδικεῖ μὲν LZM, ἀδικῇ μὲν B. — καὶ ἐμοῦ A pr. corr.[2]: κατ' ἐμοῦ N, ἐμοῦ ZM, κἀμοῦ v.

τὴν τότε καὶ τὴν ἐρημίαν τὴν ἐμὴν ἐπιστεύθησαν αἱ κατ' ἐμοῦ ψευδεῖς γινόμεναι κατασκευαί· ἐπειδὴ δὲ τἀληθὲς παρὰ πάσης τῆς ἐξ Ἀρείου πάγου βουλῆς ὁμολογεῖται, Δημοσθένην εἰληφέναι εἴκοσι τάλαντα χρυσίου καθ' ὑμῶν καὶ ταῦτα πεποιηκέτα ἀδικεῖν, καὶ ὁ δημαγωγὸς ὑμῖν, ἐν ᾧ τὰς ἐλπίδας ἔχουσί τι-
54 νες, ἐπ' αὐτρφώρῳ χρήματα λαμβάνων εἴληπται, νῦν τὰ νόμιμα τἀκεῖθεν καὶ τὰ δίκαια καὶ τἀληθῆ ἀσθενέστερα γενήσεται τῶν Δημοσθένους λόγων, καὶ ἰσχύσει μᾶλλον τῆς ἀληθείας ἡ παρὰ τούτου ῥηθησομένη κατὰ τοῦ συνεδρίου διαβολή, ὡς ἄρα πολλοὺς ἡ βουλὴ ἀποπέφαγκεν ἀδικεῖν τὸν δῆμον, οἳ ἀποπεφεύγασιν εἰσελθόντες εἰς τὸ δικαστήριον, καὶ ἡ βουλὴ ἐπ' ἐνίων τὸ πέμπτον μέρος οὐ μετείληφε τῶν ψήφων; τοῦτο δὲ ὃν τρόπον γίνεται, ῥᾳδίως ἅπαντες μα-
55 θήσεσθε. ἡ βουλή, ὦ ἄνδρες, ζητεῖ τὰ προσταχθέντα ὑφ' ὑμῶν καὶ (ἀποφαίνει) τὰ γεγενημένα παρ' αὐτοῖς ἀδικήματα οὐχ ὡς ὑμεῖς — καί μοι μὴ ὀργισθῆτε — δικάζειν ἐνίοτε εἴθισθε, τῇ συγγνώμῃ πλέον ἢ τῷ δικαίῳ ἀπονέμοντες, ἀλλ' ἁπλῶς τὸν ἔνοχον ὄντα τοῖς ζητουμένοις καὶ τὸν ὁποιονοῦν ἠδικηκότα (παρὰ) τὰ πάτρια, νομίζουσα τὸν ἐν τοῖς μικροῖς συνεθιζόμενον ἀδικεῖν, τοῦτον τὰ μεγάλα τῶν ἀδικημά-
56 των εὐχερέστερον προσδέξεσθαι. διόπερ τὸν παρ' αὐτῶν ἀποστερήσαντα τὸ ναῦλον τὸν πορθμέα ζημιώσασα πρὸς ὑμᾶς ἀπέφηνε· πάλιν τὸν τὴν πεντε-

54. ἀποφεύγασιν N.
55. αὑτοῖς Bk.: αὐτοῖς. — συγγνώμῃ NB et corr. a pr. m. A Bk.: γνώμῃ. — (παρὰ) addidi coll. § 56; (κατὰ) τὰ π. Dobr. Turr. (scil. ζητεῖ); ἀποφαίνει κατὰ addi mal. Mr. Verbum hoc etiam Wolf. post ζητουμ. addi iusserat.
56. πενταδραχμίαν N. —

δραχμίαν ἐπὶ τῷ τοῦ μὴ παρόντος ὀνόματι λαβεῖν ἀξιώσαντα, καὶ τοῦτον ὑμῖν ἀπέφηνε, καὶ τὸν τὴν μερίδα τὴν ἐξ Ἀρείου πάγου τολμήσαντα ἀποδόσθαι παρὰ τὰ νόμιμα τὸν αὐτὸν τρόπον ζημιώσασα ἐξέ-
57 βαλε. τούτους ὑμεῖς κρίναντες ἀφήκατε οὐ τῆς ἐξ Ἀρείου πάγου βουλῆς καταγινώσκοντες ψεύδεσθαι, ἀλλὰ τῇ συγγνώμῃ μᾶλλον ἢ τῷ δικαίῳ προσθέμενοι, καὶ τὴν τιμωρίαν μείζω νομίζοντες εἶναι τῆς ὑπὸ τῶν κρινομένων γεγενημένης ἁμαρτίας. ἦ που ἄρα ἡ βουλή, Δημόσθενες, τὰ ψευδῆ ἀπέφηνεν; οὐ δήπου. τούτους μέντοι, ὦ ἄνδρες, καὶ τοιούτους ἑτέρους ἀδικεῖν παρ' ἑαυτοῖς ἀποφηνάσης τῆς βου-
58 λῆς ὑμεῖς ἀφήκατε. Πολύευκτον δὲ τὸν Κυδαντίδην τοῦ δήμου προστάξαντος ζητῆσαι τὴν βουλήν, εἰ συνέρχεται τοῖς φυγάσιν εἰς Μέγαρα, καὶ ζητήσασαν ἀποφῆναι πρὸς ὑμᾶς, ἀπέφηνεν ἡ βουλὴ συνιέναι. κατηγόρους εἵλεσθε κατὰ τὸν νόμον, εἰσῆλθεν εἰς τὸ δικαστήριον, ἀπελύσαθ' ὑμεῖς, ὁμολογοῦντος τοῦ Πολυεύκτου βαδίζειν εἰς Μέγαρα ὡς τὸν Νικοφάνην· ἔχειν γὰρ τὴν αὑτοῦ μητέρα τοῦτον. οὐδὲν οὖν ἄτοπον οὐδὲ δεινὸν ἐφαίνετο ὑμῖν ποιεῖν τῷ τῆς μητρὸς ἀνδρὶ διαλεγόμενος ἠτυχηκότι καὶ συνευπορῶν, καθ' ὅσον δυνατὸς ἦν, ἀπεστερημένῳ τῆς πα-
59 τρίδος. αὕτη, Δημόσθενες, τῆς βουλῆς ἡ ἀπόφασις οὐκ ἐξηλέγχθη ψευδὴς οὖσα, ἀληθινῆς δὲ αὐτῆς οὔσης ἔδοξε τοῖς δικασταῖς ἀφιέναι τὸν Πολύευκτον·

παρὰ ante τὰ νόμιμα add. NAB Bk. (ci. Wolf.).
57. παρ' ἑαυτοῖς scripsi: παρ' ἑαυτῆς (π. ἑαυτῇ R.). cf. § 55.
58. τὸν νόμον N Mr.: τοὺς νόμους. — τοῦ ante Πολ. add. N Mr. — ὑμῖν ποιεῖν N Mr.: ποιεῖν ὑμῖν.
59. ἐξελέγχθη N. —

τὸ μὲν γὰρ ἀληθὲς τῇ βουλῇ προσετάχθη ζητεῖν, τὸ δὲ συγγνώμης ἄξιον, φημί, τὸ δικαστήριον ἔκρινε. διὰ τοῦτο οὐ πιστευτέον τῇ βουλῇ περὶ τῶν γινομένων ἀποφάσεων, ἐπειδὴ σὲ καὶ τοὺς μετὰ σοῦ τὸ χρυσίον ἔχοντας ἀποπέφαγκε; δεινὸν μέντ' ἂν εἴη.
60 *δεῖξον γὰρ δὴ τοῖς δικασταῖς σὺ Δημόσθενες νυνὶ ὡς τούτων τι τῶν ἁμαρτημάτων ὅμοιόν ἐστι τοῖς σοῖς ἀδικήμασι, καὶ ὡς τὸ δῶρα λαμβάνειν κατὰ τῆς πατρίδος συγγνώμης ἐστὶν ἄξιον, ὥστε ἀποφύγοις ἂν παρὰ τούτοις εἰκότως. ἀλλ' οἱ νόμοι περὶ μὲν τῶν ἄλλων ἀδικημάτων τῶν εἰς ἀργυρίου λόγον ἀνηκόντων διπλῆν τὴν βλάβην ὀφείλειν κελεύουσι, περὶ δὲ τῶν δωροδοκούντων δύο μόνον τιμήματα πεποιήκασιν, ἢ θάνατον, ἵνα ταύτης τυχὼν τῆς ζημίας ὁ λαβὼν παράδειγμα γένηται τοῖς ἄλλοις, ἢ δεκαπλοῦν τοῦ ἐξ ἀρχῆς λήμματος τὸ τίμημα [τῶν δώρων], ἵνα μὴ λυσιτελήσῃ τοῖς τοῦτο τολμῶσι ποιεῖν.*

61 | *Ἢ τοῦτο μὲν οὐκ ἐπιχειρήσεις λέγειν, ὅτι δὲ*
98 *τῶν πρότερον ἀποφανθέντων ὑπὸ τῆς βουλῆς τοῖς μὲν ἄλλοις ὡμολογηκέναι συμβέβηκεν ἀξίαν εἶναι*

φημί] *ἢ μὴ* cum R. Bk.: *φημί* revocarunt Turr. Mr. cum Wm. — *διὰ τοῦτ'* (*οὖν*) Hi. — ***γενομένων*** ABZM Bk.; ***γιν.*** tuetur Fr.

60. *δὴ* add. N Mr. — ***νυνὶ*** NAB Bk.: ***τανῦν*** ZM et pr. L, *τὰ* ***νυνὶ*** v. — *ἁμαρτημάτων* S. Mr.: *ἡμαρτηκότων*. cf. v. l. Ant. 5, 93. — *καὶ ὡς*] mal. *ἢ ὡς*. — *ἀλλ' οἱ νόμοι κτἑ.*] cf. Hyp. I, col. 20. — *ὀφείλειν*] *ὀφλεῖν* Meier. — *γίνηται* N Bk.; A litt. *η* a m. sec. habet. — ***τῶν δώρων*** abesse mal. S. coll. 2, 17. — *λυσιτελήσῃ* scripsi: *λυσιτελὴς ᾖ* N et corr. A[d]; *λυσιτελὲς ᾖ* v.

61. ***πρότερον*** cum Scal. R.: ***προτέρων***. malim autem *πώποτε*. — *ἀξίαν*] *ἀληθῆ* s. *ἀξιόπιστον* ci. Wolf., ***δικαίαν*** Mr.; *ἀξίαν εἶναι τῆς βουλῆς τὴν ζ.* Scheibe, quorum nihil probo. —

τὴν τῆς βουλῆς ζήτησιν, σοὶ δὲ μόνῳ [τὰ] περὶ αὐτῆς ἠναντιῶσθαι; ἀλλὰ μόνος σὺ τῶν πώποτε ἀποπεφασμένων ἠξίωσας ἑκὼν σεαυτῷ τούτους κριτὰς καὶ ζητητὰς γενέσθαι, καὶ ἔγραψας κατὰ σεαυτοῦ τὸ ψήφισμα, καὶ τὸν δῆμον ἐποιήσω μάρτυρα τῶν ὡμολογημένων, ὁρισάμενος σεαυτῷ ζημίαν εἶναι θάνατον, ἐάν (σ') ἀποφήνῃ ἡ βουλὴ τῶν χρημάτων εἰληφότα τι τῶν εἰς τὴν χώραν ὑπὸ Ἁρπάλου κομισθέντων.
ἀλλὰ μὴν πρότερον ἔγραψας σὺ ὦ Δημόσθενες κατὰ 62
πάντων τούτων καὶ τῶν ἄλλων Ἀθηναίων κυρίαν εἶναι τὴν ἐξ Ἀρείου πάγου βουλὴν κολάσαι τὸν παρὰ τοὺς νόμους πλημμελοῦντα, χρωμένην τοῖς πατρίοις νόμοις· καὶ παρέδωκας σὺ καὶ ἐνεχείρισας τὴν πόλιν ἅπασαν ταύτῃ, ἣν αὐτίκα φήσεις ὀλιγαρχικὴν εἶναι· καὶ τεθνᾶσι κατὰ τὸ σὸν ψήφισμα δύο τῶν πολιτῶν, πατὴρ καὶ υἱός, παραδοθέντες τῷ ἐπὶ τῷ ὀρύγματι·
ἐδέθη τῶν ἀφ' Ἁρμοδίου γεγονότων εἷς κατὰ τὸ σὸν 63
πρόσταγμα· ἐστρέβλωσαν Ἀντιφῶντα καὶ ἀπέκτειναν οὗτοι τῇ τῆς βουλῆς ἀποφάσει πεισθέντες· ἐξέβαλες σὺ Ἀρχῖνον ἐκ τῆς πόλεως ἐπὶ προδοσίᾳ κατὰ τὰς τῆς βουλῆς ἀποφάσεις καὶ τιμωρίας. κατὰ δὲ σαυτοῦ καὶ ταῦτα γράψας αὐτὸς τὸ ψήφισμα ἀκυροῖς; καὶ ποῦ ταῦτα δίκαια ἢ νόμιμά ἐστι;

Μαρτύρομαι τὰς σεμνὰς θεάς, ἄνδρες Ἀθηναῖοι, 64
καὶ τὸν τόπον ὃν ἐκεῖναι κατέχουσι, καὶ τοὺς ἥρωας

τὰ περὶ αὐτῆς] *τὰ* del. Dobr. — *τὴν ζημίαν* Wm. — *ἐάν (σ')* ci. Mr.

62. mal. (*καὶ*) *πρότερον*. — *πατρίοις* Wolf. Turr.: *πατρῴοις*. cf. § 4. 55. — *ἐνεχείρησας* N.

63. *Ἀρχῖνον*] *Ἀναξῖνον* susp. Droysen, sed cf. Mr. — *καὶ τιμωρίας*] cf. Mr. ad § 55.

64. *ὦ ἄνδρες* Dobs. —

*τοὺς ἐγχωρίους, καὶ τὴν Ἀθηνᾶν τὴν Πολιάδα, καὶ
τοὺς ἄλλους θεοὺς οἳ τὴν πόλιν καὶ τὴν χώραν ἡμῶν
εἰλήχασιν, ὅτι τοῦ δήμου παραδεδωκότος ὑμῖν τιμω-
ρήσασθαι τὸν εἰληφότα τι τῶν .... κατὰ τῆς πατρί-
δος, τὸν λελυμασμένον καὶ ἐφθαρκότα τὴν τῆς πό-
λεως εὐδαιμονίαν, τὸν περικεχαρακωμένην προδεδω-*
65 *κότα τὴν πατρίδα ταῖς αὐτοῦ συμβουλίαις, ὃν οἱ μὲν
ἐχθροὶ καὶ κακόνοι τῇ πόλει ζῆν ἂν βούλοιντο,
συμφορὰν ἡγούμενοι τῆς πόλεως εἶναι, ὅσοι δὲ εὖνοι
τοῖς ὑμετέροις πράγμασι, καὶ μεταπεσούσης τῆς τύχης
ἐλπίζουσιν ἐπὶ τὸ βέλτιον ἂν τὰ τῆς πόλεως πράγ-
ματα ἐλθεῖν, τὴν ἀξίαν δόντα δίκην τῶν πεπραγμέ-
νων ἀπολωλέναι βούλονται, καὶ ταῦτ' εὔχονται τοῖς
θεοῖς. οὓς κἀγὼ συμπαρακαλῶ σῶσαι τὴν πατρίδα,
κινδυνεύουσαν ὁρῶν ὑπὲρ σωτηρίας, ὑπὲρ παίδων,
ὑπὲρ γυναικῶν, ὑπὲρ δόξης, ὑπὲρ τῶν ἄλλων ἀγαθῶν*
66 *ἁπάντων. τί γὰρ ἐροῦμεν, ὦ Ἀθηναῖοι, πρὸς τοὺς
περιεστηκότας ἐξελθόντες ἐκ τοῦ δικαστηρίου, ἐάν,
ὃ μὴ γένοιτο, παρακρουσθῆτε ὑπὸ τῆς τούτου γοη-
τείας; τίσιν ὀφθαλμοῖς ἕκαστος ὑμῶν τὴν πατρῴαν
ἑστίαν οἴκαδε ἀπελθὼν ἰδεῖν τολμήσει, ἀπολελυκό-*

Πολιάδα cum Wolf. Turr.: *πολίτιδα*. — *τὴν πόλιν καὶ τὴν χώραν* N Mr.: *τὴν χώραν καὶ τὴν πόλιν*. — *ὅτι* del. S. Mr., qui iungit *παραδ. τιμωρ.* coll. 1, 98; 2, 14. 20; 3, 14; *τιμωρήσασθε* mal. S. *Τιμωρήσετε* rc. N; *οὐκ ἐτιμωρήσασθε* Ald. Fort.: *ὅτι (νῦν δεῖ) — — τιμωρήσασθαι*. — *τι τῶν κατὰ* NA, *τι κατὰ* v. Fort. *τι τῶν κομισθέντων χρημάτων*; cf. § 70. — *περικεχαρ. ταῖς αὐτοῦ συμβουλίαις*] irridet Demosthenis gloriationem 18, 299. — *προδεδωκότα* Schm. Fr.: *παραδεδωκότα* (in mg. A[d]).

65. *τῇ πόλει* Kl.: *τῆς πόλεως*. — *ζῆν*] *ζητεῖν* pr. A corr.[2]. — *δόντα δίκην* N Mr.: *δίκην δόντα*.

66. *ἐπανελθὼν* Kl. — *τολμήσει* auct. Bk. Turr.: *τολμήσειε* N (h. e. *τολμήσετε*? cf. 107), *τολμήσειεν* v. —

τες μὲν τὸν προδότην τὸν [πρῶτον] εἰς τὸν ἴδιον οἶκον
εἰσενεγκάμενον τὸ δεδωροδοκημένον χρυσίον, κα-
τεγνωκότες δὲ μηδὲν ἀληθὲς μήτε ζητεῖν μήθ᾽ εὑρί-
σκειν τὸ σεμνότατον παρὰ πᾶσιν ἀνθρώποις εἶναι
νομιζόμενον συνέδριον; τίνας δέ, ὦ Ἀθηναῖοι — σκο- 67
πεῖτε γὰρ πρὸς ὑμᾶς αὐτούς —, τίνας τὰς ἐλπίδας
ἕξομεν, ἐὰν κίνδυνός τις καταλάβῃ τὴν πόλιν, τὸ μὲν
δῶρα λαμβάνειν κατὰ τῆς πατρίδος ἀσφαλὲς εἶναι
πεποιηκότες, τὸ δὲ τὴν φυλακὴν ἔχον συνέδριον τῆς
πόλεως ἐν τοῖς τοιούτοις κινδύνοις ἀδόκιμον κατα-
στήσαντες; τί δ᾽ ἐάν — τιθῶμεν γὰρ ταῦτα —, ἐὰν 68
κατὰ τὸ ψήφισμα τὸ Δημοσθένους ἀπαιτῇ πέμψας
ἡμᾶς Ἀλέξανδρος τὸ χρυσίον τὸ κομισθὲν εἰς τὴν
χώραν ὑπὸ Ἁρπάλου, καὶ πρὸς τῷ γεγενῆσθαι τὴν
τῆς βουλῆς ἀπόφασιν τοὺς παῖδας καταπέμψῃ πρὸς
ἡμᾶς τοὺς νῦν ὡς ἑαυτὸν ἀνακεκομισμένους, καὶ
τούτων ἀξιοῖ πυνθάνεσθαι τὴν ἀλήθειαν ἡμᾶς, πρὸς
θεῶν, ὦ ἄνδρες, τί ἐροῦμεν; γράψεις σὺ Δημόσθενες 69
πολεμεῖν ἡμᾶς, ἐπειδὴ καὶ τοὺς πρότερον πολέμους
καλῶς | διῴκησας; καὶ πότερόν ἐστι δικαιότερον, ἂν 99
ταῦτα δόξῃ καὶ τοῖς ἄλλοις Ἀθηναίοις, εἰς τὸν πό-
λεμον ὑπάρχειν μετὰ τῶν ἄλλων καὶ τὸ παρὰ σοῦ

τὸν πρῶτον] *τὸν πρῶτον τὸν* N et A pr. — *οἶκον* add. NA Bk. (ci. Wolf. et Steph.). — *δεδωροκημένον* N^m^. — *μηδὲ ζητεῖν* Dobs. et v. ante Bk.; codicum neuter mentionem facit. — *σεμνότ. παρὰ πᾶσιν ἀνθρ. εἶναι* N Mr.: *παρὰ π. ἀ. εἶναι σεμν.*

67. *τὰς ἐλπίδας* NA Bk.: *ἐλπίδας*. — *ἔχων* pr. N.

68. *τί δ᾽ ἐάν* Funkhänel Bait. Mr.: *τί δαὶ ἂν* N, *τί δὲ ἂν* v. — *τὸ γεγενῆσθαι* BLZM et pr. A corr.[2]. — *καταπέμφει* L et pr. A corr.[2]. — *πρὸς ὑμᾶς* N. — *ἡμᾶς* post *ἀλήθ.* Turr.: *ὑμᾶς*.

69. *γράψεις* cum Steph. et Wolf. R.: *γράφεις*. — (*τούτοις*) *δόξῃ καὶ* ci. R. —

χρυσίον, ἢ τοὺς μὲν ἄλλους ἀπὸ τῶν ἰδίων κτημά-
των ἕκαστον εἰσφέρειν καὶ καταχωνεύειν τὸν ἴδιον
κόσμον τῶν γυναικῶν καὶ τὰ ἐκπώματα καὶ πάντα
τὰ ἐν τῇ χώρᾳ ἀναθήματα τῶν θεῶν, ὥσπερ ἔφησθα
σὺ γράψειν, αὐτὸς εἰσενεγκὼν πεντήκοντα δραχμὰς
ἀπὸ τῆς οἰκίας τῆς ἐν Πειραιεῖ καὶ τῆς ἐν ἄστει;
τοσοῦτον γὰρ κατὰ τὴν προτέραν εἰσφορὰν εἰσενη-
70 νοχὼς εἴκοσι τάλαντα ἔχεις. ἢ πολεμεῖν μὲν οὐ γρά-
ψεις, ἀποδιδόναι δὲ κατὰ τὸ γεγραμμένον ὑπὸ σοῦ
ψήφισμα κελεύσεις Ἀλεξάνδρῳ τὸ κεκομισμένον χρυ-
σίον; οὐκοῦν ὑπὲρ σοῦ τὸν δῆμον ἀποδιδόναι δεή-
σει. καὶ ποῦ τοῦτ' ἐστὶ δίκαιον ἢ κοινὸν ἢ δημοτι-
κόν, τοὺς μὲν ἐργαζομένους εἰσφέρειν, σὲ δὲ ἁρπάζειν
καὶ κλέπτειν; καὶ τοὺς μὲν φανερὰν κεκτῆσθαι τὴν
οὐσίαν καὶ ἀπὸ ταύτης εἰσφέρειν, σὲ δὲ πλείω ἢ
πεντήκοντα καὶ ἑκατὸν τάλαντα τὰ μὲν ἐκ τῶν βα-
σιλικῶν τὰ δὲ ἐκ τῶν Ἀλεξάνδρου πραγμάτων εἰλη-
φέναι, μηδὲν δὲ φανερὸν ἐν τῇ πόλει κεκτῆσθαι,
ἀλλὰ διεσκευάσθαι πρὸς τὸν δῆμον ὡς οὐ πιστεύ-
71 οντα τοῖς ἑαυτῷ πεπολιτευμένοις; καὶ τοὺς μὲν νό-
μους προλέγειν τῷ ῥήτορι καὶ τῷ στρατηγῷ, (τῷ)
τὴν παρὰ τοῦ δήμου πίστιν ἀξιοῦντι λαμβάνειν,
παιδοποιεῖσθαι κατὰ τοὺς νόμους, γῆν ἐντὸς ὅρων

γράψειν cum Steph. R.: γράφειν. — οἰκείας pr. A.
70. κελεύσεις cum Steph. R.: κελεύεις (quod revoc. Mr.). — τοὺς μὲν . . . ἐργαζ. A. — καὶ κλέπτειν add. N Mr. — vv. καὶ τοὺς — εἰσφέρειν in mg. add. A[d]. — πλεῖον N Fr. (πλεῖν Kl. W.). Μὲν addi malim. — πραγμάτων] χρημάτων cum Wolf. Mr. — εἰληφότα M et v. ante Bk. — μηδὲν δὲ NAB Bk.: μηδὲν. — σαυτῷ Kl. — πεπολιτευμένοις N Mr. (ci. Schm.): πολιτευομένοις.
71. τῷ post στρατ. addi iubet R. — ἐντὸς] ἐν τοῖς BLZM. — γεγεννημένους A corr.[2]. —

κεκτῆσθαι, πάσας τὰς δικαίας πίστεις παρακαταθέμε-
νον, οὕτως ἀξιοῦν προεστάναι τοῦ δήμου· σὲ δὲ τὴν
(μὲν) πατρῴαν γῆν πεπρακέναι, τοὺς δὲ οὐ γεγενη-
μένους υἱεῖς σαυτῷ προσποιεῖσθαι παρὰ τοὺς νόμους
τῶν ἐν ταῖς κρίσεσιν ἕνεκα γινομένων ὅρκων, ἐπι-
τάττειν δὲ τοῖς ἄλλοις στρατεύεσθαι λιπόντα αὐτὸν
τὴν κοινὴν τάξιν;

Ὦ Ἀθηναῖοι, παρὰ τί οἴεσθε τὰς πόλεις τοτὲ μὲν 72
εὖ τοτὲ δὲ φαύλως πράττειν; οὐδὲν εὑρήσετε ἄλλο
πλὴν παρὰ τοὺς συμβούλους καὶ τοὺς ἡγεμόνας.
ἐπιβλέψατε δὲ ἐπὶ τὴν Θηβαίων πόλιν. ἐγένετο πό-
λις, ἐγένετο μεγίστη· (πότε), καὶ τίνων τυχοῦσα
ἡγεμόνων καὶ στρατηγῶν; ἅπαντες ἂν ὁμολογήσαιεν
οἱ πρεσβύτεροι, παρ' ὧνπερ κἀγὼ τοὺς λόγους ἀκούων
ἐρῶ, ὅτε Πελοπίδας, ὥς φασιν, ἡγεῖτο τοῦ ἱεροῦ 73
λόχου καὶ Ἐπαμινώνδας ἐστρατήγει καὶ οἱ μετὰ τού-
των· τότε τὴν ἐν Λεύκτροις μάχην ἐνίκησεν ἡ τῶν
Θηβαίων πόλις, τότε εἰς τὴν ἀπόρθητον νομιζομένην
εἶναι Λακεδαιμονίων χώραν εἰσέβαλον, κατ' ἐκείνους
τοὺς χρόνους πολλὰ καὶ καλὰ διεπράξαντο ἔργα,
Μεσσήνην τετρακοσιοστῷ ἔτει κατῴκισαν, Ἀρκάδας
αὐτονόμους ἐποίησαν, ἔνδοξοι παρὰ πᾶσιν ἦσαν.
πότε δ' αὖ τοὐναντίον ταπεινὰ καὶ τοῦ φρονήματος 74

παρὰ] κατὰ N pr. A pr. corr.². Num τῶν ἐν τ. κρ. κατὰ τοὺς νόμους γιγν. ὅ. ἕνεκα? Praepositionis collocatio Meiero offensioni fuit.

72. εὑρήσητε BLZM Ald. — δὲ ἐπὶ N Mr.: γὰρ ἐπὶ. — πότ' ante ἐγένετο πόλις cum Steph. et Dobr. add. Mr.; idem cum Dobr. del. πόλις, ἐγένετο. Adversantur Meier. et Fr. — ἂν ὁμολ. NAB Bk.: γὰρ ὁμολ. — οἱ ante πρεσβ. cum R. add. Dobs. Turr.

73. λόχου a corr.² habet A. — Ἐπαμινώνδας NZM et A pr. Turr.: Ἐπαμεινώνδας. — Μεσήνην codd. et Ald. — κατῴκησαν pr. A[d].

*ἀνάξια διεπράξαντο; ὅτ' ἐδωροδόκει μὲν λαμβάνων
χρήματα παρὰ Φιλίππου Τιμόλαος ὁ τούτου φίλος,
ἐπὶ δὲ τοῖς ξένοις τοῖς εἰς Ἄμφισσαν συλλεγεῖσι Πρό-
ξενος ὁ προδότης ἐγένετο, ἡγεμὼν δὲ τῆς φάλαγγος
κατέστη Θεαγένης, ἄνθρωπος ἀτυχὴς καὶ δωροδόκος
ὥσπερ οὗτος. τότε διὰ τρεῖς γε ἀνθρώπους οὓς εἶ-
πον ἅπασα ἡ πόλις μετὰ τῶν ἄλλων Ἑλλήνων ἀπώ-
λετο καὶ συνδιεφθάρη. οὐ γὰρ ψεῦδός ἐστιν ἀλλὰ
καὶ λίαν ἀληθὲς τὸ τοὺς ἡγεμόνας αἰτίους ἁπάντων
γίνεσθαι καὶ τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων τοῖς*
75 *πολίταις. θεωρήσατε δὴ πάλιν καὶ ἐπὶ τῆς ἡμετέρας
πόλεως, τὸν αὐτὸν τρόπον ἐξετάσαντες. ἡ πόλις
ἡμῶν ἦν μεγάλη καὶ ἔνδοξος παρὰ τοῖς Ἕλλησι καὶ
τῶν προγόνων ἀξία, μετά γε τὰς ἀρχαίας ἐκείνας
πράξεις, ὅτε Κόνων, ὡς οἱ πρεσβύτεροι λέγουσιν,
ἐνίκησε τὴν ἐν Κνίδῳ ναυμαχίαν, ὅτε Ἰφικράτης
ἀνεῖλε τὴν Λακεδαιμονίων μόραν, ὅτε Χαβρίας ἐν
Νάξῳ κατεναυμάχησε τὰς Λακεδαιμονίων τριήρεις,
ὅτε Τιμόθεος τὴν ἐν Κερκύρᾳ ναυμαχίαν ἐνίκησε.*
76 *τότε, ὦ Ἀθηναῖοι, τότε οἱ μὲν πρότερον ὄντες λαμ-
προὶ διὰ τοὺς ἡγεμόνας Λακεδαιμόνιοι καὶ ὑπὸ τοῖς
ἐκείνων ἤθεσι τραφέντες ταπεινοὶ πρὸς τὴν πόλιν*

74. *παρὰ Φιλίππου* NA Bk.: *παρὰ τοῦ Φιλ.* Cf. § 28. — *τούτου* NA Bk.: *τούτων.* — *Ἄμφισαν* codd. et Ald. — *κατέστη* AB Bk.: *κατεστάθη.* — *Θεαγένης*] Harpocr. s. v. *Θεογείτων,* qui laudat h. l. (*Δείν. ἐν τῷ κατὰ Δημ.*), formam *Θεογένης* praebet (cf. Phot. s. v. *Θεογείτων*). — *τῶν ἄλλων Ἑλλήνων* N Fr.: *τῶν Ἑλλ. ἁπάντων* (*τῶν ἄλλων Ἑλλ. ἁπάντων* Mr.). — *διεφθάρη* pr. A corr.^{1} Bk. Turr. (*συν* ad *τρεῖς γε ἀνθρ.* referendum est).

75. (*πότε*) *ἡ πόλις* Markl. — *τὴν . . Λακεδαιμονίων* A^{d}. — *μόραν* cum Scalig. R.: *μοῖραν.* — *Χαβρίας*] *χαυρίας* A^{d}.

*ἡμῶν ἧκον, δεόμενοι τῆς παρὰ τῶν ἡμετέρων προ-
γόνων σωτηρίας, ὁ δὲ καταλυθεὶς ὑπ' ἐκείνων | δῆ-* 100
*μος διὰ τοὺς τότε γενομένους παρ' ἡμῖν συμβούλους
πάλιν ἡγεμὼν ἦν τῶν Ἑλλήνων, δικαίως, οἶμαι,
στρατηγῶν μὲν τοιούτων τετυχηκὼς οἵων εἶπον ἀρ-
τίως, συμβούλους δ' ἔχων Ἀρχῖνον καὶ Κέφαλον
τὸν Κολλυτέα. μία γὰρ αὕτη σωτηρία καὶ πόλεως
καὶ ἔθνους ἐστί, τὸ προστατῶν ἀνδρῶν ἀγαθῶν καὶ
συμβούλων σπουδαίων τυχεῖν. διόπερ, ὦ Ἀθηναῖοι,* 77
*δεῖ ταῦθ' ὑμᾶς ὁρῶντας καὶ λογιζομένους μὴ μὰ
Δία τὸν πλείω χρόνον τῆς Δημοσθένους δωροδοκίας
καὶ ἀτυχίας κοινωνεῖν, μηδ' ἐν τούτῳ τὰς ἐλπίδας
τῆς σωτηρίας ἔχειν, μηδὲ οἴεσθαι ἀπορήσειν ἀνδρῶν
ἀγαθῶν καὶ συμβούλων σπουδαίων, ἀλλὰ τὴν τῶν
προγόνων λαβόντας ὀργὴν τὸν ἐπ' αὐτοφώρῳ κλέ-
πτην εἰλημμένον καὶ προδότην, τὸν οὐκ ἀπεχόμενον
τῶν εἰς τὴν πόλιν ἀφικνουμένων χρημάτων, τὸν εἰς
τὰς δεινοτάτας ἀτυχίας ἐμβεβληκότα τὴν πόλιν, τὸν
τῆς Ἑλλάδος ἀλιτήριον ἀποκτείναντας δεῖ ἐξόριστον ἐκ
τῆς πόλεως ποιῆσαι, καὶ μεταβαλέσθαι τὴν τῆς πό-
λεως τύχην ἐᾶσαι, καὶ προσδοκῆσαι τούτων γενομέ-
νων βέλτιον πράξειν.*

Ἀκούσατε, ὦ Ἀθηναῖοι, κἀκείνου τοῦ ψηφίσμα- 78

76. *τῆς παρὰ*] *τοῖς παρὰ* pr. A corr.[2]. — *τῶν ἡμετέρων προγ.* N Mr.: *τῶν προγ. ἡμῶν.* cf. 3, 12. — *παρ' ἡμῖν* S.: *παρ' ὑμῖν.* — *Κολλυτέα* Turr.: *κοττυλέα* ABL, *κοτυλλέα* ZM, *κολυττέα* v.

77. *τὸν πλείω χρόνον*] cf. Arist. Ran. 160 (Mr.). — num (*προστατῶν*) *ἀνδρῶν ἀγ.*, sicut est 76? — *λαβόντας* pr. A corr.[1]. — *τὸν τῆς Ἑλλ. ἀλιτήριον*] ex Aesch. 3, 157 cf. 131, ubi etiam *ὑπερωρίσθαι δεῖ* reperitur. — *δεῖ* add. N et pr. A Mr. — *ἐκ τῆς πόλεως* del. Kl. — *μεταβαλλέσθαι* N, *μεταβάλλεσθαι* pr. A[d].

τος τοῦ γραφέντος ὑπὸ Δημοσθένους, ὃ τεταραγμένης τῆς πόλεως μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἔγραψεν ὁ δημοτικὸς οὗτος, καὶ τῆς μαντείας τῆς ἐλθούσης ἐκ Δωδώνης παρὰ τοῦ Διὸς τοῦ Δωδωναίου· σαφῶς γὰρ ὑμῖν πάλαι προείρηκε φυλάττεσθαι τοὺς ἡγεμόνας καὶ τοὺς συμβούλους. Λέγε τὴν μαντείαν πρῶτον.

ΜΑΝΤΕΙΑ.

79 *Λέγε δὴ τὸ καλὸν ψήφισμα (τὸ) τούτου.*

ΨΗΦΙΣΜΑ.

Δημοτικός γ' ὁ διατάττων ἑαυτὸν μέν, ἐπειδὴ ἀνδρεῖος καὶ εὔψυχός ἐστιν, ἐν τοῖς ὅπλοις μένειν, οὓς δ' ἂν αὐτὸς ἀποδοκιμάσῃ τῶν πολιτῶν, ἐπὶ τὰ ἔργα ἀπιέναι, καὶ ἐάν τι ἄλλο τούτῳ δόξῃ ἐπιτήδειον εἶναι, τοῦτο ποιεῖν. Λέγε τὰ λοιπά.

ΨΗΦΙΣΜΑ.

80 *Ἀκούετε, ὦ ἄνδρες δικασταί. ἀπιέναι φησὶ τὸ ψήφισμα τὰς ᾑρημένας πρεσβείας. ἐπειδὴ (γὰρ) ἤκουσε μετὰ τὴν μάχην τὴν ἐν Χαιρωνείᾳ Φίλιππον εἰς τὴν χώραν ἡμῶν μέλλειν εἰσβάλλειν, αὐτὸς ἑαυτὸν πρεσβευτὴν κατασκευάσας, ἵν' ἐκ τῆς πόλεως*

78. ὃ] *ὅτε* NLZM et pr. A. — *μαντείαν*] cf. § 98; Dem. 19, 297 sq.

79. (*τὸ*) *τούτου* cum R. Turr.; vulg. defendit Mr. Cf. § 92. — *αὐτὸς*] *οὗτος* N Fr. — *ἀποδοκιμάσει* N. — *τὰ ἔργα*] *τὰ* om. N. — ΨΗΦΙΣΜΑ N Turr.: *μαρτυρία* A, om. BLZM (in lacuna).

80. *ἄνδρες* N Mr.: *ὦ ἄνδρες*. cf. § 18. — *τὸ ψήφισμα* mal. abesse Bk. — *ᾑρημένας* cum Wolf. Bk.: *ἡρημένας* N[m], *εἰρημένας* v. — *γὰρ* post *ἐπειδὴ* addi iubet R., *ᾤχετο* addendum ci. Mr., ille quidem post *τάλαντα*. — *ἐκ τῆς* Wurm.; vulg. def. Mr. —

ἀποδραίη, (ᾤχετο) συσκευασάμενος (ἐκ) τῆς διοική-
σεως ὀκτὼ τάλαντα, οὐδὲν φροντίσας τῆς τότε πα-
ρούσης ἀπορίας, ἡνίχ' οἱ ἄλλοι πάντες ἐκ τῶν ἰδίων
ἐπεδίδοσαν εἰς τὴν ὑμετέραν σωτηρίαν. τοιοῦτος 81
ὑμῖν ὁ σύμβουλος, καὶ δύο ταύτας μόνας ἐν τῷ βίῳ
Δημοσθένης πεποίηται ἀποδημίας, μετὰ τὴν μάχην
ὅτε ἀπεδίδρασκεν ἐκ τῆς πόλεως, καὶ νῦν εἰς Ὀλυμ-
πίαν, ἐπεὶ Νικάνορι διὰ τῆς ἀρχιθεωρίας ἐντυχεῖν
ἐβούλετο. ἄξιόν γε τούτῳ παρακαταθέσθαι τὴν πό-
λιν καὶ ἐπιτρέψαι κινδυνεύειν μέλλοντας, ὃς ὅτε μὲν
ἔδει μάχεσθαι μετὰ τῶν ἄλλων τοῖς πολεμίοις, λιπὼν
τὴν τάξιν ᾤχετο ἀπιὼν οἴκαδε, ἐπειδὴ δὲ προσῆκεν
οἴκοι κινδυνεύειν μετὰ τῶν ἄλλων, πρεσβευτὴν αὐ-
τὸς αὑτὸν προβαλόμενος ᾤχετο ἐκ τῆς πόλεως ἀπο-
δράς, ἐπειδὴ δὲ πρεσβεύειν ἔδει περὶ τῆς εἰρήνης, 82
οὐκ ἂν ἔφασκεν ἐκ τῆς πόλεως ἐξελθεῖν οὐδὲ τὸν
ἕτερον πόδα, ἐπειδὴ δὲ τοὺς φυγάδας Ἀλέξανδρον
ἔφασαν κατάγειν καὶ Νικάνωρ εἰς Ὀλυμπίαν ἧκεν,
ἀρχιθεωρὸν αὑτὸν ἐπέδωκε τῇ βουλῇ. τοιοῦτος οὗ-
τος, ἐν μὲν ταῖς παρατάξεσιν οἰκουρός, ἐν δὲ τοῖς
οἴκοι μένουσι πρεσβευτής, ἐν δὲ τοῖς πρεσβευταῖς
δραπέτης ἐστίν.

Λέγε δὴ καὶ τὰ περὶ ζητήσεως τῶν χρημάτων

οὐδὲν N[m] et cum Wolf. R.: οὐδὲ.

81. ἐν τῷ βίῳ deleri vult Mr.: etenim et aperte mentiri oratorem et secum ipsum pugnare (§ 12). Aut ἀποδημία voluntaria peregrinatio est, aut addendum ἑκών. — ἐπεὶ] ἐπὶ NLZM; .. ἐπ. A pr. corr.[1]. — ἐπιτρέψειν N. — προβαλόμενος NB et corr. A Bk.: προβαλλόμενος.

82. ἐπειδὴ δὲ τοὺς] δὴ om. N Fr., δὲ om. M. — φυ.γάδας A pr. — κατάγειν a corr. hab. A[d]. — ἐπέδωκε cum Scal. Turr.: ἀπέδωκε. — vv. οἰκουρός et δραπέτης transponi iubet S.; sed v. Mr. — τὰ et ψηφίσματα scripsi: τό et ψήφισμα. cf. 101.

ψηφίσματα, ἃ ἔγραψε Δημοσθένης τῇ ἐξ Ἀρείου πάγου βουλῇ περὶ αὑτοῦ τε καὶ ὑμῶν, ἵνα παρ' ἄλληλα θεωρήσαντες εἰδῆτε τὴν Δημοσθένους ἀπόνοιαν.

ΨΗΦΙΣΜΑ.

83 Ἔγραψας σὺ τοῦτο Δημόσθενες; ἔγραψας· οὐκ ἔστιν ἀντειπεῖν. ἐγένετο ἡ βουλὴ κυρία σοῦ προστάξαντος; ἐγένετο. τεθνᾶσι τῶν πολιτῶν ἄνδρες; τεθνᾶσι. κύριον ἦν τὸ σὸν ψήφισμα κατ' ἐκείνων; ἀδύνατον ἀντειπεῖν.

Λέγε δὴ πάλιν ὃ Δημοσθένης κατὰ Δημοσθένους ἔγραψε. προσέχετε ὦ ἄνδρες.

ΨΗΦΙΣΜΑ.

84 Ἡ βουλὴ εὕρηκε Δημοσθένην. τί δεῖ πολλῶν λόγων; ἀποπέφαγκεν, ὦ Ἀθηναῖοι. τὸ μὲν τοίνυν
101 δίκαιον | ἦν ὑφ' ἑαυτοῦ κεκριμένον εὐθὺς ἀποθνήσκειν· ἐπειδὴ δὲ εἰς τὰς ὑμετέρας ἥκει χεῖρας, τῶν ὑπὲρ τοῦ δήμου συνειλεγμένων καὶ τῶν ὀμωμοκότων πείθεσθαι τοῖς νόμοις καὶ τοῖς τοῦ δήμου ψηφίσμασι, τί ποιήσετε; προήσεσθε τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν καὶ τὰ παρὰ πᾶσιν ἀνθρώποις δίκαια νομιζόμενα; μή, ὦ Ἀθηναῖοι, μή· αἰσχρὸν γὰρ καὶ δεινὸν ἑτέρους μὲν ὑπὸ τῶν Δημοσθένους ψηφισμάτων,

Lacunam ante καὶ τὸ stat. Mr. — ἃ ci. Mr.: ὃ. — ὑμῶν N, corr.[2] A, Dobs. Mr.: ἡμῶν.

83. ὦ ἄνδρες] ὦ om. N Fr. Sed nisi addatur δικασταί, ὦ omitti non solet, cf. Mr. — ΨΗΦΙΣΜΑ add. NA Bk.

84. ἡ βουλὴ add. NA Bk. — ὑμετέρας corr.[2] A. — τῶν, συνειλεγμένων, τῶν ὀμωμοκότων cum Steph. Wolf. Wurm. Mr., et praebet συνειλεγμένων Ald.: τοὺς, συνειλεγμένους, τοὺς ὀμωμοκότας. — πείσεσθαι ci. Bait.; cf. Mr. — πρὸς τοὺς .. θ .... ους (h. e. ἀνθρώπους?) εὐσέβειαν pr. A corr.[1].

οὐδὲν ὄντας τούτου χείρους οὐδὲ τοσαῦτ' ἠδικηκό-
τας ὅσα περ οὗτος, ἀπολωλέναι, τουτονὶ δὲ κατα-
φρονοῦντα ὑμῶν καὶ τῶν νόμων ἀτιμώρητον ἐν τῇ
πόλει περιιέναι, αὐτὸν ὑφ' ἑαυτοῦ καὶ τῶν ψηφισμά-
των ὧν ἔγραψεν ἑαλωκότα. ταὐτὸ συνέδριον, ὦ
Ἀθηναῖοι, καὶ ὁ αὐτὸς τόπος, καὶ ταὐτὰ δίκαια. ὁ 86
αὐτὸς ῥήτωρ ἐκείνοις τε αἴτιος ἐγένετο τῶν συμβάν-
των κακῶν καὶ αὑτῷ τῶν νῦν συμβησομένων. ἐπέ-
τρεψεν [ὁ] αὐτὸς οὗτος ἐν τῷ δήμῳ τῷ συνεδρίῳ τού-
τῳ κρῖναι περὶ αὑτοῦ, μάρτυρας ὑμᾶς πεποιημένος.
ἔθετο συνθήκας μετὰ τοῦ δήμου, γράψας τὸ ψήφισμα
καθ' ἑαυτοῦ, παρὰ τὴν μητέρα τῶν θεῶν, ἣ πάντων
τῶν ἐν τοῖς γράμμασι δικαίων φύλαξ τῇ πόλει καθέ-
στηκε. διὸ καὶ οὐχ ὅσιον ὑμῖν ἐστι ταύτας ἀκύρους
ποιεῖν, οὐδὲ τοὺς θεοὺς ὀμωμοκόσι περὶ ταύτης τῆς
κρίσεως ταῖς αὐτῶν τῶν θεῶν πράξεσιν ἐναντίαν
τὴν ψῆφον ἐνεγκεῖν. κρίσει Ποσειδῶν ἀποτυχὼν τῇ 87
ὑπὲρ Ἁλιρροθίου πρὸς Ἄρη γενομένῃ ἐνέμεινεν·
(ἐνέμειναν) αὐταὶ αἱ σεμναὶ θεαὶ τῇ πρὸς Ὀρέστην
ἐν τούτῳ τῷ συνεδρίῳ κρίσει γενομένῃ, καὶ τῇ τού-
του ἀληθείᾳ συνοίκους ἑαυτὰς εἰς τὸν λοιπὸν χρόνον
κατέστησαν. ὑμεῖς δὲ τί ποιήσετε οἱ πάντων εἶναι

85. num (ἀλλ') οὐδὲ? — ἐν τῇ πόλει περιιέναι N Mr.: περ. ἐν τῇ πόλει. — ταὐτὸ et mox ταὐτὰ cum Dobr. Turr.: τουτὶ τὸ et ταῦτα τὰ (ταὐτὰ τὰ A[d], ταῦτ' αὐτὰ τὰ B). Contra Cb. ταὐτὸν τὸ scribi et ταὐτὰ τὰ retineri vult. — Iacunam esse post δίκ. stat. Mr.; καὶ addi vol. R. Dobr.

86. τε post ἐκείνοις om. N. — ὁ del. Kl. — παρὰ τῇ μητρὶ ci. R., τὸ παρὰ τῇ μητρὶ Dobr. — τῇ πόλει sup. lin. hab. A[d] (τῇ om. pr. A sec. Bk.).

87, 1 τῇ — — γενομένῃ auct. Bk. Turr.: τῆς — γενομένης N[m], τ ̃.ς — γενομέν. A pr., τοῖς — γενομένοις corr.[2] A v. — ἐνέμειναν h. l. auct. S. addidi; post κρίσει γενομ. inseri iusserant R. Bk. —

φάσκοντες εὐσεβέστατοι; τὴν τοῦ συνεδρίου γνῶσιν ἄκυρον καταστήσετε τῇ Δημοσθένους ἐπακολουθήσαντες πονηρίᾳ; οὐκ, ἐὰν σωφρονῆτε, ὦ Ἀθηναῖοι·

88 οὐ γὰρ περὶ μικρῶν οὐδὲ τῶν τυχόντων ἐν τῇ τήμερον ἡμέρᾳ δικάζετε, ἀλλὰ περὶ σωτηρίας τῆς πόλεως ἁπάσης καὶ πρὸς τούτοις περὶ δωροδοκίας, ἔθους πονηροῦ καὶ πράγματος ἀλυσιτελοῦς ὑμῖν καὶ πάντας ἀνθρώπους ἀπολωλεκότος. (ὃ) εἰ μὲν καθ' ὅσον ἐστὲ δυνατοὶ ἐκβαλεῖτε ἐκ τῆς πόλεως καὶ παύσετε τοὺς ῥᾳδίως καθ' ὑμῶν χρήματα λαμβάνοντας, σωθησόμεθα θεῶν βουλομένων· εἰ δ' ἐπιτρέψετε τοῖς ῥήτορσι πωλεῖν ὑμᾶς αὐτούς, περιόψεσθε τὴν πόλιν ἀνατραπεῖσαν ὑπὸ τούτων.

89 Ἔγραψεν αὐτὸς ἐν τῷ δήμῳ Δημοσθένης, ὡς δηλονότι δικαίου τοῦ πράγματος ὄντος, φυλάττειν Ἀλεξάνδρῳ τὰ εἰς τὴν Ἀττικὴν ἀφικόμενα μετὰ Ἁρπάλου χρήματα. οὕτως οὖν, ὦ ἄριστε, εἰπέ μοι, φυλάξομεν, ἐὰν σὺ μὲν εἴκοσι τάλαντα λαβὼν ἔχῃς ἰδίᾳ, ἕτερος δὲ πεντεκαίδεκα, Δημάδης δὲ ἑξακισχιλίους χρυσοῦ στατῆρας, ἕτεροι δὲ ὅσα δή ποτε ἀποπεφασμένοι εἰσί; τέτταρα γὰρ τάλαντά ἐστι καὶ ἑξήκοντα ἤδη εὑρημένα, ὧν οἴεσθε τὴν αἰτίαν τούτοις

εὐσεβέστατοι N Mr.: εὐσεβέστεροι. — γνῶσιν N Mr.: γνώμην. — κατεστήσατε pr. A corr.[2]. — Ἀθηναῖοι NAB Turr.: ἄνδρες Ἀθ.

88. περὶ σωτηρίας τ. π. ἀπ.] si conferas quod sequitur πρὸς τούτοις, aliqua intercidisse videntur. — fort. πάντας τοὺς χρωμένους ἀπολ. — (ὃ) εἰ μὲν ci. R. — ἡμᾶς αὐτούς N.

89. οὕτως] πῶς Cb. — φυλάξωμεν N. cf. 99. — ἰδίᾳ cum Wm. Turr.: ἴδια. — πεντακισχιλίους fort. Hyp. I fr. 2 iuit. — τέτταρα] τετρακόσια N et pr. A corr.[2]; γὰρ a corr.[1] habet A. — τούτοις δεῖν scr.: τουτοισὶν (δεῖν etiam R. addendum censuerat, ἂν Emp.).

δεῖν ἀναθεῖναι. καὶ πότερα κάλλιόν ἐστι, πρὸς δὲ 90
δικαιότερον, ἅπαντ' ἐν τῷ κοινῷ φυλάττεσθαι, ἕως ἄν
τί δίκαιον ὁ δῆμος βουλεύσηται, ἢ τοὺς ῥήτορας καὶ
τῶν στρατηγῶν ἐνίους διηρπακότας ἔχειν; ἐγὼ μὲν
γὰρ οἶμαι τὸ μὲν ἐν τῷ κοινῷ φυλάττειν παρὰ πάν-
των ὁμολογούμενον εἶναι δίκαιον, τὸ δὲ τούτους
ἔχειν μηδένα ἂν εἰπεῖν ὡς ἔστι καλῶς ἔχον.

Πολλοὺς οὗτος ἐρεῖ καὶ παντοδαποὺς λόγους, 91
ὦ ἄνδρες, καὶ οὐδέποτε τοὺς αὐτούς. ὁρᾷ γὰρ
ὑμᾶς τὸν πάντα χρόνον ἐλπίσι κεναῖς καὶ ψευδέσι
λόγοις ἐξηπατημένους ὑφ' ἑαυτοῦ, καὶ μέχρι τούτου
καὶ μνημονεύοντας τὰς ὑποσχέσεις μέχρις ἂν ῥηθῶ-
σιν. εἰ μὲν οὖν ἔτι δεῖ τὴν πόλιν τῆς Δημοσθένους
πονηρίας καὶ ἀτυχίας ἀπολαύειν, ἵνα πλείω κακο-
δαιμονῶμεν — οὐ γὰρ ἔχω τί ἄλλο εἴπω —, στερ-
κτέον ἐπὶ τοῖς συμβαίνουσιν· εἰ δέ τι κηδόμεθα 92
τῆς πατρίδος καὶ τοὺς πονηροὺς καὶ δωροδόκους
μισοῦμεν καὶ μετοιωνίσασθαι τὴν τύχην καὶ μεταλ-
λάξασθαι βουλόμεθα, οὐ προετέον ἐστὶν ὑμᾶς αὐ-
τοὺς ὦ Ἀθηναῖοι ταῖς τοῦ | μιαροῦ καὶ γόητος τού- 102
του δεήσεσιν, οὐδὲ προσδεκτέον τοὺς οἴκτους καὶ

90. πρὸς δὲ ⟨καὶ⟩ ci. R. — ἄν τι mal. R. Schm.: ἄν τι.
91. εἴρηκε καὶ aut οὐδέποτε pro οὐδεπώποτε Dobr.; hoc praetulerunt Turr. Mr. Kl., qui cf. Aesch. 1, 127. — πάντα N Fr.: ἅπαντα. — καὶ post μέχρι τούτου add. N. — πλείω N Mr.: πλέον. κακοδαιμονεῖν orator pro ἐξαμαρτάνειν ponit. — οὐ γὰρ N Mr.: οὐδὲ γάρ. — ἐπὶ scr.: εἴη (ἂν εἴη mal. Bk.; εἴη del. Fr. Bait.).
92. δέ τι mal. Bait.: δ' ἔτι. — μετοιωνίσασθαι] cf. Harp. s. v. — προετέον cum Wolf. Bk.: προσεκτέον, quod def. Fr. Aut προετ. scribi aut deleri αὐτοὺς voluit R. — προσδεκτέον NAB Bk.: προσεκτέον LZ, προσιτέον M Ald., προσετέον cum Wolf. R. —

τοὺς φενακισμοὺς (τοὺς) τούτου· ἱκανὴν γὰρ εἰλή-
φατε πεῖραν αὐτοῦ καὶ τῶν λόγων καὶ τῶν ἔργων
93 καὶ τῆς τύχης. τίς οὕτως εὔελπις ὑμῶν ἐστιν, ὦ
Ἀθηναῖοι, τίς οὕτως ἀλόγιστος, τίς (οὕτω) τῶν προ-
γεγενημένων καὶ νῦν ἐνεστηκότων πραγμάτων ἄπει-
ρος, ὅστις ἐλπίζει τὸν ἐκ τοσαύτης εὐδαιμονίας εἰς
τοσαύτην ἀδοξίαν καταστήσαντα τὴν πόλιν δι' ἡν-
τιναδήποτε αἰτίαν ἢ τύχην — ἐῶ γὰρ τοῦτο νῦν —,
ἐπειδὴ πρὸς ταῖς ἄλλαις ἀπορίαις καὶ τοῖς περιεστη-
κόσιν ἡμᾶς κινδύνοις καὶ ἡ τῶν ἐξ αὐτῆς τῆς πόλεως
δωροδοκία προσγέγονε, καὶ περὶ αἰσχρᾶς αἰτίας κοινῇ
πάντες ἀγωνιζόμεθα καὶ περὶ τοῦ μὴ δοκεῖν τὰ ἰδίᾳ
παρά τισιν ὄντα χρήματα κοινῇ τὸν δῆμον ἔχειν,
τηνικαῦτα συμβουλεύοντα καὶ διοικοῦντα τοῦτον σώ-
94 σειν ἡμᾶς; ἐῶ γὰρ τἆλλα ὅσα μεταβαλλόμενος ἐν
τοῖς πράγμασι καὶ δημηγορῶν οὐδὲν ὑγιὲς διατετέ-
λεκε, καὶ τοτὲ μὲν γράφων καὶ ἀπαγορεύων μηδένα
νομίζειν ἄλλον θεὸν ἢ τοὺς παραδεδομένους, τοτὲ
δὲ λέγων ὡς οὐ δεῖ τὸν δῆμον ἀμφισβητεῖν τῶν ἐν
τῷ οὐρανῷ τιμῶν Ἀλεξάνδρῳ, ὅταν δὲ μέλλῃ κρι-
θήσεσθαι παρ' ὑμῖν, Καλλιμέδοντα εἰσαγγέλλων συν-
ιέναι ἐν Μεγάροις τοῖς φυγάσιν ἐπὶ καταλύσει τοῦ

τοὺς ante τούτου add. Turr., rursus del. Mr. Cf. § 79. — καὶ τῶν λόγων καὶ τῶν ἔργων N[m] Mr.: καὶ τῶν ἔ. καὶ τῶν λόγων. Cf. 102.

93. οὗτος ἀλόγιστος pr. A[d]. — οὕτω post τίς add. Mr.; (οὕτως) ἄπειρος iam Wolf. mal. — ὅστις] τίς codd. — τοῦτό (γε) νῦν Wm. — ἰδίᾳ Bk.: ἰδία corr. A[d], ἴδια v. — διοικοῦντα] πολεμοῦντα LZM et v. ante Bk., unde πολέμους διοικοῦντα Wm. — ὑμᾶς A[d] Dobs.

94. διατετέλεκε N Turr. (ci. R.): τετέλεκε. — νομίζειν ἄλλον N Mr.: ἄλλον νομίζειν. — τῷ ante οὐρανῷ add. N Mr. — μέλλει pr. A corr.[2].

δήμου, καὶ ταύτην τὴν εἰσαγγελίαν εὐθὺς παρα-
χρῆμα ἀναιρούμενος, ἐν δὲ τῇ ἐκκλησίᾳ ταύτῃ τῇ 95
πρῴην γεγενημένῃ προσάγων καὶ κατασκευάζων
ψευδῆ μηνυτὴν ὡς ἐπιβουλευομένων τῶν νεωρίων,
καὶ περὶ τούτων γράφων μὲν οὐδέν, αἰτίας δὲ ἕνεκα
τοῦ παρόντος ἀγῶνος παρασκευάζων· τούτων γὰρ
ἁπάντων ὑμεῖς τούτῳ μάρτυρές ἐστε. γόης οὗτος,
ἄνδρες Ἀθηναῖοι, καὶ μιαρὸς ἄνθρωπός ἐστι, καὶ
οὔτε τῷ γένει τῆς πόλεως πολίτης οὔτε τοῖς πεπολι-
τευμένοις αὐτῷ καὶ πεπραγμένοις. ποῖαι γὰρ τριή- 96
ρεις εἰσὶ κατεσκευασμέναι διὰ τοῦτον, ὥσπερ ἐπὶ
Εὐβούλου, τῇ πόλει; ἢ ποῖοι νεώσοικοι τούτου πο-
λιτευομένου γεγόνασι; πότε οὗτος ἢ διὰ ψηφίσματος
ἢ νόμου ἐπηνώρθωσε τὸ ἱππικόν; τίνα κατεσκεύασε
δύναμιν, τοσούτων καιρῶν παραγενομένων μετὰ τὴν
ἐν Χαιρωνείᾳ μάχην, ἢ πεζὴν ἢ ναυτικήν; τίς ἀνε-
νήνεκται κόσμος τῇ θεῷ εἰς ἀκρόπολιν ὑπὸ τούτου;
τί κατεσκεύακεν οἰκοδόμημα Δημοσθένης ἐν τῷ ἐμ-
πορίῳ τῷ ὑμετέρῳ ἢ ἐν τῷ ἄστει ἢ ἄλλοθί που τῆς
χώρας; οὐδεὶς ἂν οὐδαμοῦ δείξειεν. ἔπειτα τὸν μὲν 97
ἐν ταῖς πολεμικαῖς πράξεσιν ἄπιστον γεγενημένον,
ἐν δὲ ταῖς κατὰ τὴν πόλιν οἰκονομίαις ἄχρηστον,

95. ἐν δὴ N.

96. Imitatur Demosthenis illa: 18, 311; 19, 282. — τριήρης N. — διὰ τοῦτον NAB Bk. (cf. Dem. 18, 311): διὰ τούτου. — ἐπὶ Βούλου pr. N; ἐπιβούλου ZM. haec autem verba (ὥσπερ ἐ. Ε.) post νεώσοικοι transposita malim. — ἐπηνώρθωκε et κατεσκεύακε ci. Scheibe. — τοσούτων scr.: τοιούτων. — ἀνενήνεκται Bk.: ἀνήνεκται. — κόσμος τῇ θεῷ N Mr.: τῇ θεῷ κόσμος. — κατεσκεύακεν οἰκ. Δημ. N Mr.: κατεσκεύακε Δημ. οἰκ. — οὐδεὶς ἂν cum Steph. Bk.: οὐδεὶς οὖν.

97. mal. τὸν ἐν μὲν. — vv. ἄπιστον et ἄχρηστον transponi mal. Bk., quod ego non probo. —

περιεωρακότα δὲ τοὺς ἀντιπολιτευομένους ἅπαντα διαπεπραγμένους ὅσα ἐβουλήθησαν, μεταβεβλημένον δὲ αὐτὸν καὶ τὰς ὑπὲρ τοῦ δήμου πράξεις ἐγκαταλε-
98 *λοιπότα, τοῦτον περιποιῆσαι βουλήσεσθε; οὔκ, ἐὰν σωφρονῆτε καὶ καλῶς καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῆς πόλεως βουλεύησθε· ἀλλὰ δέξεσθε τὴν ἀγαθὴν τύχην, ἣ τιμωρήσασθαι παρέδωκε τῶν ῥητόρων τοὺς τὴν πόλιν διὰ τὴν αὑτῶν δωροδοκίαν ταπεινὴν πεποιηκότας, καὶ φυλάξεσθε, καθάπερ οἱ θεοὶ προειρήκασιν ὑμῖν ἐν ταῖς μαντείαις πολλάκις, τοὺς τοιούτους ἡγεμόνας καὶ συμβούλους. ἀκούσατε δὲ αὐτῆς τῆς μαντείας. Λέγε τὴν μαντείαν.*

ΜΑΝΤΕΙΑ.

99 *Πῶς οὖν μίαν γνώμην ἕξομεν, ὦ Ἀθηναῖοι, πῶς ὁμονοήσομεν ἅπαντες ὑπὲρ τῶν κοινῇ συμφερόντων, ὅταν οἱ ἡγεμόνες καὶ οἱ δημαγωγοὶ χρήματα λαμβάνοντες προΐωνται τὰ τῆς πατρίδος συμφέροντα, καὶ ὑμεῖς μὲν καὶ ὁ δῆμος ἅπας κινδυνεύῃ περὶ τοῦ ἐδάφους τοῦ τῆς πόλεως καὶ τῶν ἱερῶν τῶν πατρῴων καὶ παίδων καὶ γυναικῶν, οἱ δὲ διηλλαγμένοι πρὸς αὐτοὺς ἐν μὲν ταῖς ἐκκλησίαις λοιδορῶνται καὶ προσκρούωσιν ἀλλήλοις ἐξεπίτηδες, ἰδίᾳ*

διαπεπραγμένους corr.[2] A et cum Wolf. R.: *δὲ πεπραγμένους*. — *βουλήσεσθε* Dobr.: *βούλεσθε*. cf. § 98.

98. *βουλεύεσθε* N. — *δέξεσθε* et *φυλάξεσθε* Dobr.: *δέξασθε* et *φυλάξασθε*. — *παραδέδωκεν*? cf. 2, 20. — *αὐτῆς*] *αὖθις* Gruter. prob. Schm. (coll. § 78); *ταύτης* ci. Mr. — *λέγε*] *λ. σὺ* Ald. vv. *τὴν μαντ.* cum Kl. abesse malim.

99. *ὁμονοήσωμεν* N. — *καὶ* ante *ὁ δῆμος* add. NB et corr. A Bk. (ci. R.). — *κινδυνεύει* pr. A corr.[2]. — *περὶ τοῦ ἐδάφους κτέ.*] cf. Aesch. 3, 134. — vv. *διηλλαγμ. πρὸς αὐτοὺς* post *ἰδίᾳ δὲ* posita malim. —

δὲ ταὐτὰ πράττωσιν ἐξαπατῶντες ὑμᾶς τοὺς ῥᾷστα
πειθομένους τοῖς τούτων λόγοις; τί γάρ ἐστι ῥήτορος 100
δημοτικοῦ καὶ μισοῦντος τοὺς | κατὰ τῆς πόλεως 103
λέγοντας καὶ γράφοντας; ἢ τί φασι τοὺς πρὸ ὑμῶν
γεγενημένους, ὦ Δημόσθενες καὶ Πολύευκτε, διατε-
λεῖν ποιοῦντας, καὶ ταῦτα οὐδενὸς δεινοῦ τότε τὴν
πόλιν περιεστηκότος; οὐ κρίνειν ἀλλήλους; οὐκ εἰσ-
αγγέλλειν; οὐ γράφεσθαι παρανόμων; ἔστιν οὖν ὅ
τι πεποιήκατε τούτων ὑμεῖς οἱ φάσκοντες τοῦ δήμου
κήδεσθαι καὶ τὴν σωτηρίαν ὑμῖν ἐν τῇ τούτων εἶναι
ψήφῳ; γέγραψαι ψήφισμα, Δημόσθενες, πολλῶν ὄν- 101
των καὶ δεινῶν καὶ παρανόμων ὧν Δημάδης γέ-
γραφε; κεκώλυκάς τινα πρᾶξιν ὧν ἐκεῖνος προελό-
μενος κατὰ τοῦ δήμου πεπολίτευται; οὐδ' ἡντινοῦν.
εἰσήγγελκας τὸν παρὰ τὰ τοῦ δήμου ψηφίσματα καὶ
τοὺς νόμους πολλὰ διαπεπραγμένον; οὐδεπώποτε,
ἀλλὰ περιεῖδες αὐτὸν ἐν τῇ ἀγορᾷ χαλκοῦν σταθέντα
καὶ τῆς ἐν τῷ πρυτανείῳ σιτήσεως κεκοινωνηκότα
τοῖς Ἁρμοδίου καὶ Ἀριστογείτονος ἀπογόνοις. ἔπειτα 102
ποῦ τῆς εὐνοίας τῆς σῆς ὁ δῆμος ἔλαβε πεῖραν, ἢ
ποῦ τὴν τοῦ ῥήτορος βοήθειαν καὶ δύναμιν ἐξεταζο-
μένην εἴδομεν; ἢ ἐνταῦθα φήσετ' εἶναι δεινοί, εἰ

ταὐτὰ cum Wolf. et Grut. R.: τὰ αὐτὰ N, ταῦτα v.

100. ὑμῶν ci. R.: ἡμῶν. — vv. ἔστιν οὖν — 101 παρανόμων om. pr. A. — τὴν σωτηρίαν κτέ.] cf. 102. — ψήφῳ] cf. 102.

101. γέγραψαι NA Turr.: γέγραπται BLZM, γέγραπταί σοι v. — δεινῶν καὶ παρανόμων N Mr. (ci. Wm.): δεινῶν (δεινῶς ci. Bk. rec. Turr.) παρανόμων. — εἰσήγγελκας in mg. habet A[d]. — τὰ et ψηφίσματα ci. R. Schm. (cf. § 84): τὸ et ψήφισμα. — πολλὰ bis ponit pr. A[d]. — οὐδέποτε N Fr. — τῆς] τοῖς pr. A corr.[2] Ald. — ἐν τῷ N Mr.: ἐν.

102. ἢ ποῦ NA Bk.: ἤπου B, ὅπου v. —

παρακρούσεσθε τούτους ἀεὶ λέγοντες ὡς „οὐκ ἔστιν ἔξω τῆς πατρίδος ἡμῖν ἐξελθεῖν“, „οὐκ ἔστιν ἄλλη καταφυγὴ χωρὶς τῆς ὑμετέρας εὐνοίας“; φανεροὺς ἐχρῆν γεγενημένους ἀντιπράττοντας καὶ λόγῳ καὶ ἔργῳ τοῖς κατὰ τοῦ δήμου γραφομένοις ψηφίσμασιν, οὕτω πείθειν τούτους λέγοντας ὡς οὐκ ἔστιν ὑμῖν οὐδεμία σωτηρία χωρὶς τῆς παρὰ τοῦ δήμου βοη-
103 *θείας. ὑμεῖς δ' ἐν τοῖς ἔξω τὰς ἐλπίδας ἔχετε, ἁμιλλώμενοι ταῖς κολακείαις πρὸς τοὺς ὁμολογοῦντας ὑπὲρ Ἀλεξάνδρου πράττειν καὶ δῶρα εἰληφέναι παρὰ τῶν αὐτῶν ὧνπερ νῦν ἀποπέφαγκεν ὑμᾶς ἡ βουλή. καὶ σὺ πάντων ἐναντίον τῶν Ἑλλήνων διειλεγμένος Νικάνορι, καὶ κεχρηματικὼς ἐν Ὀλυμπίᾳ περὶ ὧν ἐβουλήθης, ἐλεεινὸν νῦν σεαυτὸν κατασκευάζεις προδότης ὢν καὶ δωροδόκος, ὡς ἐπιλελησμένους τούτους τῆς σῆς πονηρίας, καὶ οὐ δώσων*
104 *δίκην ὑπὲρ ὧν εἴληψαι πεποιηκώς, τοσούτῳ τολμηρότερον Δημάδου, ὥσθ' ὁ μὲν προειρηκὼς ἐν τῷ δήμῳ τὸν ἑαυτοῦ τρόπον καὶ τὴν ἀπόνοιαν, καὶ ὁμολογῶν λαμβάνειν καὶ λήψεσθαι, ὅμως οὐ τετόλμηκε τούτοις δεῖξαι τὸ πρόσωπον, οὐδ' ἐναντία τῇ*

παρακρούσεσθε Mr. (ci. Bk. Wm.): *παρακρούσησθε* N, *παρακρούσετε* v. *Παρακρούετε* ci. Dobr.; *παρακρούεσθε* et ipse malim. — *ἡμῖν* ci. R. Dobr.: *ὑμῖν*. — *ὑμετέρας* NAB Bk. Turr. Mr.

103. *δῶρα εἰληφέναι κτέ.*] Demadem hic quoque dicit, cf. 104. — *ἡμᾶς* N sec. Thurl. — *σὺ πάντων* NA Turr. (ci. R.): *συμπάντων*. — *ἐναντίον τῶν Ἑλλ.* Mr.: *ἐναντίων τ. Ἑ.* N, *τ. Ἑ. ἐναντίον* v. — *ἐπιλελησμένους* ci. R. (*ἐπιλησομένους* Steph.): *ἐπιμελησομένους*.

104. *τετόλμηκε τούτοις* N Turr.: *τετόλμηκεν αὐτοῖς*. — *ἐνδεῖξαι* N. Loquitur de iis quae in contione acta sunt, cf. 89; nam in iudicium Demadem nondum venisse constat e § 105. —

τῆς βουλῆς ἀποφάσει λέγειν ἠξίωσε — καίτοι οὐκ ἔγραψεν ἐκεῖνος περὶ αὑτοῦ κυρίαν εἶναι τὴν βουλήν, οὐδὲ θάνατον ὡρίσατο, ἐὰν ἀποφανθῇ χρήματα εἰληφώς —· σὺ δὲ οὕτω σφόδρα πεπίστευκας τοῖς σεαυτοῦ λόγοις καὶ καταπεφρόνηκας τῆς τούτων εὐηθείας, ὥστε πείσειν οἴει τοὺς δικαστὰς ὡς μόνου σοῦ κατέψευσται τὸ συνέδριον καὶ μόνον οὐκ εἰληφότα σὲ τὸ χρυσίον ἀποπέφαγκεν. καὶ τίς ἂν ταῦτα πεισθείη;

Ὁρᾶτε, ὦ Ἀθηναῖοι, τί μέλλετε ποιεῖν. παρειλή- 105
φατε παρὰ τοῦ δήμου τὸ πρᾶγμα, (αὐτοῦ) τὸ γεγενημένον εἰδότος, τιμωρίας δ' ἕνεκα τῆς κατὰ τῶν ἐνόχων ὄντων ταῖς ἀποφάσεσι. Δημοσθένης εἰσάγεται πρῶτος. κατηγορήκαμεν ἡμεῖς (οὐδὲν) οὐδενὶ καταχαρισάμενοι τῶν κοινῶν δικαίων. πότερ' ἀμε- 106
λήσαντες τῶν γεγενημένων ἁπάντων ἀφήσετε τὸν πρῶτον εἰσεληλυθότα πρὸς ὑμᾶς καὶ τὰ δίκαια [τὰ] παρὰ τῷ δήμῳ καὶ τῇ βουλῇ τῇ ἐξ Ἀρείου πάγου δόξαντ' εἶναι καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις, ταῦθ' ὑμεῖς οἱ κύριοι πάντων λύσετε, καὶ τὴν πονηρίαν αὐτοὶ τὴν τούτων ἀναδέξεσθε; ἢ πᾶσιν ἀνθρώ- 107
ποις παράδειγμα ἐξοίσετε κοινὸν ὑπὲρ τῆς πόλεως, ὅτι μισεῖτε τοὺς προδότας καὶ τοὺς χρημάτων ἕνεκα

post **θάνατον** addi ἑαυτῷ (εἶναι) τὴν ζημίαν mal. Mr. coll. § 61. Lyc. 65.

105. εἰδότος Emp.: εἶδος codd., ἤδη Ald. et edd. praeter Turr., qui ὄνειδος (αὐτοὶ γεγενημένον εἰδότες Scheibe). Punctum post ἀποφ. ipse posui. — (οὐδὲν) οὐδενὶ s. οὐδὲν ci. R.

106. τὰ post δίκαια del. S. Mr. coll. § 46. 84. — οἱ ante κύριοι add. N et supra v. A Bk. — ἀναδέξασθε LZM Ald. corr. B, ἀναδέξασθαι pr. B.

*προϊεμένους τὰ τοῦ δήμου συμφέροντα; ταῦτα γὰρ
ἅπαντά ἐστιν ἐφ' ὑμῖν νῦν, καὶ πεντακόσιοι καὶ
χίλιοι ὄντες τὴν ἁπάσης τῆς πόλεως σωτηρίαν ἐν
ταῖς χερσὶν ἔχετε, καὶ ἡ τήμερον ἡμέρα καὶ ἡ ὑμετέρα
ψῆφος πολλὴν ἀσφάλειαν τῇ πόλει καταστήσει
τὰ δίκαια ὑμῶν ἐθελόντων κρίνειν, ἢ μοχθηρὰς ἐλ-
πίδας ἔχειν ποιήσει πάντας τοιαῦτα ὑμῶν ἔθη κα-
θιστάντων.*

108 *Οὐ καταπληκτέον ἐστίν, ἄνδρες Ἀθηναῖοι, οὐδὲ
104 προετέον, ἐὰν σωφρονῆτε, τοῖς Δημοσθένους | ἐλέοις
τὴν κοινὴν καὶ δικαίαν ὑπὲρ τῆς πόλεως ἀπολογίαν.
οὐδεὶς γὰρ ὑμῶν ἠνάγκαζε τοῦτον τὰ μὴ προσήκοντα
χρήματα λαμβάνειν καθ' ὑμῶν, πολλῷ πλείω τῶν
ἱκανῶν δι' ὑμᾶς ἕτερα κεκτημένον, οὐδ' ἀπολογεῖ-
σθαι νῦν ὑπὲρ τῶν ὡμολογημένων ἀδικημάτων, γρά-
ψαντα καθ' ἑαυτοῦ θάνατον τὴν ζημίαν· ἀλλ' ἡ ἐκ
τοῦ ἄλλου βίου ἔμφυτος αἰσχροκέρδεια καὶ πονηρία
109 ταῦτα εἰς τὴν κεφαλὴν αὐτῷ τέτραφε. μὴ οὖν ἄχθε-
σθε αὐτοῦ κλαίοντος καὶ ὀδυρομένου· πολὺ γὰρ ἂν
δικαιότερον ἐλεήσαιτε τὴν χώραν, ἣν οὗτος εἰς τοὺς
κινδύνους καθίστησιν τοιαῦτα πράττων, ἢ τοὺς ἐξ
ἑαυτῆς γεγενημένους ὑμᾶς ἱκετεύει, παραστησαμένη
τὰ ὑμέτερα τέκνα καὶ γυναῖκας, τιμωρήσασθαι τὸν*

107. *προϊεμένους* AB Bk.: *προιμένους* N[m], *προεμένους* v. — *ἐν τῇ πόλει* N Mr. — *ἔχειν ποιησ. πάντας* N Mr.: *ποιήσ. πάντ. ἔχειν.* — *ποιήσει* Dobr.: *ποιήσετε.*

108. *καταπλ.κτέον* A pr. corr.[2]. — *ἄνδρες* N Mr.: *ὦ ἄνδρες.* cf. § 18. — *ἀπολογίαν*] *τιμωρίαν* ci. Bk. in Add.; sed cf. Mr. — *λαμβάνειν* ci. Wolf. rec. Turr.: *λαμβάνοντα* codd.; *λαμβάνειν τὰ* Ald. — *ἀπολογεῖσθαι* pr. A[d] (A sec. Bk.) et cum Wolf. R.: *ἀπολεῖσθαι.*

109. *ἐλεήσαιτε* Dobr. Bk.: *ἐλεήσετε*, quod revoc. Mr. — *εἰς τοὺς κινδ. καθίστ.* N Mr.: *καθ. εἰς τ. κινδ.* — *ἡμᾶς* pr. N. —

προδότην καὶ σώζειν ἑαυτήν, ὑπὲρ ἧς οἱ πρόγονοι
πολλοὺς καὶ καλοὺς κινδύνους ὑπομείναντες ἐλευθέ-
ραν αὐτὴν ὑμῖν παραδεδώκασιν, ἐν ᾗ πολλὰ καὶ καλὰ
παραδείγματα λέλειπται τῆς τῶν τελευτησάντων ἀρε-
τῆς. εἰς ταύτην ἀποβλέψαντας, ὦ Ἀθηναῖοι, καὶ τὰς 110
ἐν αὐτῇ γινομένας πατρίους θυσίας καὶ τὰς τῶν
προγόνων θήκας φέρειν δεῖ τοὺς εὖ φρονοῦντας τὴν
ψῆφον. καὶ ὅταν Δημοσθένης ἐξαπατῆσαι βουλό-
μενος καὶ παρακρουόμενος ὑμᾶς οἰκτίζηται καὶ δα-
κρύῃ, ὑμεῖς εἰς τὸ τῆς πόλεως σῶμα ἀποβλέψαντες
καὶ τὴν πρότερον δόξαν ὑπάρχουσαν αὐτῇ ἀντίθετε,
πότερον ἡ πόλις ἐλεεινοτέρα διὰ τοῦτον γέγονεν ἢ
διὰ τὴν πόλιν Δημοσθένης. εὑρήσετε γὰρ τοῦτον 111
μὲν λαμπρὸν ἐξ οὗ προσελήλυθε πρὸς τὸ πολιτεύε-
σθαι γεγενημένον, καὶ ἀντὶ μὲν λογογράφου καὶ μι-
σθοῦ τὰς δίκας λέγοντος ὑπὲρ Κτησίππου καὶ Φορ-
μίωνος καὶ ἑτέρων πολλῶν πλουσιώτατον ὄντα τῶν
ἐν τῇ πόλει, ἀντὶ δ' ἀγνῶτος καὶ οὐδεμίαν πατρικὴν
δόξαν παρὰ τῶν προγόνων παρειληφότος ἔνδοξον
γεγενημένον, τὴν δὲ πόλιν οὐκ ἀξίως ἑαυτῆς οὐδὲ
τῆς τῶν προγόνων δόξης διακειμένην. ἀφέντες οὖν

πολλοὺς καὶ καλοὺς N Mr.: καλοὺς καὶ πολλοὺς (καλοὺς καὶ mal. abesse Bait. coll. 3, 21; πολλοὺς καὶ μεγάλους ci. Bk.). — αὐτὴν ὑμῖν AB Bk.: ὑμῖν αὐτήν.

110. Aut ἐξαπατῶν καὶ παρακρουόμ. aut ἐξαπατῆσαι βουλ. καὶ παρακρούεσθαι mal. R. — ἡμᾶς N. — σῶμα] ἀξίωμα Markl. Mr. coll. 3, 21. Σῶμα τῆς πόλ. exstat Hyp. I, col. 21, 24, sed sensu non prorsus eodem; [ἀποβλέψαντες εἰς τὸ] . . . πρόςωπον τῆς πόλεως idem dixisse videtur col. 32, 13. — ὑπάρχουσαν αὐτῇ N Mr.: αὐτῇ ὑπάρχουσαν. — πότερον] προτερον A pr.

111. προςελήλυθε πρὸς N Turr.: προςελήλυθεν (προελ. ZM) εἰς (παρελήλ. εἰς W.). — πλουσιώτατον N Turr.: πλουσιώτερον. —

τοὺς ἐλέους καὶ τοὺς φενακισμοὺς τοὺς τούτου τὴν δικαίαν καὶ τὴν ὁσίαν φέρετε ψῆφον, καὶ σκοπεῖτε τὸ τῇ πατρίδι συμφέρον, μὴ τὸ Δημοσθένει· τοῦτο
112 *γάρ ἐστι καλῶν κἀγαθῶν δικαστῶν ἔργον. καὶ ὅταν ἀναβαίνῃ τις συνηγορήσων Δημοσθένει, λογίζεσθε ὅτι οὗτος ὁ ἄνθρωπος, εἰ μὲν μὴ ἔνοχος ὢν ταῖς μελλούσαις ἀποφάσεσιν ἀναβαίνει, κακόνους ἐστὶ τῇ πολιτείᾳ, καὶ τοὺς ἐπὶ τῷ δήμῳ δῶρα λαμβάνοντας οὐ βουλόμενος δίκην δοῦναι, καὶ τὴν κοινὴν τῶν ὑμετέρων σωμάτων φυλακήν, ἐφ' ᾗ τέτακται τὸ ἐν Ἀρείῳ πάγῳ συνέδριον, καταλυθῆναι βούλεται καὶ συγκεχύσθαι πάντα τὰ ἐν τῇ πόλει δίκαια· εἰ δὲ ῥήτωρ ἢ στρατηγός, οἳ τὴν προσδοκωμένην καθ' αὑτῶν ἀπόφασιν ἄπιστον βουλόμενοι γενέσθαι συνηγοροῦσιν, οἷ προσεκτέον ὑμῖν ἐστι τοῖς τούτων λόγοις, εἰδότας ὅτι ἐκ πάντων τούτων γεγένηται συνεργία περὶ τὸν Ἁρπάλου κατάπλουν καὶ τὴν ἄφεσιν.*
113 *νομίσαντες οὖν ὦ Ἀθηναῖοι καθ' ὑμῶν πάντας τούτους ἀναβαίνειν καὶ κοινοὺς ἐχθροὺς εἶναι τῶν νόμων καὶ τῆς πόλεως ἁπάσης, μὴ ἀποδέχεσθε αὐτῶν, ἀλλὰ (αὐτὸν) κελεύετε ἀπολογεῖσθαι περὶ τῶν κατηγορημένων· μηδὲ τὴν αὐτοῦ τούτου μανίαν, ὃς μέγα φρονεῖ ἐπὶ τῷ δύνασθαι λέγειν, καὶ ἐπειδὰν φανερὸς ὑμῖν γένηται δωροδοκῶν, ἔτι μᾶλλον ἐξελήλεγκται φενακίζων ὑμᾶς, (ἀλλὰ) τιμωρήσασθε ὑμῶν*

τὴν δικαίαν καὶ τὴν ὁσίαν N Mr.: *τὴν ὁσίαν καὶ δικαίαν.* cf. 2, 20. — *μὴ τὸ*] *μὴ τῷ* NZM. — *καλὸν κἀγαθὸν* N.
112. vv. *λογίζεσθε* — *ἄνθρ.* in mg. hab. N. — *προσδοκωμένην καθ' αὑτῶν* N Mr.: *καθ' αὑτῶν προσδοκ.* — *γεγένηται* Mr.: *γίνεται.*
113. *φανερῶς* N. — *ἔτι* NAB, et ci. Wolf.: *ὅτι.* — *φ.ναkίζων* A pr. corr.[2] (*φαιναk.* fuerit). —

αὐτῶν καὶ τῆς πόλεως ἀξίως. εἰ δὲ μή, μιᾷ ψήφῳ καὶ ἑνὶ ἀγῶνι πάντας τοὺς ἀποπεφασμένους καὶ τοὺς μέλλοντας ἀφέντες εἰς ὑμᾶς αὐτοὺς καὶ τὸν δῆμον τὴν τούτων δωροδοκίαν τρέψετε, κᾆθ' ὕστερον ἐγκαλεῖτε τοῖς ἀφεῖσιν, ὅτε οὐδὲν ἔσται πλέον ὑμῖν.

Ἐγὼ μὲν οὖν, ὅσον εἰς τὸ μέρος τοὐμὸν τῆς κα- 114
τηγορίας ἥκει, βεβοήθηκα, τἆλλα πάντα παριδὼν πλὴν τοῦ δικαίου καὶ τοῦ συμφέροντος ὑμῖν. οὐκ ἐγκαταλέλοιπα τὴν πόλιν, οὐ χάριν προὐργιαιτέραν τῆς τοῦ δήμου χειροτονίας ἐποιησάμην. ἀξιῶν δὲ καὶ ὑμᾶς τὴν αὐτὴν γνώμην ἔχειν παραδίδωμι τὸ ὕδωρ τοῖς ἄλλοις κατηγόροις.

2.

| ΚΑΤΑ ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ. 105

Πάνθ', ὡς ἔοικεν, ὦ Ἀθηναῖοι, προσδοκητέα ἐστὶ καὶ ἀκοῦσαι καὶ ἰδεῖν ἐν ταῖς γεγενημέναις ἀποφάσεσι· θαυμασιώτατον δὲ πάντων, ὡς ἐμοὶ δοκεῖ, τὸ νῦν γινόμενον. ὁ γὰρ πονηρότατος τῶν ἐν τῇ πόλει, μᾶλλον δὲ καὶ τῶν ἄλλων ἀνθρώπων, Ἀριστογείτων διαδικασόμενος ἥκει τῇ ἐξ Ἀρείου πάγου βουλῇ περὶ ἀληθείας καὶ δικαιοσύνης, καὶ νυνὶ μείζονα κίνδυνον ἡ τὴν ἀπόφασιν πεποιημένη βουλὴ

ἀλλὰ addendum censuit R. — κᾆθ' scr.: κἂν rc. N et AB Mr.; καὶ v. — ἐγκαλῆτε N Mr. — αὐτοῖς post ἐγκαλ. addi mal. Dobr.: quo facto certe τοῖς delendum erit.

Or. II, 1. Verba Πάνθ' ὡς ἔοικεν ὦ ἄνδρες ut initium orationis affert Dion. Dinarch. c. 10. — num τἀπροσδόκητα? — τῇ et βουλῇ NA Bk.: τὴν — βουλὴ B, τὴν — βουλὴν v.

κινδυνεύει ἢ ὁ δῶρα λαμβάνων καθ' ὑμῶν καὶ τὴν
ὑπὲρ τῶν δικαίων παρρησίαν ἀποδόμενος εἴκοσι
2 *μνῶν. τούτῳ μέν γε καινὸν οὐδὲν οὐδὲ δεινόν, ἐὰν*
ἁλῷ, συμβήσεται· καὶ γὰρ θανάτου ἄξια πολλὰ πρό-
τερον ἕτερα διαπέπρακται, καὶ ἐν τῷ δεσμωτηρίῳ
πλείω χρόνον ἢ ἔξω διατέτριφε, καὶ ὀφείλων τῷ δη-
μοσίῳ κατὰ τῶν ἐπιτίμων γέγραφεν οὐκ ἐξὸν αὐτῷ,
καὶ ἕτερα πολλὰ καὶ δεινὰ πεποίηκε, περὶ ὧν ὑμεῖς
ἀκριβέστερον ἐμοῦ γιγνώσκετε· τῇ δὲ βουλῇ τὸ δόξαι
τὰ ψευδῆ κατὰ Ἀριστογείτονος ἀποφαίνειν καὶ τοῦ-
τον ἐκείνης ὑποληφθῆναι παρ' ὑμῖν δικαιότερα λέ-
3 *γειν τῶν αἰσχίστων καὶ δεινοτάτων ἐστί. διόπερ ὦ*
Ἀθηναῖοι οὗτός μοι δοκεῖ, τὸν ἀγῶνα ἀσφαλῆ νομί-
ζων αὐτῷ εἶναι, διαπειρασόμενος ἥκειν τῆς ὑμετέρας
γνώμης· ἅπαντα γὰρ αὐτῷ πολλάκις τὰ δεινὰ συμβέ-
βηκε, πλὴν τοῦ ἀποθανεῖν. τοῦτο δ', ἂν θεὸς θέλῃ
καὶ ὑμεῖς σωφρονῆτε, ἐν τῇ τήμερον ἡμέρᾳ συμβή-
σεται. οὐ γὰρ δὴ μὰ τὸν Ἡρακλέα βελτίω γενήσεσθ'
αὐτὸν προσδοκᾶτε συγγνώμης νυνὶ τυγχάνοντα παρ'
ὑμῶν, οὐδὲ τὸ λοιπὸν ἀφέξεσθαι τοῦ λαμβάνειν χρή-
ματα καθ' ὑμῶν, ἐὰν νῦν ἀφῆτε αὐτόν. πονηρίαν
γὰρ ἀρχομένην μὲν κωλῦσαι τάχ' ἄν τις κολάζων
δυνηθείη, ἐγκαταγεγηρακυῖαν δὲ καὶ γεγευμένην τῶν
4 *εἰθισμένων τιμωριῶν ἀδύνατον εἶναι λέγουσιν. εἰ*

λαμβάνων] *λαβὼν*? sed cf. 15. 20. 24. 26.

2. *ὑμεῖς ἀκριβέστερον* N Mr.: *ἀκριβέστερον ὑμεῖς*. — *τὰ ψευδῆ* dedisse videtur pr. A: *καὶ ψευδῆ* N, *ψευδῆ* v. — *ὑποληφθῆναι παρ' ὑμῖν* N Mr.: *παρ' ὑμῖν ὑπ.* v.

3. *ἀσφαλῆ νομ. αὐτῷ εἶναι* N Mr.: *αὐτῷ* (*αὐτῶν* BZM) *ἀσφ. εἶναι νομ.* — *γενήσεσθ'* N[m]: *γενήσεσθαι*. — *τάχ' ἂν* mal. Bk. Dobr. rec. Turr.: *τάχα*. — *γεγευμένην* B Bk. et ci. Steph. Iungerm.: *γεγενημένην*.

μὲν οὖν ἐγγενήσεσθαι βούλεσθε δευσοποιὸν ἐν τῇ
πόλει πονηρίαν, διαφυλάττειν ὑμᾶς Ἀριστογείτονα
δεῖ, καὶ ἐᾶν ὅ τι ἂν [τις] βούληται ἐν τῇ πόλει δια-
πράττεσθαι· εἰ δὲ τοὺς πονηροὺς καὶ καταράτους
ἀνθρώπους μισεῖτε, καὶ ἔστιν ὑμῖν ὀργὴ καὶ μνήμη
τῶν πρότερον ὑπὸ τούτου πεπραγμένων, ἀποκτεί-
νατε τοῦτον, ὃς παρ' Ἁρπάλου λαβεῖν χρήματα
ἐτόλμησεν, ὃν ᾔσθεσθ' ἥκειν καταληψόμενον τὴν πό-
λιν ὑμῶν, καὶ τὰς προφάσεις καὶ τοὺς φενακισμοὺς
ἐκκόψατε αὐτοῦ· τούτοις γὰρ ἥκει πιστεύων πρὸς
ὑμᾶς.
Ἆρ' ἴστε ὅτι τῆς Ἁρπάλου ἀφίξεως δυσχεροῦς 5
οὔσης ἐκεῖνο συμβέβηκεν εὐτύχημα τῇ πόλει, διότι
πεῖραν εἰλήφατ' ἀκριβῆ τῶν ἕνεκ' ἀργυρίου καὶ χρυ-
σίου πάντα προϊεμένων τοῖς τῆς πόλεως ἐχθροῖς; μὴ
καταρραθυμήσητε ὦ Ἀθηναῖοι, μηδ' ἀπείπητε τιμω-
ρούμενοι τοὺς πονηρούς, ἀλλ' ἐκκαθάρατε, καθ' ὅσον
δυνατόν ἐστι, τὴν δωροδοκίαν ἐκ τῆς πόλεως. καὶ
μὴ τῶν παρ' ἐμοῦ λόγων ἀκούειν ζητήσητε, φανερῶν
ὑμῖν γεγενημένων τῶν ἀδικημάτων κατὰ τῶν ὑπὸ
τῆς βουλῆς ἀποπεφασμένων. τί γὰρ ἀγνοεῖτε δι' ὃ 6

4. δευσοποιὸν πονηρίαν] cf. B. A. I p. 237; Suid. s. v. δευσ. — τις abesse mal. Bk. Schm. — ᾔσθεσθ' N^m^A Bk.: ᾔσθεσθ'. — ὑμῶν N^m^A Bk.: ἡμῶν.

5. πάντα προϊεμένων N Mr.: προϊεμ. πάντα. ἂν desid. Dobr. — ἐκκαθήρατε S. — ζητήσετε N. — κατὰ τῶν N et pr. A: ἐκ τῶν A corr.[2] v. Cf. § 7 init. 6 init.; 3, 20; 1, 6. — ὑπὸ sup. vers. hab. A^d^ a pr. m.

6. Post ἀποπεφασμ. vulgo sequebantur haec: ἢ διὰ τοὺς τοῦ κρινομένου (ita NA Bk.: ἢ διὰ τοὺς κρινομένους v.) προγόνους καὶ (διὰ add. N) τὴν αὐτοῦ μετριότητα, καὶ ὅτι ὑμᾶς πολλὰ (πολλὰ ὑμᾶς N) καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἀγαθὰ εἴργασται, ἄξιον (ἔστιν add. N) αὐτοῦ φείσασθαι; quae coll. § 8 cum Bk. del. Turr. —

δεῖσθε λόγων ἀκούειν κατὰ τοῦ νῦν κρινομένου;
πότερ' ἡ τῆς βουλῆς ἀπόφασις, ἐὰν μὲν ἡμεῖς οἱ κα-
τήγοροι δέκα ὄντες τὸ ὕδωρ ἀναλώσωμεν ἅπαν καὶ
ἀναβοήσωμεν ὡς δεινὸν ἀφεῖσθαί ἐστιν τοὺς εἰλημ-
μένους ἔχοντας ἐπ' αὐτοφώρῳ δῶρα κατὰ τῆς πατρί-
δος, ἀληθὴς καὶ δικαία ἔσται ἡ κατ' Ἀριστογείτονος
7 [ἀπόφασις], ἐὰν δ' ἕκαστος ἡμῶν, ὡς εἰδότων ὑμῶν
πάντα οὐδὲν ἧττον ἡμῶν τὰ δίκαια περὶ τουτωνὶ τῶν
106 ἀγώνων, βραχέα εἰπὼν καταβῇ, | ψευδής, καὶ (οὐ
δικαίως) οὐδὲ ἴσως παρὰ τῶν Ἀρεοπαγιτῶν γεγε-
νημένη; ἢ τὸ δῶρα λαμβάνειν ἐπὶ προδοσίᾳ τῶν
τῆς πόλεως συμφερόντων οὐκ ἴσθ' ὅτι τῶν δεινο-
τάτων ἐστὶ καὶ τῶν πλεῖστα κακὰ τὰς πόλεις ἐργα-
ζομένων;

8 Ἀλλ' αὐτὸς ὁ κρινόμενος νὴ Δία μέτριος τὸν
τρόπον, καὶ προγόνων χρηστῶν, καὶ πολλὰ ὑμᾶς καὶ
ἰδίᾳ καὶ δημοσίᾳ ἀγαθὰ εἰργασμένος, ὥστε διὰ ταῦτ'
ἄξιόν ἐστιν αὐτοῦ φείσασθαι; καὶ τίς ὑμῶν οὐ πολ-
λάκις ἀκήκοεν ὅτι Κυδιμάχου μὲν τοῦ πατρὸς τοῦ
Ἀριστογείτονος θανάτου καταγνωσθέντος καὶ φυγόν-
τος ἐκ ταύτης τῆς πόλεως ὁ χρηστὸς οὗτος υἱὸς πε-
ριεῖδε τὸν αὐτοῦ πατέρα καὶ ζῶντα τῶν ἀναγκαίων

ἀφεῖσθαί ἐστιν N Mr.: *ἐστιν ἀφεῖσθαι*. *ἀφίεσθαι* mal. Turr. — *ἔσται* post *δικαία* collocant N Mr.: post *Ἀριστ.* cett. — *ἡ κατ' Ἀρ. ἀπ.* del. vult Dobr.; *ἀπόφασις* coll. 3, 5 del. Mr.

7. *καὶ οὐ δικαίως οὐδὲ ἴσως* scripsi: *καὶ οὐδεὶς ὡς* N et A pr.; *καὶ οὐδεὶς ταύτῃ πιστεύσει ὡς* A corr. (fort. corr.²) et v. — *γεγενημένη* scr.: *γεγενημένῃ*. — *ἢ*] *καὶ ἡ* B, *καὶ εἰ* ZM.

8. cf. adnot. ad § 6. — *ὑμᾶς* N Bk. absque codicum mentione: *ἡμᾶς* v. ante Bk. Dobs. — *ἀγαθὰ* § 6: *καλὰ* (cf. And. 2, 17). — *ταῦτ'* scr.: *τοῦτ'*. — *Κυδιμάχου* N et cum R Bk.: *τοῦ Κυδιμ.*

σπανίζοντα καὶ τελευτήσαντα οὐ τυχόντα τῶν νομίμων, ἅπερ αὐτοῦ πολλάκις κατεμαρτυρεῖτο· αὐτὸν 9
δὲ τοῦτον, ὅτ' εἰς τὸ δεσμωτήριον τὸ πρῶτον ἀπήχθη — πολλάκις γὰρ ἴστε δήπου τοῦτο γεγενημένον —, τοιαῦτα τολμήσαντα ποιεῖν αὐτοῦ, ὥστ' ἐκείνους ἀποψηφίσασθαι μήτε πῦρ ἐναύειν τούτῳ μήτε συσσιτεῖν μηδένα μήτε θυσιῶν τῶν γινομένων κοινωνεῖν. καίτοι ὦ Ἀθηναῖοι τίνα χρὴ τοῦτον νομίζειν διάνοιαν ἔχειν, ὃς διὰ μὲν πονηρίαν εἰς τὸ δεσμωτήριον ἐνέπεσεν, ἐκεῖ δ' ὢν παρὰ τοῖς ἐκ τῶν ἄλλων ἀνθρώπων 10
κακούργοις ἀπηγμένοις οὕτως εἶναι πονηρὸς ἔδοξεν, ὥστε μηδ' ἐκεῖ τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἄλλοις, ἀλλὰ κλέπτην, ὥς φασι, ληφθέντα τουτονὶ παρ' ἐκείνοις, εἰ ἦν ἕτερός τις τόπος ἀνοσιώτερος ἵνα ἐξῆν ἀπάγειν τοὺς ἐκ τοῦ δεσμωτηρίου κλέπτοντας, εἰς ἐκεῖνον ἂν τοῦτο τὸ θηρίον ἀπαχθῆναι. καὶ ταῦθ', ἅπερ ἀρτίως εἶπον, τίς οὐκ οἶδε καταμαρτυρηθέντα Ἀριστογείτονος, ὅτ' ἐμπορίου ἐπιμελητὴς λαχὼν ἀπεδοκιμάσθη ὑπὸ τῶν τότε δικαζόντων ἄρχειν ταύτην τὴν
ἀρχήν; ἔπειτ' εἰρωνεύεσθε πρὸς ὑμᾶς αὐτούς, καὶ 11
περὶ Ἀριστογείτονος μέλλοντες φέρειν τὴν ψῆφον ἐλεεῖτε, ὃς τὸν αὑτοῦ πατέρα κακῶς διατιθέμενον ὑπὸ τοῦ λιμοῦ οὐκ ἠλέησεν; ἔπειτα παρ' ἡμῶν ἔτι λόγους ἀκούειν βούλεσθε περὶ τῆς Ἀριστογείτονος

9. δήπου τοῦτο N Mr.: τοῦτο δήπου. — αὐτοῦ cum Wm. Turr.: αὐτούς, quod def. Mr. — διάνοιαν ἔχειν N Mr.: ἔχειν διάνοιαν.

10. ἀπηγμένοις cum Wm. Turr.: ἀνηγμένοις. — μηδ' ἐκεῖ Dobr. (sive μηδὲ del. ἐκ.): μηδ' ἐκείνοις. — ἐκ τοῦ N Mr.: ἐκ. — ταύτην τὴν Turr. (ci. Emp. Meier.): αὐτὴν τὴν N, τὴν αὐτὴν v.

11. τοῦ λιμοῦ N Mr.: λιμοῦ. —

τιμήσεως, ὃν ἴστε ἀκριβῶς ὅτι δικαίως ἂν καὶ ἐκ τοῦ ἄλλου βίου καὶ ἐκ τῶν νῦν αὐτῷ πεπραγμένων τῆς
12 ἐσχάτης τύχοι τιμωρίας; οὐκ Ἀριστογείτων ἐστίν, ὦ Ἀθηναῖοι, ὁ κατὰ τῆς ἱερείας τῆς Ἀρτέμιδος τῆς Βραυρωνίας καὶ τῶν οἰκείων αὐτῆς τοιαῦτα γράψας καὶ ψευσάμενος, ὥσθ' ὑμᾶς, ἐπειδὴ τὴν ἀλήθειαν ἐπύθεσθε παρὰ τῶν κατηγόρων, πέντε ταλάντων τιμῆσαι τούτῳ, ὅσονπερ ἦν ἐπὶ τῇ τῶν παρανόμων γραφῇ τίμημα ἐπιγεγραμμένον; οὐχ οὗτος πρὶν ἐκτῖσαι τοῦτο, συκοφαντῶν τὸν ἐντυγχάνοντα ὑμῶν καὶ λέγων καὶ γράφων ἐν τῷ δήμῳ διατετέλεκε, καὶ καταφρονῶν ἁπασῶν τῶν τιμωριῶν αἳ κατὰ τῶν ἀδι-
13 κούντων ἐν τοῖς νόμοις εἰσὶ γεγραμμέναι; οὐ τὸ τελευταῖον οὗτος ἐνδειχθεὶς ὑπὸ Λυκούργου, καὶ ἐξελεγχθεὶς ὀφείλων τῷ δημοσίῳ λέγειν οὐκ ἐξὸν αὐτῷ, καὶ παραδοθεὶς τοῖς ἕνδεκα κατὰ τοὺς νόμους, περιπατῶν ἔμπροσθεν τῶν δικαστηρίων ..... καὶ εἰς τὴν προεδρίαν τῶν πρυτάνεων ἐκάθιζεν;

14 Εἶτ' ὦ ἄνδρες Ἀθηναῖοι, ὃν οἱ νόμοι μὲν πολλάκις ὑμῖν παραδεδώκασι τιμωρήσασθαι, κατεψηφισμένον (δ') ὑπὸ τῶν πολιτῶν καὶ δεθέντα φυλάξαι

τύχη A[d].

12. Βραυρωνίας Mkl. R: βαυβρωνίας N[m] (βραυβρ. N sec. Th.) AZ et corr. B, βαβρωνίας B pr., βαμβρωνίας M. — τίμημα ante τιμῆσαι add. A pr. — τούτῳ N et cum Steph. Turr.: τοῦτον. — οὐχ οὗτος cum Schm. et Dobr. Mr.: ὃ οὗτος. Contra Bk. secludit τοῦτο.

13. Post δικαστ. R. intercidisse putat ὤφθη vel ἑωρᾶτο. — προεδρείαν N et pr. A. — τῶν πρυτ.] τὴν πρ. N; num τὴν τῶν πρ.? — ἐγκαθίζων mal. R.

14. κατεψηφ. κτἑ.] dedi locum ex coni. S., nisi quod δεθέντα pro eo quod ille proposuit ἀπαχθέντα scripsi. Κατεψ. ὑπὸ τ. π. διδαχθέντες φυλάξαι δ' οὔθ' κτἑ. NABZM; v. pro διδ. praebet ἐνδειχθέντα (εἰρχθέντα Emp.). Fr. ita

οὔθ᾽ οἱ ἕνδεκα δεδύνηνται οὔτε τὸ δεσμωτήριον,
τούτῳ βουλήσεσθε συμβούλῳ χρῆσθαι; καὶ ὁ μὲν
νόμος εὐξάμενον κελεύει τὸν κήρυκα μετ᾽ εὐφημίας
πολλῆς, οὕτως ὑμῖν τὸ βουλεύεσθαι περὶ τῶν πραγ-
μάτων παραδιδόναι· ὑμεῖς δὲ τὸν ἀνόσιον καὶ περὶ
πάντας πονηρὸν καὶ μάλιστα περὶ τὸν ἑαυτοῦ πατέρα
γεγενημένον, τοῦτον μεθ᾽ ὑμῶν καὶ μετὰ τῶν ὑμε-
τέρων οἰκείων καὶ συγγενῶν ἐάσετε πολιτεύεσθαι;
καὶ Δημάδῃ μὲν καὶ Δημοσθένει οὐδεμίαν ᾤεσθε δεῖν 15
συγγνώμην ἔχειν, ὅτι δῶρα καθ᾽ ὑμῶν ἐξηλέγχθησαν
λαμβάνοντες, ἀλλ᾽ ἐτιμωρήσασθε, καὶ δικαίως, οἷς εἰ
μὴ πάντα ἀλλὰ πολλά γε σύνιστε χρήσιμα πεπολιτευ-
μένοις· τὸν δὲ κατάρατον τοῦτον, ὃς ἀγαθὸν μὲν
ὑμᾶς οὐδὲ πώποτε πεποίηκεν ἐξ οὗ πρὸς τὴν | πόλιν 107
προσελήλυθε, κακὸν δ᾽ ὅ τι δυνατός ἐστιν, ἀφήσετε;
καὶ τίς οὐκ ἂν ἐγκαλέσειεν ὑμῖν τοῖς τοῦτον προς-
δεχομένοις σύμβουλον; ὅταν γὰρ ἄνθρωπος γνώρι-
μον καὶ φανερὰν καὶ περιβόητον τὴν πονηρίαν παρὰ
πᾶσι τοῖς πολίταις ἔχων ἐν ὑμῖν δημηγορῇ, τότε τοὺς
ἀκούοντας ὑμᾶς οἱ περιεστηκότες θαυμάζουσι, πότε-
ρα βελτίους οὐκ ἔχετε συμβούλους ἢ καὶ χαίρετε τῶν
τοιούτων ἀκούοντες. χρὴ δέ, ὦ Ἀθηναῖοι, ὥσπερ οἱ 16

locum constituit: — — τιμωρήσασθαι ὑπὸ τ. π. ἐνδειχθέντα, φυλ. δ᾽ οὔθ᾽ κτἑ., deleto voc. κατεψ., quod etiam post φυλ. δὲ transponere possis. — εὐξάμενος N.

15. mal. (ὀρθῶς) καὶ δικαίως. — συνῆστε Hi. — πεπολιτευμένοις N: πολιτευομένοις. — οὐδεπώποτε πεποίηκεν Mr.: οὐδέποτε πεπ. N, πεπ. οὐδεπώποτε v. Οὐδὲν οὐδεπώπ. ci. Bk., οὐδὲν πώποτε Wm. Cb.; v. Mr. — πόλιν ABZM et N^m; rec. Mr. coll. Dem. in Theocr. 30: πολιτείαν. — προςδεχομένοις N Mr.: δεχομένοις. — γνώριμον καὶ φανερὰν ci. R.: γνώριμος καὶ φανερὸς. — ἐν ὑμῖν add. N Mr. — θαυμάζουσι ZM Bk. Turr.: θαυμάσουσι. — πότερα N Mr.: πότερον. — τὸν τοιοῦτον N.

πρῶτοι νομοθέται περὶ τῶν ἐν τῷ δήμῳ λεγόντων τοῖς προγόνοις ὑμῶν ἐνομοθέτησαν, οὕτω καὶ ὑμᾶς ζητεῖν ἀκούειν, ἵνα βελτίους τοὺς προσιόντας ὑμῖν ποιήσητε. πῶς οὖν ἐκεῖνοι περὶ τούτων ἐγίγνωσκον; πρῶτον μὲν καθ' ἑκάστην (ἐκκλησίαν) δημοσίᾳ κατὰ τῶν πονηρῶν ἀρὰς ποιούμενοι, εἴ τις δῶρα λαμβάνων μετὰ ταῦτα λέγει καὶ γιγνώσκει περὶ τῶν πραγμάτων, ἐξώλη τοῦτον εἶναι· ὧν οὗτος νῦν ἐστιν

17 Ἀριστογείτων· ἔπειτα ἐν τοῖς νόμοις δώρων γραφὰς ποιήσαντες, καὶ κατὰ μόνου τούτου τῶν ἀδικημάτων δεκαπλασίαν ἐπιτιθέντες τοῦ τιμήματος τὴν ἔκτισιν, ἡγούμενοι τὸν τιμὴν λαμβάνοντα τῶν ἐν τῷ δήμῳ ῥηθήσεσθαι μελλόντων λόγων, τοῦτον οὐχ ὑπὲρ τῶν τοῦ δήμου βελτίστων ἀλλ' ὑπὲρ τῶν τοῖς δοῦσι συμφερόντων δημηγορεῖν· Ἀριστογείτονα τοίνυν ἡ βουλὴ ἀποπέφαγκε· πρὸς δὲ τούτοις ἀνακρίνοντες τοὺς τῶν κοινῶν τι μέλλοντας διοικεῖν, τίς ἐστι τὸν ἴδιον τρόπον, εἰ γονέας εὖ ποιεῖ, εἰ τὰς στρατείας ὑπὲρ τῆς πόλεως ἐστράτευται, εἰ ἱερὰ πατρῷα ἔστιν,

18 εἰ τὰ τέλη τελεῖ· ὧν οὐδὲν ἂν ἔχοι δεῖξαι συμβεβη-

16. ὑμῶν N Mr.: ἡμῶν. — ποιήσετε N^{m}. — ἐκκλησίαν h. l. cum Dobr. add. Mr. coll. 1, 42. 47; ante ἑκ. addi mal. S. — δημοσίᾳ] vel καὶ vel τὴν δημοσίαν ded. vid. pr. A^{4}. — κατὰ τῶν πον. ἀρ. ποιούμ. N Mr.: ἀρ. ποιούμ. κ. τ. πον. — γιγνώσκῃ N sec. Thurl.

17. ἐν τοῖς βωμοῖς NM; ἐν βωμοῖς v. ante Bk. — τιμήματος] λήμματος Bk. Turr. coll. 1, 60. Sed h. l. τίμημα aestimatio litis ab accusatore facta esse videtur; cf. § 12. Dem. Tim. 114 διπλάσιον ἀποδιδόναι τὸ τιμηθέν, et Hyp. 1, col. 20, 19. Aliter sane Dem. 1, c. 82 sq. — ἀνακρίνοντες scripsi coll. ποιούμενοι § 16: ἀνακρίναντες. — ἐστι cum R. Turr.: ἔσται. — εἰ ἱερὰ] εἰς τὰ ἱερὰ ded. vid. pr. A^{4}. Pro ἱερὰ cum Vales. et Meier. ἠρία scr. Turr. coll. § 18; vulg. def. Mr.

18. δεῖξαι post ἔχοι hab. N Mr., post αὐτῷ v. —

κὸς Ἀριστογείτων αὐτῷ. ἀντὶ μὲν γὰρ τοῦ γονέας εὖ ποιεῖν κακῶς οὗτος τὸν ἑαυτοῦ πατέρα πεποίηκεν· ὅτε δ' ὑμεῖς ἐστρατεύεσθε πάντες, οὗτος ἦν ἐν τῷ δεσμωτηρίῳ· τοσοῦτον δ' ἀπολέλοιπε τοῦ πατρὸς μνῆμά τι ἔχειν ὦ Ἀθηναῖοι δεῖξαι, ὥστ' οὐδ' ἐν Ἐρετρίᾳ τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος ἐκεῖ τὰ νομιζόμενα ἐποίησεν αὐτῷ· τῶν δ' ἄλλων Ἀθηναίων εἰσφερόντων ἐκ τῶν ἰδίων οὗτος οὐδὲ τῶν δημοσίων καὶ ὧν ὦφλεν τὸ ἀργύριον ἅπαν ἐκτέτικεν. ἁπλῶς 19
δ' εἰπεῖν, ἐναντία τοῖς νόμοις ἅπασι πράττων διατετέλεκε, καὶ τοῦτον μόνον ἡ ἐξ Ἀρείου πάγου βουλὴ αὐτοῖς ἐξητηκόσι καὶ εἰδόσιν ἀποπέφαγκεν· οὐ γὰρ παρ' ἐκείνης ὑμεῖς πυθόμενοι τοῦτον ἴστε πονηρὸν καὶ ἄδικον ὄντα, ἀλλὰ ἕκαστος ὑμῶν ἀκριβῶς οἶδε τὴν τούτου πονηρίαν. ὥστε τὸ πολλάκις λεγόμενον ἀληθὲς εἰπεῖν ἐστιν, ὅτι περὶ μὲν τούτου τὴν ψῆφον ὑμεῖς μέλλετε φέρειν, περὶ δ' ὑμῶν οἱ περιεστηκότες καὶ οἱ ἄλλοι πάντες.

Διὸ καὶ σωφρόνων ἐστὶ δικαστῶν, ὦ Ἀθηναῖοι, 20
μήθ' ὑμῖν αὐτοῖς ἐναντίαν ἐνεγκεῖν τὴν ψῆφον μήτε πᾶσι τοῖς ἄλλοις Ἀθηναίοις, ἀλλ' ὁμοθυμαδὸν καταψηφισαμένους πάντας παραδοῦναι τοῖς ἐπὶ τοῦτο τεταγμένοις θανάτῳ ζημιῶσαι, καὶ μὴ προέσθαι [καὶ μὴ προδοῦναι] τὴν ὁσίαν καὶ τὴν εὔορκον ψῆφον,

τοῦ γονέας N A^d Bk.: τοὺς γονέας. — οὐδὲ τῶν N Turr.: οὐδ' ἐκ τῶν.

19. αὐτοῖς scripsi: τοῖς. — πονηρίαν] μοχθηρίαν Ald., quod praef. Wm. coll. Phot. lex. p. 277: καὶ μοχθηρία ἐπὶ τῆς κακίας τέτακται. οὕτω Δείν. cf. v. l. Ant. 4 β 4. — οἱ ἄλλοι] οἱ supra v. add. a pr. A^d.

20. παραδοῦναι (τοῦτον) cum Schm. Mr. — ἐπὶ τοῦτο NB et A corr. Turr.: ἐπὶ τούτῳ Z Bk., ἐπὶ τοῦτον v. — καὶ μὴ προδοῦναι del. mal. Mr. — ὁσίαν Bk. in Add. Dobr.

ἀναμνησθέντας ὅτι τούτου κατέγνωκεν ἡ βουλὴ δῶρα
λαμβάνειν καθ' ὑμῶν, τούτου κατέγνωκεν ὁ πατὴρ
καὶ ζῶν καὶ τελευτήσας ἀδικεῖν ἑαυτόν, [καὶ] ἵνα τὸ
πρᾳότατον εἴπω τῶν ὀνομάτων, τούτου καταχειροτο-
21 *νήσας ὁ δῆμος παραδέδωκεν ὑμῖν τιμωρήσασθαι, οὗ-*
τος πολλὰ κακὰ διαπεπραγμένος ἐπὶ τοιούτοις εἴλη-
πται πράγμασι νῦν ἀδικῶν, ἐφ' οἷς αἰσχρόν ἐστιν
ὑμῖν τοῖς δικάζουσιν ἀτιμώρητον ἐᾶσαι τοῦτον. τίνα
γὰρ τρόπον, ὦ Ἀθηναῖοι, περὶ τῶν ἄλλων ἀποφάσεων
οἴσετε τὴν ψῆφον; ἢ διὰ τίνας προφάσεις τῶν ἤδη
κεκριμένων ἔσεσθε κατεψηφισμένοι; ἢ διὰ τί τὸ μὲν
ἀποφαίνειν τὴν βουλὴν τοὺς εἰληφότας τὰ χρήματα
φανεῖσθε σπουδάζοντες, τὸ δὲ τιμωρεῖσθαι τοὺς ἀπο-
22 *πεφασμένους ἐῶντες; μὴ γὰρ ἰδίους τοὺς ἀγῶνας*
τούτους ὑπολάβητε εἶναι κατὰ τῶν νῦν ἀποπεφασμέ-
νων μόνων, ἀλλὰ κοινοὺς καὶ κατὰ τῶν ἄλλων ἀν-
θρώπων. δωροδοκία γὰρ καὶ προδοσία κρινομένη
παρ' ὑμῖν δυοῖν θάτερον ἐκ τοῦ λοιποῦ χρόνου
ποιήσει τοὺς ἄλλους, ἢ χρήματα λαμβάνειν καθ' |
108 *ὑμῶν θαρροῦντας ὡς οὐ δώσοντας δίκην, ἢ φοβεῖ-*
σθαι τὸ λαμβάνειν ὡς τῆς τιμωρίας τοῖς ληφθεῖσιν
23 *ἀξίας γενησομένης τῶν ἀδικημάτων. οὐκ ἴσθ' ὅτι*
καὶ νῦν ὁ φόβος ὁ παρ' ὑμῶν τοὺς ὁρμῶντας ἐπὶ

Turr.: *θείαν* (*ἀλήθειαν* ci. Emp.). — *καὶ* ante *ἵνα* del. Emp. — *πρᾳότατον* cum R. Turr.: *πρᾳότερον*. — *παραδέδωκεν* N Mr.: *παρέδωκεν*.

21. *νῦν* om. pr. A^b. — *ἐστι* N. — *κεκριμμένων* pr. A^d. — *ἔσεσθαι* pr. N. — *φανεῖσθε* Dobr.: *φαίνεσθε*.

22. *τοὺς* ante *ἀγ*. add. N Mr. — *ὑπολάβοιτε* ABZM. — *ἀποπεφ. μόνων* N Mr. ci. R.: *μόνων ἀποπεφ.* cett. cod. — *καὶ* ante *κατὰ τῶν ἄλλων* add. N A^d M Turr. — *ἀνθρώπων* del. Hi.; an *ἁπάντων*? — *ἐκ τοῦ λοιποῦ* N et pr. A corr.[2] Turr.: *ἐπὶ τ. λ.*

*τὰ καθ' ὑμῶν ἥκοντα χρήματα [νῦν] ἀνείργει καὶ
ποιεῖ πολλάκις ἀπὸ τοῦ λήμματος ἀποστρέφειν, καὶ
τὸ ψήφισμα τοῦ δήμου, τὸ ζητεῖν τὴν βουλὴν περὶ
τούτων τῶν χρημάτων προστάττον, οὐδὲ τοὺς κεκομι-
κότας τὸ χρυσίον εἰς τὴν χώραν ὁμολογεῖν πεποίηκε;
καλῶς γάρ, ὦ Ἀθηναῖοι, καλῶς οἱ πρόγονοι περὶ* 24
*τούτων ψηφισάμενοι στήλην εἰς ἀκρόπολιν ἀνή-
νεγκαν, ὅτε φασὶν Ἄρθμιον τὸν Πυθώνακτος τὸν
Ζελείτην κομίσαι τὸ χρυσίον (τὸ) ἐκ Μήδων ἐπὶ
διαφθορᾷ τῶν Ἑλλήνων. πρὶν γὰρ λαβεῖν τινας καὶ
δοῦναι τοῦ τρόπου πεῖραν, φυγὴν τοῦ κομίσαντος
τὸ χρυσίον καταγνόντες ἐξήλασαν αὐτὸν ἐξ ἁπάσης
τῆς χώρας. καὶ ταῦθ', ὥσπερ εἶπον, εἰς τὴν ἀκρό-
πολιν εἰς στήλην χαλκῆν γράψαντες ἀνέθεσαν, πα-
ράδειγμα ὑμῖν τοῖς ἐπιγινομένοις καθιστάντες, καὶ
νομίζοντες τὸν ὁπωσοῦν χρήματα λαμβάνοντα οὐχ
ὑπὲρ τῆς πόλεως ἀλλ' ὑπὲρ τῶν διδόντων βουλεύε-
σθαι. καὶ μόνῳ τούτῳ προσέγραψαν τὴν αἰτίαν· δι'* 25
*ἣν ὁ δῆμος ἐξέβαλεν αὐτὸν ἐκ τῆς πόλεως, γράψαν-
τες διαρρήδην Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελεί-
την πολέμιον εἶναι τοῦ δήμου καὶ τῶν συμμάχων,
αὐτὸν καὶ γένος, καὶ φεύγειν Ἀθήνας, ὅτι τὸν ἐκ
Μήδων χρυσὸν ἤγαγεν εἰς Πελοπόννησον. καίτοι εἰ
τὸν ἐν Πελοποννήσῳ χρυσὸν ὁ δῆμος πολλῶν κακῶν
αἴτιον ἡγεῖτο τοῖς Ἕλλησιν εἶναι, πῶς χρὴ ῥαθύμως*

23. *οὐ … ἴσθ'* pr. A corr.[1]. — *καθ' ὑμῶν* N Mr.: *καθ' ἡμῶν*. — *νῦν* secl. Bk. Mr. — *προστάττον* R.: *πρός τ' αὐτόν*.

24. Cf. Dem. Phil. 3, 42. 19, 271; Aesch. 3, 258 ceterosque locos quos collegit Mr. — *ἀρίθμιον* NAB. — *ζελίτην* pr. A corr.[2]. — (*τὸ*) *ἐκ Μήδων* ci. Schm.; cf. Dem. Aesch. ll. c. et § 25. — *ταῦθ'* a corr. hab. A^d.

25. *ἀρίθμιον* N A^d. — *ζελίτην* pr. A^d. —

ἔχειν ὁρῶντας ἐν αὐτῇ τῇ πόλει δωροδοκίαν γιγνομένην; καί μοι σκοπεῖτε ταύτην τὴν στήλην.

ΣΤΗΛΗ.

26 Καίτοι, ὦ Ἀθηναῖοι, τί ἂν οἴεσθε ἐκείνους τοὺς ἄνδρας ποιῆσαι λαβόντας ἢ στρατηγὸν ἢ ῥήτορα πολίτην ἑαυτῶν δῶρα δεχόμενον ἐπὶ τοῖς τῆς πατρίδος συμφέρουσιν, οἳ τὸν ἀλλότριον καὶ τῷ γένει καὶ τῇ φύσει τῆς Ἑλλάδος ἄνθρωπον οὕτω δικαίως καὶ σωφρόνως ἐξήλασαν; τοιγάρτοι τῆς πόλεως καὶ τῶν προγόνων ἀξίως ἐκινδύνευσαν πρὸς τὸν βάρβαρον.

ΛΕΙΠΕΙ.

3.

ΚΑΤΑ ΦΙΛΟΚΛΕΟΥΣ.

Τί χρὴ λέγειν πρὸς τῶν θεῶν περὶ τοιούτων ἀνθρώπων, ἢ πῶς χρήσεσθε τῇ τούτου πονηρίᾳ, ὃς οὐχ ἅπαξ ἀλλὰ τρὶς ἐξεληλεγμένος ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς, ὡς ὑμεῖς ἅπαντες ἴστε καὶ νῦν ἐν τῷ δήμῳ ἠκούετε, καὶ ἐψευσμένος ἁπάντων Ἀθηναίων

αὐτῇ τῇ Dobr. (cf. 1, 93; Dem. 19, 271): ταύτῃ τῇ.

26. ποιῆσαι post ἄνδρας N Mr.: v. post οἴεσθε positum. — τοῖς τῆς NA Bk.: τῆς BZM, τοῖς v. — ἐξήλασαν ἐκ Πελοποννήσου πάσης v.; del. ἐκ Π. π. cum Bk. Wm. Turr. (ἐξ Ἑλλάδος πάσης mal. Schm.; ft. vv. τῆς Ἑλλάδος post φύσει delenda et pro Πελ. inserenda sunt). — Compluria deesse monuer. Turr. Mr.

Or. III. Initium orat. ita exhibet Dionys. Din. c. 11: Τί χρὴ λέγειν τὸ πρὸς τῶν. — τοιούτων ἀνθρώπων N Mr.: τοιούτου ἀνθρώπου. — ἢ πῶς Bk.: ὅπως. cf. 1, 102. — ἐληλεγμένος N. — ἐξ Ἀρείου] Ἀρείου N. —

ἐναντίον καὶ τῶν περιεστηκότων, φάσκων κωλύσειν
Ἅρπαλον εἰς τὸν Πειραιᾶ καταπλεῦσαι, στρατηγὸς
ὑφ᾽ ὑμῶν ἐπὶ τὴν Μουνυχίαν καὶ τὰ νεώρια κεχει-
ροτονημένος, καὶ δῶρα τολμήσας λαβεῖν κατὰ πάντων 2
ὑμῶν καὶ τῆς χώρας καὶ παίδων καὶ γυναικῶν, καὶ
ἐπιωρκηκὼς ὃν ὤμοσεν ὅρκον μεταξὺ τοῦ ἕδους καὶ
τῆς τραπέζης, καὶ γράψας καθ᾽ ἑαυτοῦ ψήφισμα καὶ
θανάτου τιμησάμενος ἐὰν εἰλήφῃ τι τῶν χρημάτων
ὧν Ἅρπαλος εἰς τὴν χώραν ἐκόμισεν, ὅμως ἐτόλμη- 3
σεν εἰς τοὺς εἰδότας ὑμᾶς ἐξεληλεγμένον ἑαυτὸν
ἅπασι τούτοις ἔνοχον γεγενημένον ἐλθεῖν καὶ δεῖξαι
ἑαυτόν, οὐ τῷ δικαίῳ πιστεύων, ὦ Ἀθηναῖοι — τί
γὰρ τούτῳ δικαιοσύνης μέτεστιν; — ἀλλὰ τῇ τόλμῃ
καὶ τῇ ἀναιδείᾳ, ᾗ χρώμενος πρότερον μὲν ἠξίωσε
καταφρονήσας ὑμῶν καὶ τῶν ἐν τῇ πόλει δικαίων
τὰ χρήματα λαβεῖν, νυνὶ δὲ ἀπολογησόμενος ἥκει ὡς
οὐδὲν τούτων διαπέπρακται· τοσοῦτον τῆς ὑμετέρας
ῥᾳθυμίας καταπεφρόνηκε. καὶ ὁ μὲν κοινὸς τῆς πό- 4
λεως νόμος, ἐάν τις (ἑνὸς) ἐναντίον τῶν πολιτῶν
ὁμολογήσας τι | παραβῇ, τοῦτον ἔνοχον εἶναι κε- 109
λεύει τῷ ἀδικεῖν· ὁ δὲ πάντας Ἀθηναίους ἐξηπατη-
κὼς καὶ προδοὺς τὴν πίστιν ἣν παρ᾽ ὑμῶν οὐκ ἄξιος
ὢν ἔλαβε, καὶ τὸ καθ᾽ αὑτὸν μέρος ἅπαντ᾽ ἀνατε-
τραφὼς τὰ ἐν τῇ πόλει, οὗτος ἐπὶ τὴν ἀπολογίαν
ἥκειν φήσει τὴν ὑπὲρ τῆς αἰτίας τῆς εἰς αὑτὸν γε-

ἐναντίον a corr. habet A[d]. — καταπλεῦσαι Bk.: καταπλεύσειν.
2. ἐπιορκηκὼς A pr. corr.[2]. — τιμησάμενος A[d] Bk.: τιμωρησάμενος M Ald. — εἰλήφῃ cum Bk. Turr.: εἴληφε (ἑαυτῷ εἰ εἴληφε ci. Mr., εἰληφὼς τι ληφθῇ coll. 1, 40 Dobr.; cf. etiam 1, 1 et 104).
3. ὦ Ἀθηναῖοι add. N Mr. — καὶ τῇ] τῇ N et pr. A corr.[2].
4. ἐναντίος N. — αὑτὸν Turr.: αὐτὸν.

5 γενημένης; ἐγὼ δὲ, ὦ Ἀθηναῖοι, εἰ δεῖ τἀληθῆ λέ-
γειν — δεῖ δέ —, οὐ τὰς ἀποφάσεις οἶμαι νῦν
κρίνεσθαι, πότερον ἀληθεῖς εἰσιν ἢ ψευδεῖς αἱ κατὰ
Φιλοκλέους γεγενημέναι, ἀλλὰ περὶ μόνης τῆς τιμω-
ρίας ὑμᾶς δεῖν τῆς ἐν τῷ ψηφίσματι γεγραμμένης
δικάσαι νῦν, πότερα δεῖ χρημάτων τιμῆσαι τῷ τηλι-
καῦτα ἠδικηκότι τὴν πόλιν, ἢ θανάτῳ ζημιώσαντας,
ὥσπερ οὗτος ἔγραψεν· ἐν τῷ ψηφίσματι καθ' αὑτοῦ,
δημεῦσαι τὴν οὐσίαν τὴν ἐκ τοιούτων λημμάτων
συνειλεγμένην.

6 Οἴεσθε τοῦτον νῦν πρῶτον ἐπὶ τούτων τῶν χρη-
μάτων πονηρὸν γεγενῆσθαι, ἢ νῦν πρῶτον καθ'
ὑμῶν δῶρα εἰληφέναι; οὐκ ἔστι ταῦτα, ἀλλὰ πάλαι
τοιοῦτος ὢν ἐλάνθανεν ὑμᾶς, καὶ εὐτυχεῖτε, καθότι
οὐκ ἐν μείζοσι καιροῖς ἐπύθεσθε τὴν αἰσχροκέρδειαν
αὐτοῦ· οὐ γάρ ἐστι χαλεπώτερον ἀνθρώπου τὴν αὑ-
7 τοῦ πονηρίαν ἀγνοουμένην ἔχοντος. οὐκ ἀποκτενεῖτε,
ὦ Ἀθηναῖοι, πάντες ὁμοθυμαδὸν τὸν εἰς τοσαύτην
αἰσχύνην καὶ ἀδικίαν πολλοὺς τῶν πολιτῶν ἐμβε-
βληκότα, τὸν ἀρχηγὸν γενόμενον τοῦ διαδεδομένου
χρυσίου καὶ εἰς αἰτίαν καθιστάντα πᾶσαν τὴν πόλιν;

5. ὦ Ἀθηναῖοι N Mr.: ὦ ἄνδρες. — οὐ τὰς ci. Mr.: οὐδὲ τάς. — μόνης auct. R. Turr.: μὲν, quod revoc. Mr. — δεῖν N A Turr.: δεῖ. — τῆς ἐν] ταῖς ἐν A pr. corr.[2]; item mox γεγραμμέναις. — τὴν πόλιν om. pr. A. — δημεῦσαι cum R. Bk.: ἢ δημεῦσαι.

6. εὐτυχεῖτε Mr. cum Schol. Ar. Eq. 1299 et Suid. s. v. πυνθάνεσθαι, qui Dinarchi nomine afferunt vv. εὐτ. — αἰσχροκέρδειαν: ηὐτυχεῖτε cum R. Bk., εὐτύχει N^m, ηὐτύχει v. — καθότι] ὅτι Suid. Schol., qui iidem et μείζονι καιρῷ (hoc quidem non male) et τὴν αὐτοῦ αἰσχροκ. praebent. — τὴν αὐτοῦ cum Steph. Turr.: τὴν αὐτὴν (αὐτὴν del. Mr.).

7. ἀδικίαν] ἀτυχίαν ci. Schm.; ἀδοξίαν ci. Mr. — τῶν πολιτῶν add. N Mr. — καθιστάντα cum Steph. Turr.: καθίσαντα. —

ἀλλ' ὑπομενεῖτε ἀκούειν τοῦ τοσαῦτα διαπεπραγμέ-
νου καθ' ὑμῶν, ὡς τὸ συνέδριον τὸ ἐν Ἀρείῳ πάγῳ
ψευδεῖς πεποίηται τὰς ἀποφάσεις, καὶ ὡς αὐτὸς μὲν
δίκαιος καὶ χρηστὸς καὶ ἀδωροδόκητός ἐστιν, ἡ δ' ἐξ
Ἀρείου πάγου βουλὴ ταῦτα πάντα προεῖται χάριτος
ἢ λήμματος ἕνεκα; ἆρ' ἴστε ὅτι ἐπὶ μὲν τῶν ἄλλων 8
ἀδικημάτων σκεψαμένους ἀκριβῶς δεῖ μεθ' ἡσυχίας
καὶ τἀληθὲς ἐξετάσαντας, οὕτως ἐπιτιθέναι τοῖς ἠδι-
κηκόσι τὴν τιμωρίαν, ἐπὶ δὲ ταῖς φανεραῖς καὶ παρὰ
πάντων ὡμολογημέναις προδοσίαις πρώτην τετάχθαι
τὴν ὀργὴν καὶ τὴν μετ' αὐτῆς γιγνομένην τιμωρίαν;
τί γὰρ τοῦτον οὐκ ἂν οἴεσθε ἀποδόσθαι τῶν ἐν τῇ 9
πόλει σπουδαιοτάτων, ὅταν ὑμεῖς ὡς πιστὸν αὐτὸν
καὶ δίκαιον φύλακα καταστήσητε; ποίας οὐκ ἂν προ-
δοῦναι τριήρεις τῶν ἐν τοῖς νεωρίοις; ἢ τίνος ἂν
φροντίσαι φυλακῆς, λήσειν ἐλπίσαντα καὶ λήψεσθαι
διπλάσιον οὗ νῦν εἴληφε χρυσίου; οὐδὲν ὅ τι οὐκ
ἂν ὁ τοιοῦτος, ὦ ἄνδρες, ποιήσειεν. ὅστις γὰρ ἀρ- 10
γύριον καὶ χρυσίον περὶ πλείονος τῆς πρὸς ὑμᾶς
πίστεως ἡγεῖται, καὶ μήθ' ὅρκου μήτ' αἰσχύνης μήτε
(τοῦ) δικαίου πλείω λόγον ἢ τοῦ λαμβάνειν ποιεῖται,
οὗτος ἀποδώσεται τὸ καθ' ἑαυτὸν τὴν Μουνυχίαν,
ἂν ἔχῃ τὸν ὠνησόμενον, οὗτος ἐξαγγελεῖ τοῖς πολε-
μίοις σύνθημα καθ' ὑμῶν φήνας, οὗτος προδώσει
τὴν πεζὴν καὶ ναυτικὴν δύναμιν.

ὡς τὸ Mr. coll. 1, 60: ὅτι τὸ Turr.; ὡς ὅτι τὸ v.

8. πρώτην cum R. Turr.: πρῶτον. — μετ' αὐτῆς auct. Bk. Turr.: μετ' αὐτὴν.

9. καταστήσετε N^m. — λήψεσθε A pr. corr.².

10. ἡγεῖται Turr.: αἱρεῖται (Mr. ποιεῖται, quod deinde ut glossema inducit). — ἐξαγγέλλει pr. A corr.². — πεζὴν N Mr. et mal. Dobr. Bk.: πεζικὴν.

11 *Μὴ οὖν, ὦ Ἀθηναῖοι, τὴν τίμησιν ὑπὲρ τῶν γε-*
γενημένων μόνον ὑπὸ Φιλοκλέους ἀδικημάτων ἡγεῖ-
σθε μέλλειν ποιεῖσθαι, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄλλων ὧν
ἂν ἔπραξεν οὗτος κύριος γενόμενος. καὶ τοῖς μὲν
θεοῖς ἔχετε χάριν ὑπὲρ τοῦ μὴ παθεῖν τι μεῖζον
ὑπὸ τούτου δεινόν, ἐγνωκότες τοῦτον οἷός ἐστιν,
ἀξίως δ' ὑμῶν αὐτῶν καὶ τῆς τοῦ κρινομένου πονη-
12 *ρίας κολάσατε αὐτόν· ὃς ὦ Ἀθηναῖοι τρὶς μὲν ἢ τε-*
τράκις ἱππαρχηκὼς ἀνδρῶν καλῶν κἀγαθῶν, πλεο-
νάκις δ' ἢ δεκάκις στρατηγὸς ὑφ' ὑμῶν κεχειροτο-
νημένος οὐκ ἄξιος ὤν, τιμώμενος καὶ ζηλούμενος
διὰ τὴν πρὸς ὑμᾶς πίστιν, ἀπέδοτο καὶ προέδωκε
τὸ τῆς ὑμετέρας ἡγεμονίας ἀξίωμα, καὶ εἰς τὸ αὐτὸ
κατέστησεν ἑαυτὸν Ἀριστογείτονι, καὶ μισθωτὸν καὶ
13 *προδότην ἀντὶ στρατηγοῦ ἐποίησεν. ἔπειτα ὑποστεί-*
λασθαί τι δεῖ πρὸς τὸν τοιοῦτον ὑμῖν καὶ αἰσχυν-
θῆναι, τοῖς ἠδικημένοις, ὃς οὐκ ᾐσχύνθη τοιαῦτα
πράττων καθ' ὑμῶν καὶ τῶν ἄλλων; οὐχ οἱ τοιοῦτοι
τῶν ἀνθρώπων ἐλεοῖντ' ἂν εἰκότως παρ' ὑμῖν, ὦ
Ἀθηναῖοι· πολλοῦ γε καὶ δεῖ· ἀλλ' οἱ προδοθέντες
110 *ἂν ὑπὸ Φιλοκλέους, εἴ τιν' οὗτος | παρέλαβε καιρόν·*
ἐν οἷς καὶ ἡ ἀκτὴ καὶ οἱ λιμένες εἰσὶ καὶ τὰ νεώρια,
ἃ οἱ πρόγονοι χρημάτων πολλῶν κατασκευάσαντες
14 *ὑμῖν κατέλιπον. ὧν ἀναμιμνησκομένους ὑμᾶς, ὦ*

11. *ἂν ἔπραξεν* B et corr.[2] A Bk.: *ἔπραξεν* N, pr. A, ZM, *ἔπραξεν ἂν* v. — *κολάσετε* pr. A BZM.
12. *μὲν* post *τρὶς* add. N Mr. — *ὑμετέρας ἡγ.* scripsi: *ἡμετέρας ἡγ.* N Mr.; *ἡγεμον. ἡμῶν* v. (*ἡγ. ὑμῶν* mal. S.).
13. *ὑμῖν*] *ὑμᾶς* cum R. Dobr. Turr., servata mox librorum scriptura *τοὺς ἠδικημένους*. *Τοῖς ἠδικημένοις* Emp. — *αἰσχύνθη* pr. A corr.[2]. — *οὐχ οἱ*] *οὐχὶ* B. — *χρημάτων πολλῶν* post *οἱ πρόγονοι* transposui; legebantur post *καιρόν*. — *κατασκευάσ. ὑμῖν* N Mr.: *ὑμῖν κατασκ.*

Ἀθηναῖοι, δεῖ μη παρέργως ἔχειν πρὸς τὰς ὑπὸ τῆς βουλῆς γεγενημένας ἀποφάσεις, ἀλλ' ἀκολούθως ταῖς πρότερον κεκριμέναις ..... αἰσχρὸν γὰρ ἀπειπεῖν τιμωρουμένους ἐστὶ τοὺς προδότας τῆς πόλεως γεγενημένους, καὶ ὑπολείπεσθαί τινας τῶν ἀδίκων καὶ πονηρῶν ἀνθρώπων, ὅτε οἱ θεοὶ φανεροὺς ὑμῖν ποιήσαντες παρέδοσαν τιμωρήσασθαι, ἑωρακότες τὸν δῆμον ἅπαντα κατήγορον τούτου γεγενημένον καὶ προκεχειρικότα πρῶτον τῶν ἄλλων ἐπὶ τὸ τὴν τιμωρίαν ἐν ὑμῖν δοῦναι.

Ἀλλ' ἔγωγε, νὴ τὸν Δία τὸν σωτῆρα, αἰσχύνομαι 15
εἰ προτραπέντας ὑμᾶς δεῖ καὶ παροξυνθέντας ὑφ'
ἡμῶν ἐπὶ τὴν τοῦ νῦν εἰσεληλυθότος τὴν κρίσιν τι-
μωρίαν ἐλθεῖν. οὐκ αὐτόπται ἐστὲ τῶν ὑπὸ τούτου
γεγενημένων ἀδικημάτων; καὶ ὁ μὲν δῆμος ἅπας
οὔτ' ἀσφαλὲς οὔτε δίκαιον νομίζων εἶναι παρακατα-
θέσθαι τοὺς ἑαυτοῦ παῖδας ἀπεχειροτόνησεν αὐτὸν
ἀπὸ τῆς τῶν ἐφήβων ἐπιμελείας· ὑμεῖς δὲ οἱ τῆς δη- 16
μοκρατίας καὶ τῶν νόμων φύλακες, οὓς ἡ τύχη καὶ
ὁ κλῆρος ὑπὲρ τοῦ δήμου δικάσοντας ..... ἐπέ-

14. post *κεκριμέναις* deesse videtur *καὶ ταύτην κρίνειν*. — post *ποιήσαντες* Mr. addi mal. *αὐτούς*. — *ἑωρακότας* cum Steph. R. — *προκεχειρικότα* B et corr. A Bk.: *προκεχειρηκότα* N et pr. A[d], *προκεχωρηκότα* v. Itaque in plebiscito Phil. primo loco nominatus erat. — *ἐπὶ τὸ* N Mr. (ci. St.): *ἐπὶ τῷ*.

15. *δεῖν* N. — *εἰςεληλυθότος τὴν κρίσιν* scripsi (cf. Dem. 21, 6): *εἰςελ.* [*τὴν κρ.*] aliquando ci. Mr., *ἐληλ. ἐς τ. κρ.* ci. S.; *ἐκλελοιπότος τὴν κρ.* NA Bk.; *ἐκλελοιπότος κρ.* v. — *οὐκ* et *ἀδικημάτων;* ci. Bait.: *καὶ οὐκ* et *ἀδικημάτων*. — *οὐκ αὐτόπται*] *οὐ κατόπται* N. — ante *παρακατ.* R. addi mal. *αὐτῷ*.

16. *τοῦ* ante *δήμου* om. N et pr. A corr.[2]. — *ἐπέτρεψεν*] *ἐπέστησεν* ci. R.; contra S. *οἷς* pro *οὓς* (cum R.) et *δικάσαι* pro *δικάσοντας* mal. —

τρεψεν, φείσεσθε τοῦ τοιαῦτα διαπεπραγμένου, καὶ
τὸ πέρας ἔχοντες ἁπάντων τῶν ἐν τῇ πόλει δικαίων
ἀτιμώρητον ἀφήσετε τὸν δωροδόκον καὶ πάντων τῶν
γεγενημένων κακῶν αἴτιον, ὅς, ὅπερ καὶ μικρῷ πρό-
τερον εἶπον, μόνος τῶν πονηρῶν πάντων τρίς, οὐχ
ἅπαξ, ἀποπέφανται, κἂν τρὶς ἤδη δικαίως ἐζημιω-
17 μένος θανάτῳ κατὰ τὸ ἑαυτοῦ ψήφισμα. τί οὖν
ἀναμενεῖτε, ὦ Ἀθηναῖοι; καὶ ποῖα ἀδικήματα ζητεῖτε
ἕτερα μείζω τῶν εἰρημένων ἀκοῦσαι; οὐχ ὑμεῖς ἐστε
καὶ οἱ ὑμέτεροι πρόγονοι οἱ Τιμοθέῳ Πελοπόννησον
περιπλεύσαντι καὶ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν Λακε-
δαιμονίους νικήσαντι καὶ Κόνωνος υἱεῖ τοῦ τοὺς
Ἕλληνας ἐλευθερώσαντος καὶ Σάμον λαβόντι καὶ
Μεθώνην καὶ Πύδναν καὶ Ποτίδαιαν καὶ πρὸς ταύ-
ταις ἑτέρας εἴκοσι πόλεις, οὐδὲν τούτων ὑπόλογον
ποιησάμενοι, οὐδὲ τῆς τότε ἐνεστώσης κρίσεως καὶ
τῶν ὅρκων οὓς ὀμωμοκότες φέρετε τὴν ψῆφον ἀν-
τικαταλλαξάμενοι τὰς τηλικαύτας εὐεργεσίας, ἀλλ'
ἑκατὸν ταλάντων τιμήσαντες, ὅτι χρήματ' αὐτὸν
Ἀριστοφῶν ἔφη παρὰ Χίων εἰληφέναι καὶ Ῥοδίων;
18 τὸν δὲ μιαρὸν ἄνθρωπον καὶ προδότην, ὃν οὐχ εἷς
ἀνὴρ ἀλλὰ πᾶσα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητή-
σασα ἀποπέφαγκε χρήματ' ἔχειν καθ' ὑμῶν, ὃς οὐ-

τοιαῦτα NA Bk.: τὰ τοιαῦτα. — ἁπάντων τῶν ἐν τῇ πόλει N Mr.: τῶν ἐν τῇ πόλει ἁπάντων. — κἂν S.: καί.

17. οὐχ ὑμεῖς κτέ.] cf. 1, 14. — πλεύσαντι A (teste Bk.) BLZM Ald. — νικήσ. Λακ. or. 1. — τοῦ ante τοὺς om. N et pr. A corr.^{2}. — ἐλευθερώσαντι N et pr. A corr.^{2}. — λαβόντι N et pr. A corr.^{2} Turr.: λαβόντος (sicut 1, 14 libri omnes). — οὐδὲν τούτων] οὐκ or. I. — καὶ τῶν] οὐδὲ τῶν or. I. — φέρετε NAB Bk.: ἐφέρετε (sicut exstat or. I). — εὐεργεσίας] ἐργασίας N.

18. ἀνθρώπων pr. A corr.^{2}. — vv. ὃν οὐχ — καθ' ὑμῶν item leguntur I, 15. —

σίαν ἔχων πολλὴν καὶ παίδων ἀρρένων οὐκ ὄντων αὐτῷ, καὶ οὐδενὸς ἄλλου δεόμενος ὢν (ἂν) ἄνθρωπος μέτριος δεηθείη, οὐκ ἀπέσχετο χρημάτων διδομένων κατὰ τῆς πατρίδος, οὐδ' ἀπεκρύψατο τὴν ἔμφυτον πονηρίαν, ἀλλ' ἀνεῖλε πᾶσαν τὴν γεγενημένην αὑτῷ πρὸς ὑμᾶς πίστιν, καὶ οἷς πρότερον ἔφη διαφέρεσθαι, πρὸς τούτους ἔταξεν αὑτόν, καὶ ἐξήλεγξεν αὑτοῦ τὴν προσποίητον καλοκαγαθίαν ὅτι ψευδὴς ἦν.

Ἃ χρὴ λογισαμένους ὑμᾶς πάντας, ὦ Ἀθηναῖοι, 19
καὶ τῶν παρόντων καιρῶν ἀναμνησθέντας, οἳ πί-
στεως οὐ δωροδοκίας δέονται, μισεῖν τοὺς πονηρούς,
ἀνελεῖν ἐκ τῆς πόλεως τὰ τοιαῦτα θηρία, καὶ δεῖξαι
πᾶσιν ἀνθρώποις ὅτι οὐ συνδιέφθαρται τὸ τοῦ δή-
μου πλῆθος τῶν ῥητόρων καὶ τῶν στρατηγῶν τισιν,
οὐδὲ δουλεύειν ταῖς δόξαις, εἰδότας ὅτι μετὰ μὲν δι-
καιοσύνης καὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας ῥᾳδίως
ἀμυνούμεθα, θεῶν ἵλεων ὄντων, ἐάν τινες ἡμῖν ἀδί-
κως ἐπιτίθωνται, μετὰ δὲ δωροδοκίας καὶ προδοσίας
καὶ τῶν ὁμοίων τούτοις κακῶν, ἃ τοῖς τοιούτοις ἀν-
θρώποις πρόσεστιν, οὐδεμί' ἂν πόλις σωθείη. μηδε- 20
μίαν οὖν δέησιν ὦ Ἀθηναῖοι μηδ' ἔλεον ....
[εἰς ὑμᾶς λαμβάνοντες αὐτούς], μηδὲ τὴν ἐξ αὐτῶν

πολλὴν] πολὺν pr. A corr.². — αὑτῷ Bk. Turr. — ὢν (ἂν) auct. Bk. et Dobr. Turr. — καὶ οἷς] οἷς om. pr. A[d]. — αὑτοῦ τὴν] αὑτοῦ del. Turr. Cf. Krüger Gr. Gr. § 47, 9, 18. — post ψευδὴς ἦν apodosin excidisse statuunt Schm. Turr. Mr.

19. πάντας add. N Mr. — οἳ] ὅτι Dobr. — πόλεως N Mr.: πολιτείας. — δουλεύειν Ald.: δουλεύει Bk. c. codd. — εἰδότες NABZ Bk. — ἀμυνόμεθα AZ. — ἡμῖν] ὑμῶν N et pr. A corr.². — οὐδεμί' ἂν auct. Bk. et Dobr. Turr.: οὐδεμία.

20. Locum pessime habitum dedi ex emend. S.; malim tamen pro λαμβάνοντες scribi ἀναλαβόντες.

*τῶν ἔργων καὶ τῆς ἀληθείας ἀποδεδειγμένην ὑμῖν
κατὰ τῶν κρινομένων ἀδικίαν (εἰς ὑμᾶς λαμβάνοντες
αὐτούς, μηδὲ) ...... ἄκυρον ποιήσαντες, βοηθήσατε
111 κοινῇ τῇ πατρίδι καὶ τοῖς νόμοις· ταῦτα | γὰρ ἀμ-
φότερα διαδικάζεται νῦν πρὸς τὴν τούτου πονηρίαν.
21 ὑπὲρ πάσης ὦ Ἀθηναῖοι τῆς χώρας νῦν μέλλετε φέ-
ρειν τὴν ψῆφον, καὶ τῶν ἐν ταύτῃ κατεσκευασμένων
ἱερῶν καὶ τῶν ἀρχαίων νομίμων καὶ τῆς παραδεδο-
μένης ὑπὸ τῶν προγόνων ὑμῖν πολιτείας, οὐχ ὑπὲρ
Φιλοκλέους μόνον· οὗτος μὲν γὰρ αὑτοῦ πάλαι θά-
νατον κατέγνωκε. ταῦθ' ὑμᾶς ἱκετεύων ἐγὼ δικαιο-
τέραν πολὺ δέησιν δέομαι τούτων τῶν τοιαῦτα πε-
πραχότων, μὴ ἐγκαταλιπεῖν ὑπὲρ ὧν οἱ πρόγονοι
πολλοὺς ὑπέμειναν κινδύνους, μηδ' εἰς ἀδοξίαν αἰσ-
χρὰν ἀγαγεῖν τὸ τῆς πόλεως ἀξίωμα, μηδὲ (ἀντι)κα-
ταλλάξασθαι τὴν πρὸς τούτους χάριν τῶν νόμων καὶ
τῶν τοῦ δήμου (ψηφισμάτων) καὶ τῶν τῆς βουλῆς
22 ἀποφάσεων. ἀκριβῶς γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ἀκρι-
βῶς, ὅτι ὑμεῖς μὲν παρὰ πᾶσιν ἀνθρώποις ἐπαινεῖσθε
ταῖς γεγενημέναις ζητήσεσιν ὑπὲρ τούτων τῶν χρη-
μάτων, οἱ δ' ἐξεληλεγμένοι κατὰ τῆς ἑαυτῶν πατρίδος
δῶρα εἰληφότες πονηροὶ καὶ ἄδικοι καὶ μισόδημοι
νομίζονται εἶναι, φιλεῖν ὑμᾶς φάσκοντες καὶ πράττειν
ὑπὲρ τῶν τῆς πόλεως ἀγαθῶν, καὶ δι' ὑμᾶς ἔνδοξοι
γεγενημένοι.*

τούτου] *τούτων* pr. A, quod malim.

21. *κατασκευασμένων* N et pr. A corr.[2]. — *ὑμῖν* cum R. Turr.: *ὑμῶν*. — *μὲν γὰρ*] *μὲν* add. N Mr. — mal. *αὐτὸς αὐτοῦ*. — *τοιαῦτα* scripsi coll. § 16; 1, 109: *ταῦτα*. — *ἀντικαταλλ*. Hi. coll. 1, 3. 15; 3, 17: *καταλλάξασθαι*. — *ψηφισμάτων* add. Mr. coll. 1, 84. 101.

22. *ἐπαινεῖσθαι* pr. A[d]. — (*ἐπὶ*) *ταῖς* ci. R., sed cf. Mr. — In fine quaedam deesse putant Turr.

[ΔΗΜΑΔΟΥ]

ΥΠΕΡ ΤΗΣ ΔΩΔΕΚΑΕΤΙΑΣ.

Τῆς μὲν τῶν κινδυνευόντων σωτηρίας, ὦ ἄν- P. 178 Steph.
δρες Ἀθηναῖοι, καὶ τῆς τιμωρίας ὑμεῖς παρὰ τῶν
νόμων τὴν ἐξουσίαν εἰλήφατε· οὔτε δὲ ἰατρὸς ἐμπεί-
ρως δύναται θεραπεῦσαι τοὺς κάμνοντας, ἂν μὴ τὴν
αἰτίαν τοῦ νοσήματος κατανοήσῃ, οὔτε δικαστὴς
ὁσίαν θεῖναι τὴν ψῆφον, ἐὰν μὴ τοῖς τῆς κρίσεως
δικαίοις ᾖ παρηκολουθηκώς. ἐμπεσὼν δὲ αὐτὸς εἰς 2
μέσην τὴν τῶν ῥητόρων δυσμένειαν, ὥςπερ τῆς παρὰ
θεῶν, οὕτω τῆς παρ' ὑμῶν δέομαι τυχεῖν βοηθείας.
διαβάλλουσι γάρ μου τὸν βίον, οἰόμενοι τὸν λόγον
ἄπιστον καταστήσειν. ἐγὼ δ' ἀποθανὼν μὲν ἢ ζῶν
οὐδέν εἰμι· τί γὰρ Ἀθηναίοις ἢ παρανάλωμα Δη-
μάδης; δακρύσει δέ μου τὴν ἀπώλειαν οὐχ ὁ στρα-
τιώτης — πῶς γάρ; ὃν αὔξει μὲν πόλεμος, εἰρήνη
δ' οὐ τρέφει — ἀλλ' ὁ τὴν χώραν γεωργῶν καὶ ὁ
τὴν θάλατταν πλέων καὶ πᾶς ὁ τὸν ἡσύχιον βίον
ἠγαπηκώς, ᾧ τὴν Ἀττικὴν ἐτείχισα, τοὺς ὅρους τῆς
χώρας περιβαλὼν οὐ λίθοις ἀλλὰ τῇ τῆς πόλεως

Codd. Bk. CEIMNT.

Inscr.] *ἀπολογισμὸς πρὸς Ὀλυμπιάδα τῆς ἑαυτοῦ δωδεκαετίας* Suid. s. v. *Δημάδης*, quo tamen loco Ruhnk., prob. S., verba *πρὸς Ὀλ.* alio transponenda esse ci. . Fort. duo sunt orationes: *ἀπολογ. πρὸς Ὀλυμπιάδα*, et (*ὑπὲρ*) *τῆς ἑαυτ. δωδεκαετίας*.

1. rectius *θέσθαι τὴν ψῆφον*.

2. *μέσην τὴν* S.: *τὴν* E, *μέσην* v. — *ἢ ζῶν* Steph. Dobs. Turr.: *εἰ ζῶν*. — mal. *τί γὰρ* (*ἄλλο*). — *θάλασσαν* E. — *ἥσυχον* E. *Ἡσύχιος βίος* exstat Dem. Phil. 4, 70. — *ᾧ τὴν Ἀττικὴν κτέ.*] Demosthenem imitatur (18, 300).

3 ἀσφαλείᾳ. δεινον δέ τι συμβαίνει πολλοῖς τῶν κρι-
νόντων, ὦ ἄνδρες δικασταί. ὥςπερ γὰρ ἡ τῶν ὀφθαλ-
μῶν νόσος τὴν ὅρασιν συγχέασα κωλύει τὰ ἐμ-
ποδὼν κείμενα θεωρεῖν, οὕτως ἄδικος παρειςδύνων
λόγος εἰς τὰς τῶν δικαστῶν γνώμας οὐκ ἐᾷ δι' ὀρ-
γὴν συνορᾶν τὴν ἀλήθειαν. διὸ καὶ δεῖ συνορᾶν
ὑμᾶς εὐλαβῶς ἐπὶ τῶν κινδυνευόντων μᾶλλον ἢ τῶν
ἐγκαλούντων· οἱ μὲν γὰρ αὐτόθεν ἔχουσιν ἐκ τῆς
πρωτολογίας ὁποῖον αὐτοὶ βούλονται τὸν δικαστήν,
179 οἱ δ' ἀναγκάζονται πρὸς ὠργισμένους κριτὰς τὴν
4 διάνοιαν ἀντιτάσσεσθαι. ἐὰν μὲν οὖν φαίνωμαι τοῖς
ἐγκαλουμένοις ἔνοχος, καταψηφίσασθε, μὴ φείσησθε·
οὐ παραιτοῦμαι· ἐὰν δ' εὑρίσκωμαι τῶν ἐγκεκλημέ-
νων κεχωρισμένος τῷ δικαίῳ, τοῖς νόμοις, τῷ συμ-
φέροντι, μὴ πρόησθέ με τῇ τῶν κατηγόρων ὠμό-
τητι. εἰ δὲ πάντως ἀποθανὼν συμβαλοῦμαί τι πρὸς
τὴν κοινὴν σωτηρίαν, ὡς οὗτοι λέγουσιν, ἑτοίμως
ἔχω τελευτᾶν· κτήσασθαι γὰρ ἰδίῳ θανάτῳ δημο-
σίαν εὐδαιμονίαν καλόν, ἐὰν ᾖ χρεία τῆς πατρίδος·
5 ἀλλὰ μὴ ὁ τούτων λόγος τὸ νῦν ἀφαιρήσηται. δότε
δή μοι πρὸς θεῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δότε διαλε-
χθῆναι ὡς προαιροῦμαι περὶ τῶν δικαίων. δοκῶ μὲν
γὰρ δύναμιν εἶναί μοι καὶ τοῖς ἄλλοις βοηθεῖν· ἐν
δὲ τούτοις ἐμποδίζει μου τὸν λόγον ὁ φόβος. ἄλλως

3. ὦ ἄνδρες Bk. cum rc. E: ὧδε M, ὠ N, om. pr. E, ὥδε v. — ὠργιζομένους E.

4. τῇ τῶν] τῇ om. T. — εὐδαιμονίαν S.: εὔνοιαν. — ᾖ] ἡ EIT Bk. — τὸ νῦν Bk. cum codd.: τι νῦν v., τὸ ζῆν S. Cf. Din. 1, 33. — ἀφαιρήσηται C: ἀφαιρήσεται EIMNT, ἀφαιρῆται Bk. Barbarismus in hoc scriptore offensioni non est, et aoristus h. l. praesenti tempore aptior.

δὲ οὐ τον ἔλεγχον τοῦ πράγματος δέδοικα, ἀλλὰ τὴν τῶν ἀντιδίκων διαβολὴν (καὶ τὸν) φθόνον, ὅς οὐ κρίνει τοὺς ἀδικοῦντας, ἀλλὰ φύεται τοῖς δοκοῦσί (τι δύνασθαι) λέγειν ἢ πράττειν. ἡ παρ' ὑμῖν ἐλ- 6
πὶς δὲ δικαία· ἐὰν ταύτης κατατύχω, πάσας ἀπολύσομαι τὰς διαβολάς· ἄνευ δὲ ταύτης οὔτε ὁ λόγος οὔθ' οἱ νόμοι οὔθ' ἡ τῶν πραγμάτων ἀλήθεια σῶσαι δύνανται τὸν ἀδίκως κρινόμενον. οὐκ ἀγνοεῖτε δὲ ὅτι πολλοὶ πολλάκις ἤδη τῶν ἐγκαλούντων ἀπὸ μὲν τῆς κατηγορίας ἔδοξαν δίκαια λέγειν, παρατεθείσης δὲ τῆς ἀπολογίας εὑρέθησαν αὐτοὶ συκοφαντοῦντες· ὃ δὴ καὶ νῦν πέπεισμαι τούτοις παρακολουθήσειν ὑμῶν ἀκούειν προαιρουμένων μετ' εὐνοίας.

'Επεὶ δὲ καὶ τῆς ἄλλης μου πολιτείας κατηγορεῖν 7
ἐπεχείρησαν, βραχέα βούλομαι περὶ αὐτῆς εἰπεῖν, ἔπειθ' οὕτως ἐπὶ τὴν λοιπὴν δικαιολογίαν ἀπελθεῖν, ἵνα μὴ λάθωσιν ὑμᾶς παρακρουσάμενοι. γεγονὼς γὰρ ὦ ἄνδρες 'Αθηναῖοι Δημέου πατρός, ὡς καὶ ὑμῶν οἱ πρεσβύτεροι γινώσκουσι, τὸν μὲν ἄλλον χρόνον οὕτως ἔζων ὡς ἠδυνάμην, οὔτε κοινῇ τὸν δῆμον

5. *δέδοικα* add. Bk. cum C (*δέδια* S.). — *τὴν τῶν ἀντιδίκων διαβολὴν* C Bk.: *τῇ τῶν ἀδίκων* (*τὸν τῶν ἀντιδίκων* S.). — *καὶ τὸν* addidi. — *φθόνον, ὃς* S.: *μόνον ἥτις* C Bk.; *μόνον ὃς* cett. — (*εὖ*) *δοκοῦσι* ci. Bk; *δοκοῦσί* (*τι*) ci. S. An *τοῖς δοκ.* (*δύνασθαι*) *λέγειν ἢ πράττειν τι παρ' ὑμῖν. ἐλπὶς δὲ δικαία ...... ἐὰν κτἑ.*?

6. *δὴ* post *ἐὰν* add. C Bk. — *κατατύχω* C Bk. (ci. Hauptm.): *κατατυχὼν*. — *ἀπολύσωμαι* J. — *ἡ τῶν πραγμάτων ἀλήθεια*] ita loquitur Antiphon 5, 3. — *δύνανται*] *δύναιντ' ἂν* C Bk.; cf. § 1. — *παραθείσης* C.

7. mal. *περὶ ταύτης*, cf. Dem. 18, 9. — *ἀπελθεῖν*] malim *ἐλθεῖν*. — *Δημέου* (*Δημαίου*) Lhardy et Kiessling.: *Δημάδου*. — *ἐδυνάμην* E.

ἀδικῶν οὔτ' ἰδίᾳ λυπῶν οὐδένα τῶν ἐν τῇ πόλει,
πειρώμενος δ' ἀεὶ τοῖς ἰδίοις πόνοις τὴν ἀσθένειαν
8 τοῦ βίου διορθοῦσθαι. ἡ πενία δ' ἴσως δύςχρηστον
μὲν ἔχει τι καὶ χαλεπόν, κεχώρισται δ' αἰσχύνης, ὡς
ἄν, οἶμαι, τῆς ἀπορίας ἐπὶ πολλῶν οὐ τρόπου κακίαν
ἀλλὰ τύχης ἀγνωμοσύνην ἐλεγχούσης. προςελθὼν
δὲ τοῖς κοινοῖς οὐκ εἰς δίκας καὶ τὴν ἀπὸ τῆς λογο-
γραφίας ἐργασίαν ἔθηκα τὸν πόνον, ἀλλ' εἰς τὴν
ἀπὸ τοῦ βήματος παρρησίαν, ἣ τοῖς μὲν λέγουσιν
ἐπισφαλῆ παρέχεται τὸν βίον, τοῖς δ' εὐλαβῶς ἀκρο-
ωμένοις μεγίστην δίδωσιν ἀφορμὴν πρὸς κατόρθω-
σιν· οὐ γὰρ ἐν τῇ τοῦ λέγοντος χάριτι δεῖ συνεκπί-
9 πτειν τὴν τῆς πατρίδος σωτηρίαν. χιλίων ταφὴ
Ἀθηναίων μαρτυρεῖ μοι, κηδευθεῖσα ταῖς τῶν ἐναν-
τίων χερσίν, ἃς ἀντὶ πολεμίων φιλίας ἐποίησα τοῖς
ἀποθανοῦσιν. ἐνταῦθα ἐπιστὰς τοῖς πράγμασιν
ἔγραψα τὴν εἰρήνην· ὁμολογῶ. ἔγραψα καὶ Φιλίππῳ
τιμάς· οὐκ ἀρνοῦμαι. δισχιλίους γὰρ αἰχμαλώτους
ἄνευ λύτρων καὶ χίλια πολιτῶν σώματα χωρὶς κή-
ρυκος καὶ τὸν Ὠρωπὸν ἄνευ πρεσβείας λαβὼν ὑμῖν
10 ταῦτ' ἔγραψα. ἐπείληπτο δὲ τῆς γραφούσης χειρὸς
οὐχ ἡ δωροδοκία τῶν Μακεδόνων, ὡς οὗτοι πλατ-
τόμενοι λέγουσιν, ἀλλ' ὁ καιρὸς καὶ ἡ χρεία καὶ τὸ

8. *εὐλαβῶς ἀκροωμένοις* scripsi: *εὐλαβουμένοις*. cf. § 3. — *πρὸς τὴν κατόρθωσιν* T. — *ἐν τῇ τοῦ λέγοντος*] *ἐν* del. mal. Bk., def. S. coll. Maetzner. ad Antiph. 1, 8. Sententia haec esse videtur: „non semper salus reipublicae una contingit cum oratoris gratia“.

9. *ταφὴ*] *τε φὴ* MNT, *τε φῇ*. E. De veritate lectionis propter hiatum dubitat Benseler. — *κήρυκας* T. — *ὀρωπὸν* N, *ὀρωπὸν* MT.

10. *ἐπείληστο* J. cf. autem Demad. fr. 8 S.

τῆς πατρίδος συμφέρον καὶ ἡ τοῦ βασιλέως φιλαν-
θρωπία· ἐλθὼν γὰρ ἐπὶ τὸν κίνδυνον ἐχθρὸς τῶν
ἀγώνων φίλος ἐχωρίσθη, τὸ τῶν νενικηκότων ἆθλον
τοῖς σφαλεῖσι προσθείς. πάλιν τοίνυν ἧκε τῇ πόλει 11
καιρὸς ἕτερος, ἵνα τοὺς μεταξὺ κινδύνους ἑκὼν ἐπι-
λάθωμαι· καὶ πάντες μὲν οἱ τὴν Ἑλλάδα κατοικοῦντες
τον Ἀλέξανδρον ἐπὶ τὴν ἡγεμονίαν ἀνεβίβαζον, καὶ
τοῖς ψηφίσμασιν ἀναπλάττοντες φρόνημα μεῖζον τοῦ
δέοντος ἀνδρὶ νέῳ καὶ φιλοδόξῳ περιέθηκαν· λοιποὶ
δὲ ἦμεν ἡμεῖς καὶ Λακεδαιμόνιοι, πρόβλημα τῆς σω-
τηρίας ἔχοντες οὐ χρημάτων πλῆθος, οὐχ ὅπλων
παρασκευάς, οὐχ (ἱππέων καὶ) πεζῶν σύνταξιν, ἀλλ'
ἐπιθυμίαν (μὲν) μεγάλην, δύναμιν δ' ἀσθενῆ καὶ
ταπεινήν. ὧν μὲν γὰρ ἐσύλησε τὴν ἰσχὺν ὁ περὶ 12
Λεῦκτρα κίνδυνος, ὁ δὲ πρότερον ἀπείρατος ὢν πο- 180
λεμίας σάλπιγγος Εὐρώτας Βοιωτοὺς ἐν τῇ Λακω-
νικῇ στρατοπεδεύοντας εἶδεν· ἀπέκειρε γὰρ τὴν
ἀκμὴν τῆς Σπάρτης ὁ Θηβαῖος, καὶ τοὺς ὅρους τῆς
Λακωνικῆς τεθειμένους τὴν ἀκμὴν τῶν νέων συνέ-
κλεισε ταῖς τέφραις. τὰς δ' ἡμετέρας παρασκευὰς
ἀνάλωσεν ὁ πόλεμος, καὶ τὴν ἐλπίδα τῶν ζώντων
συνέτριψεν ἡ συμφορὰ τῶν ἀποθανόντων. Θηβαῖοι 13
δὲ μέγιστον εἶχον δεσμὸν τὴν τῶν Μακεδόνων
φρουράν, ὑφ' ἧς οὐ μόνον τὰς χεῖρας συνεδέθησαν
ἀλλὰ καὶ τὴν παρρησίαν ἀφῄρηντο· τῷ γὰρ Ἐπαμι-

11. τῇ πόλει om. E. — κινδύνους] cf. Dinarch. 1, 35. — μεῖζον] μικρὸν E. — περιέθηκα EIMNT. — οὐχ ἱππέων καὶ πεζῶν scripsi: οὐχὶ πεζῶν.

12. πρότερος M. — εἶδεν Ald. et mal. S.: εἶχεν. — νεῶν EIMNT.

13. συνεδόθησαν T. — καὶ ante τὴν παρρησ. om. I. — αφήρητο typographi errore Turr. —

νώνδου σώματι συνέθαψε τὴν δύναμιν τῶν Θηβαίων
ὁ καιρός. ἤκμαζον δὲ τοῖς σύμπασιν οἱ Μακεδόνες,
οὓς ἤδη ταῖς ἐλπίσιν ἐπὶ τὰ Περσῶν σκῆπτρα καὶ
14 τοὺς θησαυροὺς ἡ τύχη διεβίβαζεν. ἐνταῦθ' ὁμοίως
Δημοσθένης μὲν ἐκύρωσε πόλεμον, καλὴν μὲν τοῖς
ὀνόμασιν οὐ σωτήριον δὲ τοῖς ἔργοις συμβουλίαν
εἰςηγησάμενος τοῖς πολίταις· ὡς δὲ πλησίον ἔστη τῆς
Ἀττικῆς, ἡ χώρα δὲ εἰς τὴν πόλιν κατεκλείετο, καὶ
τὸ περιμάχητον καὶ θαυμαζόμενον ὑπὸ πάντων ἄστυ
βοῶν καὶ προβάτων ὥσπερ ἔπαυλις καὶ τῶν (ἄλλων)
βοσκημάτων ἐπληροῦτο, βοηθείας δ' οὐδαμόθεν ἦν
15 ἐλπίς, ἔγραψα τὴν εἰρήνην. ὁμολογῶ, καὶ φημὶ κα-
λῶς καὶ συμφερόντως πεπραχέναι τοῦτο· κρεῖττον
γὰρ ἐπερχόμενον ἐκκλῖναι τὸ νέφος ἢ φερομένῳ συν-
απενεχθῆναι τῷ ῥεύματι. ἀξιῶ δὲ ὦ ἄνδρες Ἀθη-
ναῖοι τὴν ἐκ τῶν πραγμάτων λύπην ἐμοὶ παρ' ὑμῶν
μηδεμίαν ἀπογεννῆσαι δυςμένειαν. οὐ γὰρ ἐγὼ
κρατῶ τῆς τύχης, ἀλλ' ἡ τύχη τοῦ βίου, δι' ἣν κιν-
δυνεύει. δεῖ δὲ τὸν σύμβουλον, καθάπερ τὸν ἰατρόν,
οὐ τῆς νόσου την αἰτίαν ἔχειν ἀλλὰ τῆς θεραπείας
16 τὴν χάριν ἀπολαμβάνειν. καταχωρίσαντες οὖν τὰ
συμβάντα διὰ τὰς ἔξωθεν αἰτίας φιλῶς ἐπὶ τῶν πραγ-
μάτων γυμνὴν θεωρήσατέ μου τὴν πολιτείαν. μετα
ταῦτα τοίνυν τῇ πόλει τρίτος ἐπῄει κίνδυνος πάντων

τῷ γὰρ Ἐπαμ. κτἑ.] cf. [Lys.] Epitaph. 60; Lyc. 50. — τοῖς σύμπασιν scripsi: τοῖς σώμασιν. — ἐπὶ τὰ Περσῶν σκ. καὶ τοὺς θησ. scripsi: ἐπὶ τὰ σκ. καὶ τοὺς Περσῶν θησαυρούς.

14. ἔστη] ἔστι T.

15. πεπρᾶχθαι C. — οὐ γὰρ ἐγὼ κρατῶ κτἑ.] cf. Dem. 18, 194. — τὸν ante ἰατρὸν om. C.

16. καταχωρήσαντες T. — ἐπῄει Scheibe: ἐπὶ N, om. I, ἐγένετο T Bk., ἐπήγετο v. Turr.

χαλεπώτατος, οὐκέτι πεμφθεὶς ὑπο τῆς τύχης, ἀλλ'
ὑπὸ τῶν τότε ῥητόρων ἐπαχθείς. καί μοι τῶν πε- 17
πραγμένων ἀναμνήσθητε, ἡνίκα Δημοσθένης καὶ
Λυκοῦργος τῷ μὲν λόγῳ παρατασσόμενοι τοὺς Μα-
κεδόνας ἐνίκων ἐν Τριβαλλοῖς, μόνον δ' οὐχ ὁρατὸν
ἐπὶ τοῦ βήματος νεκρὸν τὸν Ἀλεξάνδρου προέθηκαν,
ἐν τῷ δήμῳ δ' ἀλείψαντες λόγοις εὐπρεπέσι Θηβαίων
τοὺς παρόντας φυγάδων θυμοὺς ἐπ' ἐλπίδι τῆς
ἐλευθερίας ἠκόνησαν, ἐμὲ δὲ στυγνὸν καὶ περίλυπον
ἔφασκον εἶναι μὴ συνευδοκοῦντα ......

ΛΕΙΠΕΙ ΠΟΛΛΑ.

17. *τριβαλοῖς* codd. Bekkeri. — *δὲ* post *ἐμὲ* om. codd. Bekkeri. cf. autem Aesch. 3, 164.

INDEX

NOMINUM ET RERUM MEMORABILIUM.